This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

THE UNIVERSITY OF MICHIGAN · LIBRARIES ·

ANTHOLOGIA GRAECA

SIVE

POETARVM GRAECORVM

L V S V S.

EX RECENSIONE BRVNCKII.

TOM. I.

INDICES ET COMMENTARIVM

ADIECIT

FRIEDERICVS IACOBS.

J. P. Krebs. 795.

LIPSIAE

IN BIBLIOPOLIO DYCKIO

MDCCXCIV.

320 8
A63
J17
v.1-2

PRAEFATIO.

Haud ſine idoneis cauſis factum eſt, ut textum graecorum Epigrammatum, quae in Analectis veterum poëtarum a Brunckio, Viro Clariſſimo, edita ſunt, repetendum curarem. Nam quum primum ad Anthologiam graecam emendandam notisque illuſtrandam adieciſſem animum, ita exiſtimabam, ſi indicibus diligenter confectis Analectorum uſum faciliorem reddidiſſem, animadverſionibusque ſcriptis ad emendanda meliusque intelligenda Epigrammata muniviſſem viam, fore, ut mihi ab omnibus Analectorum poſſeſſoribus aliquid haberetur gratiae, neque opus videri, ut novam eorum editionem pararem. Poſtea tamen, re accuratius perpenſa, conſilium meum immutare coepi. Primum enim impellebat animum ſummorum quorundam virorum auctoritas, qui mihi cum publice tum privatim ſignificaverunt, gratum me omnibus graecarum litterarum ſtudioſis facturum eſſe, ſi Analectorum textum, omiſſis iis, quae a Brunckio ſine idonea cauſa recepta eſſent, emendatisque cum typographorum tum ipſius editoris vitiis, quae multa in Animadverſionibus correxit, typis deſcribendum curarem; praecipue cum operis Brunckiani exempla nulla proſtarent venalia, et, in communi litterarum apud Francogallos extinctione, novae editionis, ab ipſo Brunckio, civilium rerum procellis abrepto deteſtandaeque

factionis machinationibus in carcerem detruſo, adornandae, omnis ſpes iamdudum evanuerit. Iam vero praeclarum hoc Epigrammatum ſyntagma, quod propter pretii caritatem in paucorum manus perveniſſet, digniſſimum eſſe, quod frequentandis exemplis ad plurimorum cognitionem proferretur. Anthologiae Planudeae editiones et ipſas raro inveniri, neque omnem Epigrammatum graecorum continere copiam, et eorum quae contineret haud exiguam partem turpiſſimis mendis inquinatam legi; Reiskianam vero, ex corruptiſſimo derivatam codice, iisdem multisque praeterea aliis laborare incommodis. Quibus argumentis, quae vel per ſe ſatis valerent, accedebant alia ex redemtoris, honeſtiſſimi mihique amiciſſimi viri, rationibus. Exiguus eſt, ut dixi, eorum numerus, quibus Analectorum copiis frui liceat. Quodſi indices noſtri commentariusque a nobis edendus ad hoc ſolum opus referrentur, magnopere metuendum erat, ne ea res redemtori fraudi eſſet. His igitur potiſſimum cauſis commotus, animum eo induxi, ut totam illam Epigrammatum farraginem, quae nemo plenius, nemo emendatius Brunckio edidit, eodem ordine, quo in Analectis leguntur, repetendam curarem. Praeterii autem eorum poëtarum carmina, qui ad Gnomonologicos referri ſolent, Solonis, Tyrtaei, Mimnermi omnia; Simonidis iambos; deinde Anacreontis odaria, Sapphus et Erinnae carmina lyrica, Callimachi hymnos, Bucolicorum Eidyllia, Timonis Sillos, Matronis Parodias, quae quidem omnia, cur inter carmina epigrammatica reciperentur, cauſa non erat. Circumſcriptis itaque ex nova hac editione fere omnibus carminibus, quae nullam cum genere epigrammatico haberent coniunctionem, in paucis tamen a lege, quam mihi ipſe ſcripſeram, recedendum putavi. Non ſolum Archilochi et Bacchylidis, divinorum vatum, fragmenta,

quibus in ea operis noſtri parte, quae τὰ παραλελειμμένα continebit, magna fiet acceſſio, ſed Simonidis quoque lyrica et elegiaca, Cratetis reliquias, Phanoclis inſignem de Orpheo locum, Procli denique hymnos, cum paucis aliis, quibus lectores aegre cariturοs eſſe exiſtimabam, retinere quam proſcribere malui. In quo iudicio ſi forte erraverim, huius tamen erroris facile me ab aequis lectoribus veniam impetraturum eſſe confido. Tam enim exiguus eſt eorum fragmentorum numerus, quae, ſi omnia ad vivum reſecare voluiſſem, omittere potueram, ut iis reſectis vix duodecim folia de toto huius operis corpore deceſſura ſint.

Ceterum in Analectorum textu repetendo Brunckii, celeberrimi Viri, veſtigia plurimis de cauſis religioſiſſime ſequutus ſum. Nam ex ſuſcepti a nobis operis ratione atque inſtituto, neque in poëtarum ordine deſcribendo, neque in textu recenſendo, ulla inſignior a nobis fieri poterat mutatio. Deinde vetat ſumma Brunckii auctoritas, cui tantum tribuendum cenſeo quantum vix ulli, prohibuit, quo minus quidquam immutarem, niſi ex ipſius eruditiſſimi viri mente atque iudicio. Quos igitur errores ſive in collocandis poëtarum carminibus, ſive in textu ad criticas rationes conſtituendo a ſe commiſſos in Lectionibus, textui Analectorum annexis, ſerius agnovit, eos, prout ratio ferebat, modo tacite ſuſtuli, modo in margine verbo notavi. Quum enim Brunckius haud uno in loco ſignificet, ſe, ſive aliorum pravo iudicio, ſive ſua emendandi libidine abreptum, temere receſſiſſe a lectione codicis, in his omnibus locis nihil antiquius habui, quam ut membranarum ſcripturam in textum revocarem. Coniecturas vero a doctiſſimo viro propoſitas, niſi pauciſſimis in locis, ubi minima mutatione res peragebatur, nec non vitioſas codicis lectiones in

marginem relegavi *). In hac vero parte ſaepe vehementer dolui, ingenioſiſſimum virum, quem tamen morae paulo quam par erat impatientiorem fuiſſe, cum magno noſtro incommodo crebro intelleximus, in codicis ſui aberrationibus enotandis tam negligenter verſatum eſſe. Ut nunc ſe res habet, niſi extiterit, qui totum Vaticanum codicem excutiat et cum Analectorum textu diligenter comparet, at quam difficile quantique taedii plenum opus! in Epigrammatis emendandis vix unquam habebimus, ubi certa figamus veſtigia. Quum enim Brunckius ſatis haberet, ea in textu poſuiſſe, quae ipſi vera viderentur, librorum autem ſuorum ſcripturam indicare negligeret, multis in locis ignoremus neceſſe eſt, qua auctoritate nitatur ipſius lectio quantamque partem veritatis habeat. Haec autem a me non detrahendi cauſa, ſed ex rei veritate dici, cum ex aliis argumentis ſponte apparet, tum ex ipſius Brunckii verbis intelligitur, quae poſuit in Notis ad Ariſtoph. Nubes. p. 119. ubi laudato ex Analectis Epigrammate incerti Auctoris T. III. p. 154. XVI. haec ſcripſit: *Gloriolam ex emendatione hexametri, cuius et numeri corrupti erant et ſententia, captaſſet forte quis alius: anguſtiis ſpatii concluſo ſatis mihi fuit, verſum uti legi debet exhibuiſſe. Nunc quomodo legatur in membranis, unde deſcriptus fuit, dicam* etc. Sed nolo,

*) Vitiorum, quae vel a typographo vel ab ipſo Brunckio admiſſa fuere, emendationem in margine indicare ſupervacaneum duxi; ita ut, ubi huius editionis textum diſcrepare deprehenderis ab Analectorum textu, ibi codd. lectionem, Brunckio iubente, reſtitutam eſſe ſcias. Quum autem Brunckius crebro mutationem a ſe factam ſignificet, nullo indicio facto, utrum vitioſam lectionem in editis tantum, an etiam in codd. repererit, nos, vitioſa lectione poſita, vulgo ſic legi diximus, quo fere ubique emendationem ab editoris ingenio profectam et in textum admiſſam eſſe, ſignificatur.

hoc loco repetere, quae in eandem ſententiam et ab aliis dicta ſunt et a nobis aliquando multis exemplis prolatis uberius explicabuntur. Operam autem adhibebimus, ut huic Brunckiani operis incommodo, quantum a nobis fieri poteſt, medeamur; cum doctorum virorum emendationibus, tum codicum aberrationibus, quae quidem ab Epigrammatum editoribus enotatae ſunt, diligenter conquiſitis et in commentario noſtro indicatis.

Quum in Lectionibus, tertio Analectorum volumini ſubiectis, multa non ſuo loco legantur, ſed, ut fieri ſolet in ſcriptione tumultuaria, quaedam inconſiderate poſita, huc illuc, prout occaſio tulit, emendentur, correctionesque ſuo loco vel nondum paratae vel etiam neglectae per opportunitatem proferantur, nemo mirari debet, ſi in editionis noſtrae margine emendationum et variantium lectionum mentionem fieri viderit, quas in Brunckii animadverſionibus non ea qua debuerant ſede commemoratas reperiat. Neque officio noſtro ſatisfacere putavimus, niſi doctiſſimi viri commentarios, in alios ſcriptores poſtea ab ipſo editos, excuteremus, ſi qua in iis ad Epigrammatum emendationem ſpectantia laterent. Neque me huius operae poenituit. Nullus enim eſt ex his commentariis, ex quo non una aut altera huius generis emendatio prodierit. Has quoque in notis poſuimus. Locorum autem unde depromtae ſint, indicium, una cum emendandi rationibus commentario noſtro ſervavimus, in quo nihil praeteribitur, quod ſive ab ipſo Brunckio ſive ab aliis eruditis viris, quorum quidem ſcripta nobis videre contigit, ad Epigrammata poëtarum graecorum tam emendanda quam illuſtranda prolatum eſt. Tum et ineditas quasdam doctorum virorum emendationes et noſtras qualescunque coniecturas, quarum aliquas una cum ſignificatione conſilii

noſtri; anno praeterito publice propoſuimus *), animadverſioneſque ex penu noſtra depromtas exhibebimus. Hunc autem commentarium praecedet notitia litteraria de Anthologiae graecae fatis et editionibus; ſequetur hiſtoria critica poëtarum, quorum opera Maximus Planudes et Conſtantinus Cephalas in Florilegia ſua retulerunt.

Haec ſunt quae de nova hac Anthologiae graecae editione praemonenda duxi, in qua hoc unum praeſtitum volui, ut textus, ex Brunckii, ſummi viri, mente emendatus et correctus prodiret. Indices, iam ad unum omnes confecti, hoc ipſo anno edentur. Erunt autem quinque. Primus Epigrammatum, quae in Analectis reperiuntur, initia elementari ordine diſpoſita continebit, indicio facto, ubi eorum quodque in Brunckii Analectis, Reiskii et Planudis Anthologiis reperiatur; alter Epigrammatum ordinem, quo ordine Planudes ea in libros et capita deſcripſit, trium primariarum editionum, Florentinae, Stephanianae et Wechelianae, paginis inter ſe comparatis, ante oculos ponet; tertius, carminum a Ienſio et Reiskio editorum ordinem indicabit; quartus exhibebit nomina propria, cum hominum tum locorum, quotquot in Epigrammatis occurrunt; quintus denique omnium carminum argumenta, ſecundum litterarum ordinem diſpoſita, breviter ſignificabit. Graecitatis indici, quo hoc opus carere non poſſe probe intelligo, in calce commentarii locus aſſignabitur. Vale, Lector Benevole, et operi a nobis inſtituto fave. Scribebam Gothae a. d. 26. menſis Aprilis MDCCXCIV.

*) Emendationes in Epigrammata Anthologiae graecae. Lipſiae 1793. 8vo.

ΜΕΛΕΑΓΡΟΥ

ΓΑΔΑΡΗΝΟΥ ΠΟΙΗΤΟΥ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I. T. I.

Μοῦσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδάν;
ἢ τίς ὁ καὶ τεύξας ὑμνοθέταν στέφανον;
ἄνυσε μὲν Μελέαγρος· ἀριζάλῳ δὲ Διοκλεῖ
μναμόσυνον, ταύταν ἐξεπόνησε χάριν.
Πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μυροῦς
λείρια, καὶ Σαπφοῦς βαιὰ μὲν, ἀλλὰ ῥόδα.
νάρκισσόν τε τορῶν Μελανιππίδου ἔγκυον ὕμνων,
καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω·
σὺν δ' ἀναμὶξ πλέξας μυρόπνουν εὐάνθεμον ἶριν
Νοσσίδος, ἧς δέλτοις κηρὸν ἔτηξεν Ἔρως·
τῇ δ' ἅμα καὶ σάμψυχον ἀφ' ἡδύπνοιο Ῥιανοῦ,
καὶ γλυκὺν Ἠρίννης παρθενόχρωτα κρόκον,
Ἀλκαίου τε λάληθρον ἐν ὑμνοπόλοις ὑάκινθον,
καὶ Σαμίου δάφνης κλῶνα μελαμπέταλον·
ἐν δὲ Λεωνίδεω θαλεροὺς κισσοῖο κορύμβους,
Μνασάλκου τε κόμας ὀξυτόρου πίτυος·
βλαισήν τε πλατάνιστον ἀπέθρισε Παμφίλου, ὑγρῆς p. 2.
σύμπλεκτον καρύης ἔρνεσι Παγκράτεος,
Τύμνεώ τ' εὐπέταλον λεύκην, χλοερόν τε σίσυμβρον
Νικίου, Εὐφήμου τ' ἀμμότροφον πάραλον·

A

T. I. ἐν δ' ἄρα Δαμάγητον, ἴον μέλαν, ἡδύ τε μύρτον
Καλλιμάχου, στυφελοῦ μεστὸν ἀεὶ μέλιτος,
λυχνίδα τ' Ευφορίωνος, ἰδ' ἐν Μούσαισιν ἄμεινον
ὅς Διὸς ἐκ κούρων ἔσχεν ἐπωνυμίην.
τῇσι δ' ἅμ' Ηγήσιππον ἐνέπλεκε, μαινάδα βότρυν,
Πέρσου τ' εὐώδη σχῖνον ἀμησάμενος,
σὺν δ' ἅμα καὶ γλυκὺ μῆλον ἀπ' ἀκρεμόνων Διοτίμου,
καὶ ῥοιῆς ἄνθη πρῶτα Μενεκράτεος,
σμυρναίους τε κλάδους Νικαινέτου, ἠδὲ Φαέννου
τέρμινθον, βρωτήν τ' ἀχράδα Σιμμίεω·
ἐν δὲ καὶ ἐκ λειμῶνος ἀμωμήτοιο σέλινα,
βαιὰ διακνίζων ἄνθεα Παρθενίδος,
λείψανά τ' εὐκαρπεῦντα μελιστάκτων ἀπὸ Μουσῶν,
ξανθοὺς ἐκ καλάμης Βακχυλίδεω στάχυας·
ἐν δ' ἄρ' Ανακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέλισμα
νέκταρος, εἰς δ' ἐλέγους εὔσπορον ἀνθέμιον·
ἐν δὲ καὶ ἐκ φορβῆς σκολιότριχος ἄνθος ἀκανθὲς
Αρχιλόχου, μικρὰς στάγγας ἀπ' ὠκεανοῦ·
τοὺς δ' ἅμ' Αλεξάνδροιο νέους ὅρπηκας ἐλαίης,
ἠδὲ Πολυκλείτου πορφυρέην κύανον.
ἐν δ' ἄρ' ἀμάρακον ἧκε, Πολύστρατον, ἄνθος ἀοιδῶν,
φοίνισσάν τε νέαν κύπρον ἀπ' Αντιπάτρου·
καὶ μὴν καὶ Συρίην σταχυότριχα θήκατο νάρδον,
ὑμνοθέταν, Ερμοῦ δῶρον ἀειδόμενον·
ἐν δὲ Ποσείδιππόν τε καὶ Ηδύλον, ἄγρι' ἀρούρης,
Σικελίδεώ τ' ἀνέμοις ἄνθεα φυόμενα.
p. 3. καὶ μὴν καὶ χρύσειον ἀεὶ θεῖοιο Πλάτωνος
κλῶνα, τὸν ἐξ ἀρετῆς πάντοθι λαμπόμενον.

ἄστρων τ' ἴδριν Ἄρατον ὁμοῦ βάλεν, οὐρανομάκευς
φοίνικος κείρας πρωτογόνους ἕλικας,
λωτόν τ' εὐχαίτην Χαιρήμονος ἐν φλογὶ μίξας
Φαιδίμου, Ἀνταγόρου τ' εὔστροφον ὄμμα βοός,
τόν τε φιλάκρητον Θεοδωρίδεω νεοθαλῆ
ἕρπυλλον, κυάμων τ' ἄνθεα Φανίεω,
ἄλλων τ' ἔρνεα πολλὰ νεόγραφα· τοῖς δ' ἅμα Μούσης
καὶ σφετέρης ἔτι που πρώϊα λευκόϊα.
ἀλλὰ φίλοις μὲν ἐμοῖσι φέρω χάριν· ἐστὶ δὲ μύσταις
κοινὸς ὁ τῶν Μουσέων ἡδυεπὴς στέφανος.

II.

Πάγκαρπόν σοι, Κύπρι, καθήρμοσε, χειρὶ τρυγήσας
παίδων ἄνθος, Ἔρως ψυχαπάτης στέφανον.
ἐν μὲν γὰρ κρίνον ἡδὺ κατέπλεξεν Διόδωρον,
ἐν δ' Ἀσκληπιάδην τὸ γλυκὺ λευκόϊον.
ναὶ μὴν Ἡράκλειτον ἐνέπλεκεν, ὡς ἀπ' ἀκάνθης
ἦν ῥόδον· οἰνάνθη δ' ὥς τις ἔθαλλε Δίων·
χρυσάνθη δὲ κόμαισι κρόκον, Θήρωνα, συνῆψεν,
ἐν δ' ἔβαλ' ἑρπύλλου κλωνίον, Οὐλιάδην,
ἁβροκόμην δὲ Μυΐσκον, ἀειθαλὲς ἔρνος ἐλαίης,
ἱμερτοὺς, ἀρετῆς κλῶνας ἀπεδρέπετο.
ὀλβίστη νήσων ἱερὰ Τύρος, ἣ τὸ μυρίπνουν
ἄλσος ἔχει παίδων Κύπριδος ἀνθοφόρον.

III.

Ἁ Κύπρις θήλεια γυναικομανῆ φλόγα βάλλει·
ἄρσενα δ' αὐτὸς Ἔρως ἵμερον ἀνιοχεῖ.

II. 2. Cod. ψυχαπάτην.

T. I. p. 4. ποῦ βέψω; ποτὶ παῖδ' ἢ ματέρα; φαμὶ δὲ κἀὐτὰν
Κύπριν ἐρεῖν· Νικᾷ τὸ θρασὺ παιδάριον.

IV.

Ὦ προδόται ψυχῆς, παίδων κύνες, αἰὲν ἐν ἰξῷ
Κύπριδος ὀφθαλμοὶ βλέμματα χριόμενοι,
ἡρπάσατ' ἄλλον Ἔρωτ', ἄρνες λύκον, οἷα κορώνη
σκορπίον, ὡς τέφρη πῦρ ὑποθαλπόμενον.
δρᾶθ' ὅ τι καὶ βύλεσθε. τί μοι νενοτισμένα χεῖτε
δάκρυα, πρὸς δ' ἱκέτην αὐτομολεῖτε τάχος;
ὀπτᾶσθ' ἐν κάλλει, τύφεσθ' ὑποκαιόμενοι νῦν,
ἄκρος ἐπεὶ ψυχῆς ἐστὶ μάγειρος Ἔρως.

V.

Εἴ σε Πόθοι στέργουσι, Φιλοκλέες, ἥ τε μυρόπνους
Πειθώ, καὶ κάλλευς ἀνθολόγοι Χάριτες,
ἀγκὰς ἔχοις Διόδωρον, ὁ δὲ γλυκὺς ἀντίος εἴδοι
Δωρόθεος, κεῖσθω δ' εἰς γόνυ Καλλικράτης,
ἰαίνοι δὲ Δίων, τὸ δέ γ' εὔτοχον ἐν χερὶ τείνων
σὸν κέρας Οὐδιάδης αὐτὸ περισκυθίσαι,
δοίη δ' ἡδὺ φίλημα Φίλων, Θήρων δὲ λαλήσαι,
θλίβοις δ' Εὔδημον τιτθὸν ὑπὸ χλαμύδι.
εἰ γάρ σοι τάδε τερπνὰ πόροι θεός, ὦ μάκαρ, οἵαν
ἀρτύσεις παίδων Ῥωμαϊκὴν λοπάδα.

IV. 6. Cod. α. τάχα. Scr. πρὸς δ' εἱρκτὴν α. τάχα. Verſ. 5. mallem: δρᾶθ' ὅ τι κεν βόλησθε.

V. 3. Cod. ἀντίος ἥδη.

VI.

T. I.

Ζωροπότει δύσερως, καὶ σοῦ φλόγα τὰν φιλόπαιδα
  κοιμάσει λάθας δωροδότας Βρόμιος.
Ζωροπότει, καὶ πλῆρες ἀφυσσάμενος σκύφος οἴνας
  ἔκκρουσον στυγερὰν ἐκ κραδίας ὀδύναν.

VII. Stolb. Gel. a. d. gr. p. 302.

Οὔριος ἐμπνεύσας ναύταις Νότος, ὦ δυσέρωτες, p. 5.
  ἥμισύ μευ ψυχᾶς ἅρπασεν Ἀνδράγαθον.
τρὶς μάκαρες νᾶες, τρὶς δ' ὄλβια κύματα πόντου,
  τετράκι δ' εὐδαίμων παιδοφορῶν ἄνεμος.
εἴθ' εἴην δελφίς, ἵν' ἐμοῖς βασταχτὸς ἐπ' ὤμοις
  πορθμευθεὶς ἐσίδῃ τὰν γλυκύπαιδα Ῥόδον.

VIII.

Ἀρνεῖται τὸν Ἔρωτα τεκεῖν ἡ Κύπρις, ἰδοῦσα
  ἄλλον ἐν ἠϊθέοις Ἵμερον Ἀντίοχον.
ἀλλὰ νέοι στέργοντε νέον Πόθον· ἦ γὰρ ὁ κοῦρος
  εὕρηται κρείσσων οὗτος Ἔρωτος Ἔρως.

IX.

Εἰ χλαμύδ' εἶχεν Ἔρως, καὶ μὴ πτερά, μηδ' ἐπὶ νώτων
  τόξα τε καὶ φαρέτραν, ἀλλ' ἐφόρει πέτασον,
ναὶ μὰ τὸν ἁβρὸν ἔφηβον ἀπόμνυμαι, Ἀντίοχος μὲν
  ἦν ἄρ' Ἔρως, ὁ δ' Ἔρως τοὔμπαλιν Ἀντίοχος.

X.

Διψῶν ὡς ἐφίλησα θέρευς ἁπαλόχροα παῖδα,
  εἶπα τότ' αὐχμηρὰν δίψαν ὑποπροφυγών·

T.I. Ζεῦ πάτερ, ἆρα φίλημα τὸ νεκτάρεον Γανυμήδευς
πίνεις, καὶ τόδε σοι χείλεσιν οἰνοχοεῖ;
καὶ γὰρ ἐγὼ τὸν καλὸν ἐν ἠϊθέοισι φιλήσας
Ἀντίοχον, ψυχῆς ἡδὺ πέπωκα μέλι.

XI.

p. 6. Εἰς ἀρχαῖόν τινα νέον ᾧ ὄνομα Πραξιτέλης.

Εἰκόνα μὲν Παρίην ζωογλύφος ἄνυσ' Ἔρωτος
Πραξιτέλης, Κύπριδος παῖδα τυπωσάμενος·
νῦν δ' ὁ θεῶν κάλλιστος Ἔρως ἔμψυχον ἄγαλμα,
αὐτὸν ἀπεικονίσας, ἔπλασε Πραξιτέλην·
ὄφρ' ὁ μὲν ἐν θνατοῖς, ὁ δ' ἐν αἰθέρι φίλτρα βραβεύῃ,
γᾶς θ' ἅμα καὶ μακάρων σκηπτροφορῶσι Πόθοι.
ὀλβίστη Μερόπων ἱερὰ πόλις, ἃ θεόπαιδα
καινὸν Ἔρωτα νέων θρέψεν ὑφαγεμόνα.

XII.

Πραξιτέλης ὁ πάλαι ζωογλύφος ἁβρὸν Ἔρωτα
ἄψυχον, μορφᾶς κωφὸν ἔτευξε τύπον
πέτρῳ ἐνὶ τρυφερῷ· ὁ δὲ νῦν ἔμψυχα μαγεύων
τὸν τριπανοῦργον Ἔρωτ' ἔπλασεν ἐν κραδίᾳ.
ἦ τάχα τοὔνομ' ἔχει ταὐτὸν μόνον, ἔργα δὲ κρέσσω,
οὐ λίθον, ἀλλὰ φρενῶν πνεῦμα μεταρρυθμίσας.
ἵλαος πλάσσοι τὸν ἐμὸν τρόπον, ὄφρα τυπώσας
ἐντὸς ἐμῆς ψυχῆς ναὸν Ἔρωτος ἔχῃ.

XI. 4. αὐτόματ' εἰκονίσας. cod. XII. 1. Scr. ὃ. ἄγαλμα ἀψύχου μορφᾶς, κ. ε. Πᾶθον πέτρον ἀναιδοφορῶν.

XIII. T. I.

Σιγῶν Ηράκλειτος ἐν ὄμμασι τοῦτ' ἔπος αὐδᾷ·
Καὶ Ζηνὸς φλέξω πῦρ τὸ κεραυνοβόλον.
ναὶ μὴν καὶ Διόδωρος ἐνὶ στέρνοις τόδε φωνεῖ·
Καὶ πέτρον τήκω χρωτὶ χλιαινόμενον.
δύστανος παίδων ὃς ἐδέξατο, τοῦ μὲν ἀπ' ὄσσων
λαμπάδα, τοῦ δὲ πόθοις τυφόμενον γλυκὺ πῦρ.

XIV.

Οὐκ ἐθέλω Χαρίδαμον. ὁ γὰρ καλὸς εἰς Δία λεύσσει, p. 7.
ὡς ἤδη νέκταρ τῷ θεῷ οἰνοχοῶν.
οὐκ ἐθέλω. τί δ' ἐμοὶ τὸν ἐπουρανίων βασιλῆα
ἄνταθλον νίκης τῆς ἐν ἔρωτι λαβεῖν;
εἴρσομαι τόδε μοῦνον· ὁ παῖς ἀνιὼν ἐς Ολυμπον,
ἐκ γῆς νίπτρα ποδῶν δάκρυα τἀμὰ λάβοι,
μναμόσυνον στοργᾶς· γλυκὺ δ' ὄμμασι νεῦμα διϋγρον
δοίη, καί τι φίλημ' ἁρπάσαι ἀκροθιγές.
τἄλλα δὲ πάντ' ἐχέτω Ζεύς, ὡς θέμις. εἰ δὲ θελήσοι,
ἦ τάχα που κἠγὼ γεύσομαι ἀμβροσίας.

XV.

Ηδη μὲν γλυκὺς ὄρθρος· ὁ δ' ἐν προθύροισιν ἄϋπνος
Δᾶμις ἀποψύχει πνεῦμα τὸ λειφθὲν ἔτι,
σχέτλιος Ηράκλειτον ἰδών· ἔστη γὰρ ὑπ' αὐγὰς
ὀφθαλμῶν, βληθεὶς κηρὸς ἐς ἀνθρακίην.
ἀλλά μοι ἔγρεο Δᾶμι δυσάμμορε. καὐτὸς Ερωτος
ἕλκος ἔχων ἐπὶ σοῖς δάκρυσι δακρυχέω.

T. I.

XVI.

Ἤν τι πάθω, Κλεόβουλε, (τὸ γὰρ πλέον ἐν πυρὶ παίδων
βαλλόμενος κεῖμαι λείψανον ἐν σποδίῃ)
λίσσομαι, ἀκρήτῳ μέθυσον, πρὶν ὑπὸ χθόνα θέσθαι,
κάλπιν, ἐπιγράψας· Δῶρον Ἔρως Ἀΐδῃ.

XVII.

Εἰ μὴ τόξον Ἔρως, μηδὲ πτερὰ, μηδὲ φαρέτραν,
μηδὲ περιβλήτους εἶχε Πόθων ἀκίδας,
p. 8. οὐκ, αὐτὸν τὸν πτανὸν ἀπόμνυμαι, οὔποτ᾽ ἂν ἔγνως
ἐκ μορφᾶς, τίς ἔφυ Ζώϊλος, ἢ τίς Ἔρως.

XVIII.

Ψυχροπόται δυσέρωτες, ὅσοι φλόγα τὴν φιλόπαιδα
οἴδατε, τοῦ πικροῦ γευσάμενοι μέλιτος,
ψυχρὸν ὕδωρ νίψαι, ψυχρὸν, τάχος, ἄρτι τακείσης
ἐκ χιόνος τῇ 'μῇ χεῖτε περὶ κραδίῃ.
καὶ γὰρ ἰδεῖν ἔτλην Διονύσιον. ἀλλ᾽ ὁμόδουλοι,
πρὶν ψαῦσαι, σπλάγχνων πῦρ ἀπ᾽ ἐμοῦ σβέσατε.

XIX.

Ὤνθρωποι βωθεῖτε. τὸν ἐκ πελάγους ἐπὶ γαῖαν
ἄρτι με πρωτόπλουν ἴχνος ἐρειδόμενον
ἕλκει τῇδ᾽ ὁ βίαιος Ἔρως· φλόγα δ᾽ οἷα προφαίνων
παιδὸς ἀπαστράπτει κάλλος ἐραστὸν ἰδεῖν.
βαίνω δ᾽ ἴχνος ἐπ᾽ ἴχνος, ἐν ἀέρι δ᾽ ἡδὺ τυπωθὲν
εἶδος ἀφαρπάζων χείλεσιν ἡδυφιλῶ.

XVII. 2. alia apogr. πυριβλήτους.
XVIII. 3. Scr. ψ. υ. κίψαι, ψ., φίλοι, κ. Verſ. 5. ἢ γάρ. in cod. eſt εἰ γάρ.

ἆρά γε τὴν πικρὰν προφυγὼν ἅλα, πολύ τι κείνης T. I.
πικρότερον χέρσῳ κῦμα περῶ Κύπριδος;

XX.

Οἰνοπόται δέξασθε τὸν ἐκ πελάγευς ἅμα πόντου
καὶ κλῶπας προφυγόντ', ἐν χθονὶ δ' ὀλλύμενον·
ἄρτι γὰρ ἐκ νηός με μόνον πόδα θέντ' ἐπὶ γαῖαν,
ἀγρεύσας ἕλκει τῇδ' ὁ βίαιος Ἔρως,
ἐνθάδ' ὅπου τὸν παῖδα διαστείχοντ' ἐνόησα.
αὐτόματος δ' ἄκων ποσσὶ ταχὺς φέρομαι.
Κωμάζω δ' οὐκ οἶνον ὑπὸ φρένα, πῦρ δὲ γεμισθείς.
ἀλλά, φίλοι, ξεῖνοι βαιὸν ἐπαρκέσατε,
ἀρκέσατε, ξεῖνοι, κἀμὲ Ξενίου πρὸς Ἔρωτος p. 9.
δέξασθ' ὀλλύμενον τὸν φιλίας ἱκέτην.

XXI.

Σοί με Πόθων δέσποινα θεὰ πόρε, σοί με, Θεόκλεις,
ἁβροπέδιλος Ἔρως γυμνὸν ὑπεστόρεσεν,
ξεῖνον ἐπὶ ξείνης, δαμάσας ἀλύτοισι χαλινοῖς·
ἱμείρω δὲ τυχεῖν ἐκλινέος φιλίας.
ἀλλὰ σὺ τὸν στέργοντ' ἀπαναίνεαι, οὐδέ σε θέλγει
οὐ χρόνος, οὐ ξυνῆς σύμβολα σωφροσύνης.
Ἵλαθ', ἄναξ, ἵλαθι· σὲ γὰρ θεὸν ὥρισε Δαίμων·
ἐν σοὶ καὶ ζωῆς πείρατα καὶ θανάτου.

XXII.

Ἦν καλὸς Ἡράκλειτος, ὅτ' ἦν ποτέ. νῦν δὲ παρ' ἥβην
κηρύσσει πόλεμον δέῤῥις ὀπισθοβάταις.

XX. 6. Scr. αὖθ' ἥκων.

T. I. ἀλλά, Πολυξενίδη, τάδ᾽ ὁρῶν, μὴ γαῦρα φρυάσσου.
ἔστι καὶ ἐν γλουτοῖς φυομένη Νέμεσις.

XXIII.

Ὦ Χάριτες, τὸν καλὸν Ἀρισταγόρην ἐσιδοῦσαι
ἀντίον, εἰς τρυφερὰς ἠγκαλίσασθε χέρας,
οὕνεκα καὶ μορφᾷ βάλλει φλόγα, καὶ γλυκυμυθεῖ
καίρια, καὶ σιγῶν ὄμμασι τερπνὰ λαλεῖ.
τηλόθι μοι πλάζοιτο. τί δὲ πλέον; ὡς ἀπ᾽ Ὀλύμπου
Ζεύς, νέον οἶδεν ὁ παῖς μακρὰ κεραυνοβολεῖν.

XXIV.

Ἡδύ τι μοι διὰ νυκτὸς ἐνύπνιον, ἁβρὰ γελῶντα
ὀκτωκαιδεκέτη παῖδα μετ᾽ ἀγκαλίσιν
p. 10. ἤγαγ᾽ Ἔρως ὑπὸ χλαῖναν. ἐγὼ δ᾽ ἁπαλῷ περὶ χρωτὶ
στέρνα βαλὼν κενεὰς ἐλπίδας ἐτρεφόμαν.
καί μευ νῦν θάλπει μνήμην πόθος· ὄμμασι δ᾽ ὕπνον
ἀγρευτὴν πτηνοῦ φάσματος αἰὲν ἔχω.
ὦ δύσερως ψυχή, παῦσαί ποτε καὶ δι᾽ ὀνείρων
εἰδώλοις κάλλευς κωφὰ χλιαινομένη.

XXV.

Ἤρκταί μευ κραδίας ψαύειν πόνος· ἦ γὰρ ἀλύων
ἀκρονυχὶ ταύταν ἔκνισ᾽ ὁ θερμὸς Ἔρως.
εἶπε δὲ μειδήσας· ἕξεις ταχὺ τὸ γλυκὺ κρᾶμα,
ὦ δύσερως, λάβρῳ πιόμενος μέλιτι.
ἐξ οὗ δὴ νέον ἔρνος ἐν ἠϊθέοις Διόφαντον
λεύσσων, οὔτε φυγεῖν, οὔτε μένειν δύναμαι.

XXVI.

Εἰνόδιος στείχων τὸ μεσημβρινὸν εἶδον Ἄλεξιν,
ἀρτικόμαν καρπὸν κειρομένου θέρεος.
διπλαῖ δ᾽ ἀκτῖνές με κατέφλεγον· αἱ μὲν Ἔρωτος,
παιδὸς ἀπ᾽ ὀφθαλμῶν, αἱ δὲ παρ᾽ ἠελίου.
ἀλλ᾽ ἃς μὲν νὺξ αὖθις ἐκοίμισεν· ἃς δ᾽ ἐν ὀνείροις
εἴδωλον μορφῆς μᾶλλον ἀνεφλόγισεν.
λυσίπονος δ᾽ ἑτέροις ἐπ᾽ ἐμοὶ πόνον ὕπνος ἔτευξεν,
ἔμπνουν πῦρ, ψυχῇ κάλλος ἀπεικονίσας.

XXVII.

Αἰπολικαὶ σύριγγες ἐν οὔρεσι μηκέτι Δάφνιν
φωνεῖτ᾽, αἰγιβάτῃ Πανὶ χαριζόμεναι.
μηδὲ σὺ τὸν τερχθέντα λύρῃ Φοίβοιο, προφῆτι
Δάφνη παρθενίη, μέλφ᾽ Ὑάκινθον ἔτι.
ἦν γὰρ ὅτ᾽ ἦν Δάφνις μὲν ἐν οὔρεσι, σοὶ δ᾽ Ὑάκινθος p. 11.
τερπνός· νῦν δὲ Πόθων σκῆπτρα Δίων ἐχέτω.

XXVIII.

Κεῖμαι. λὰξ ἐπίβαινε κατ᾽ αὐχένος, ἄγριε Δαῖμον.
οἶδά σε, ναὶ μὰ θεούς, καὶ βαρὺν ὄντα φέρειν.
οἶδα καὶ ἔμπυρα τόξα. βαλὼν δ᾽ ἐπ᾽ ἐμὴν φρένα πυρσούς,
οὐ φλέξεις ἤδη· πᾶσα γάρ ἐστι τέφρη.

XXIX.

Κύπρις ἐμοὶ ναύκληρος, Ἔρως δ᾽ οἴακα φυλάσσει
ἄκρον ἔχων ψυχῆς ἐν χερὶ πηδάλιον.
κυμαίνει δ᾽ ὁ βαρὺ πνεύσας Πόθος, οὕνεκα δὴ νῦν
παμφύλῳ παίδων νήχομαι ἐν πελάγει.

XXVII. 5. Scr. οὔρεσιν ἠδ᾽.

T. I.

XXX.

Ηδὺ μὲν ἀκρήτῳ κεράσαι γλυκὺ νᾶμα μελισσῶν,
ἡδὺ δὲ παιδοφιλεῖν καὐτὸν ἐόντα καλόν,
οἷα τὸν ἁβροκόμην στέργει Κλεόβουλον Ἄλεξις·
ὄντως εὔκρατον Κύπριδος οἰνόμελι.

XXXI.

Λευκανθὴς Κλεόβουλος. ὁ δ' ἀντία τοῦδε μελίχρους
Σώπολις, οἱ δισσοὶ Κύπριδος ἀνθοφόροι.
τοὔνεκά μοι παίδων ἔπεται πόθος. οἱ γὰρ Ερωτες
ἐκ λευκοῦ πλέξαι φασί με καὶ μέλανος.

XXXII. Scalig. p. 14.

Λίσσομ', Ερως, τὸν ἄγρυπνον ἐμοὶ πόθον Ηλιοδώρου
κοίμισον, αἰδεσθεὶς Μοῦσαν ἐμὰν ἱκέτιν.
p. 12. καὶ γὰρ δὴ τὰ σὰ τόξα, τὰ μὴ δεδιδαγμένα βάλλειν
ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πτηνὰ χέοντα βέλη,
εἴ κεν ἐμὰ κτείνῃς, λείψω φωνεῦντ' ἐπὶ τύμβῳ
γράμματ'· Ερωτος ὅρα ξεῖνε μιαιφονίην.

XXXIII.

Ην ἐσίδω Θήρωνα, τὰ πάνθ' ὁρῶ· ἢν δὲ τὰ πάντα
βλέψω, τὸν δέ γε μή, τοὔμπαλιν οὐδὲν ὁρῶ.

XXXIV.

Εφθέγξω, καὶ Κύπριν, ἃ μὴ θέμις, ὦ μέγα τολμᾶν
θυμὲ μαθών· Θήρων σοὶ καλὸς οὐκ ἐφάνη·

XXXI. 4. Cod. πλέξειν ἐκ λευκοῦ φασί — In margine correctum ἢ γὰρ ἔρωτας ἐκ λευκοῦ πλέξαι.

σοὶ καλὸς οὐκ ἐφάνη Θήρων· ἀλλ' αὐτὸς ὑπέστης, T. I.
οὐδὲ Διὸς πτήξας πῦρ τὸ κεραυνοβόλον.
τοίγαρ, ἰδοὺ, τὴν πρόσθε λάλον προὔθηκεν ἰδέσθαι
δεῖγμα θρασυστομίης ἡ βαρύφρων Νέμεσις.

XXXV.

Αβρὺς, ναὶ τὸν Ερωτα, τρέφει Τύρος· ἀλλὰ Μυΐσκος
ἔσβεσεν ἐκλάμψας ἀστέρας ἥλιος.

XXXVI.

Ηγρεύθην καὶ πρόσθεν ἐγώ ποτε τοῖς δυσέρωσι
κώμοις ἠϊθέων πολλάκις ἐγγελάσας,
καί μ' ἐπὶ σοῖς ὁ πτανὸς Ερως προθύροισι, Μυΐσκε,
στῆσεν ἐπιγράψας· Σκῦλ' ἀπὸ σωφροσύνης.

XXXVII.

Τόν με Πόθοις ἄτρωτον ὑπὸ στέρνοισι Μυΐσκος
ὄμμασι τοξεύσας, τοῦτ' ἐβόησεν ἔπος·
Τὸν θρασὺν εἷλον ἐγώ· τὸ δ' ἐπ' ὀφρύσι κεῖνο φρύαγμα p. 13.
σκηπτροφόρου σοφίας ἠνίδε ποσσὶ πατῶ.
τῷ δ', ὅσον ἀμπνεύσας, τόδ' ἔφην· Φίλε κοῦρε, τί θάμβος;
καὐτὸν ἀπ' Οὐλύμπου Ζῆνα καθεῖλεν Ερως.

XXXVIII.

Ηστραψε γλυκὺ κάλλος· ἰδοὺ φλόγας ὄμμασι βάλλει.
ἆρα κεραυνομάχαν παῖδ' ἀνέδειξεν Ερως;
χαῖρε Πόθων ἀκτῖνα φέρων θνατοῖσι, Μυΐσκε,
καὶ λάμποις ἐπὶ γᾷ πυρσὸς ἐμοὶ φίλιος.

†. I.

XXXIX.

Ἓν καλὸν οἶδα τὸ πᾶν. ἓν ἐμοὶ μόνον οἶδε τὸ λίχνον
ὄμμα, Μυΐσκον ὁρᾶν· τἄλλα δὲ τυφλὸς ἐγώ.
πάντα δ' ἐκεῖνος ἐμοὶ φαντάζεται. ἆρ' ἐσορῶσιν
ὀφθαλμοὶ ψυχῆς πρὸς χάριν, οἱ κόλακες;

XL.

Εἰ Ζεὺς κεῖνος ἔτ' ἐστὶν, ὁ καὶ Γανυμήδεος ἀκμὴν
ἁρπάξας, ἵν' ἔχῃ νέκταρος οἰνοχόον,
κἠμοὶ τὸν καλόν ἐστιν ὑπὸ σπλάγχνοισι Μυΐσκον
κρύπτειν, μή με λάθῃ, παιδὶ βαλὼν πτέρυγας.

XLI.

Στήσομ' ἐγὼ καὶ Ζηνὸς ἐναντίον, εἴ σε, Μυΐσκε,
ἁρπάζειν ἐθέλοι νέκταρος οἰνοχόον.
καίτοι πολλάκις αὐτὸς ἐμοὶ τάδ' ἔλεξε· Τί ταρβεῖς;
οὔ σε βαλῶ ζήλοις· οἶδα παθὼν ἐλεεῖν.
χὠ μὲν δὴ τάδε φησίν· ἐγὼ δ', ἢν μυῖα παραπτῇ,
ταρβῶ, μὴ ψευστὴς Ζεὺς ἐπ' ἐμοὶ γέγονεν.

XLII.

p. 14. Τί κλαίεις, φρενολῃστά, τί δ' ἄγρια τόξα καὶ ἰοὺς
ἔῤῥιψας, διφυῆ ταρσὸν ἀνεὶς πτερύγων;
ἦ ῥά γε καί σε Μυΐσκος ὁ δύσμαχος ὄμμασιν αἴθει;
ὡς μόλις, οἷ' ἔδρας πρόσθε, παθὼν ἔμαθες.

XLIII.

Ἡδὺς ὁ παῖς, καὶ τοὔνομ' ἐμοὶ γλυκύς ἐστι Μυΐσκος,
καὶ χαρίεις, ἵν' ἔχω μὴ οὐχὶ φιλεῖν πρόφασιν.

XL. 1. Scr. ὃ δὴ. et ſeq. verſ. ἔχει.

καλὸς γὰρ, καὶ Κύπριν ὅλος καλός· εἰ δ' ἀνιηρὸς, T. I.
οὐδὲ τὸ πικρὸν Ἔρως συγκεράσαι μέλιτι.

XLIV.

Ἐν σοὶ τἀμὰ, Μυΐσκε, βίου πρυμνήσι' ἀνῆπται·
ἐν σοὶ καὶ ψυχῆς πνεῦμα τὸ λειφθὲν ἔτι.
ναὶ γὰρ δὴ τὰ σὰ, κοῦρε, τὰ καὶ κωφοῖς λαλεῦντα
ὄμματα, καὶ μὰ τὸ σὸν φαιδρὸν ἐπισκύνιον,
ἤν μοι συννεφὲς ὄμμα βάλῃς ποτὲ, χεῖμα δέδορκα·
ἢν δ' ἱλαρὸν βλέψῃς, ἡδὺ τέθηλεν ἔαρ.

XLV.

Χειμέριον μὲν πνεῦμα. φέρει δ' ἐπὶ σοί με, Μυΐσκε,
ἁρπαστὸν κώμοις ὁ γλυκύδακρυς Ἔρως.
κυμαίνει δὲ βαρὺ πνεύσας Πόθος. ἀλλά μ' ἐς ὅρμον
δέξαι, τὸν ναύτην Κύπριδος ἐν πελάγει.

XLVI.

Τερπνὸς μὲν Διόδωρος, ἐν ὄμμασι δ' Ἡράκλειτος,
ἡδυεπὴς δὲ Δίων, ὀσφύϊ δ' Οὐλιάδης.
ἀλλὰ σὺ μὲν ψαύοις ἁπαλόχροος, ᾧ δὲ, Φιλόκλεις, p. 15.
ἔμβλεπε, τῷ δὲ λάλει, τὸν δὲ . . . τὸ λειπόμενον.
ὡς γνῷς οἷος ἐμὸς νοῦς ἄφθονος· ἢν δὲ Μυΐσκῳ
λίχνος ἐνιβλέψῃς, μηκέτ' ἴδοις τὸ καλόν.

XLVII.

Εἰς Δάφνιν τελευτήσαντα Θρῆνος Πανός.

Οὐκέθ' ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκέτι ναίειν
ὁ τραγόπους ἐθέλω Πὰν ὀρέων κορυφάς.

T. I. τί γλυκύ μοι, τί ποθεινὸν ἐν οὔρεσι; ὤλετο Δάφνις,
Δάφνις ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
ἄστυ τόδ' οἰκήσω· θηρῶν δέ τις ἄλλος ἐπ' ἄγρην
στελλέσθω. τὰ πάροιθ' οὐκέτι Πανὶ φίλα.

XLVIII.

Οὔ μοι παιδομανὴς κραδία. τί δὲ τερπνὸν ἐρῶντι
ἀνδροβατεῖν, εἰ μὴ δοὺς τι λαβεῖν ἐθέλοι;
ἁ χεὶρ γὰρ τὰν χεῖρα καλλαμεύειν παρὰ κοίταις
εἰν —— παρ ἄρσην ἀρσενικαῖς λαβίσιν.

XLIX.

Οὐκέτι μοι Θήρων γράφεται καλός· οὐδὲ πυραυγὴς
πρίν ποτέ, νῦν δ' ἤδη δαλὸς, Ἀπολλόδοτος.
στέργω θῆλυν ἔρωτα. δασυτρώγλων δὲ πίεσμα
λασταύρων μελέτω ποιμέσιν αἰγοβάταις.

L.

Τί ξένον, εἰ βροτολοιγὸς Ἔρως τὰ πυρίπνοα τόξα
βάλλει, καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ;
p. 16. οὐ μάτηρ στέργει μὲν Ἄρη, γαμέτις δὲ τέτυκται
Ἁφαίστου, κοινὰ καὶ πυρὶ καὶ ξίφεσιν,
ματρὸς δ' οὐ μάτηρ ἀνέμων μάστιξι θάλασσα
τραχὺ βοᾷ, γενέτας δ' οὔτε τις, οὔτε τινός.
τοὔνεκεν Ἁφαίστου μὲν ἔχει φλόγα, κύμασι δ' ὀργὰν
στέρξεν ἴσαν, Ἄρεος δ' αἱματόφυρτα βέλη.

XLVIII. 1. alii codd. ἐρῶντες.

T. I.

LI.

Δεινὸς Ἔρως, δεινός. τί δὲ τὸ πλέον, ἦν πάλιν εἴπω,
καὶ πάλιν, οἰμώζων πολλάκι, δεινὸς Ἔρως;
ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ, καὶ πυκνὰ κακισθεὶς
ἥδεται· ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται.
θαῦμα δ' ἐμοὶ πῶς ἆρα διὰ γλαυκοῖο φανεῖσα
κύματος, ἐξ ὑγροῦ, Κύπρι, σὺ πῦρ τέτοκας.

LII.

Ναὶ τὰν Κύπριν, Ἔρως, φλέξω τὰ σὰ, πάντα πυρώσας,
τόξα τε, καὶ Σκυθικὴν ἰοδόκον φαρέτρην.
φλέξω ναί. τί μάταια γελᾷς, καὶ σιμὰ σεσηρὼς
μυχθίζεις; τάχα που σαρδάνιον γελάσεις.
ἦ γάρ σευ τὰ ποδηγὰ Πόθων ὠκύπτερα κόψας,
χαλκόδετον σφίγξω σοῖς περὶ ποσσὶ πέδην.
καίτοι Καδμεῖον κράτος οἴσομεν, εἴ σε πάροικον
ψυχῇ συζεύξω, θῆρα παρ' αἰπολίοις.
ἀλλ' ἴθι δυσνίκητε, λαβὼν δ' ἔπι κοῦφα πέδιλα
ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

LIII.

Αἰεί μοι δύνει μὲν ἐν οὔασιν ἦχος Ἔρωτος,
ὄμμα δὲ σῖγα πόθοις τὸ γλυκὺ δάκρυ φέρει.
οὐδ' ἡ νὺξ, οὐ φέγγος ἐκοίμισεν, ἀλλ' ὑπὸ φίλτρων p. 17.
ἤδη που κραδίᾳ γνωστὸς ἔνεστι τύπος.
ὦ πτανοὶ, μὴ καί ποτ' ἐφίπτασθαι μὲν, Ἔρωτες,
οἴδατ', ἀποπτῆναι δ' οὐδ' ὅσον ἰσχύετε.

T. I. LIV.

Τρισσαὶ μὲν Χάριτες, τρεῖς δὲ γλυκυπάρθενοι Ὧραι·
τρεῖς δ' ἐμὲ θηλυμανεῖς οἰστροβολοῦσι πόθοι.
ἦ γὰρ Ἔρως τρία τόξα κατείρυσεν, ὡς ἄρα μέλλων
οὐχὶ μίαν τρώσειν, τρεῖς δ' ἐν ἐμοὶ κραδίας;

LV.

Ψυχὴ δυσδάκρυτε, τί σοι τὸ πεπανθὲν Ἔρωτος
τραῦμα διὰ σπλάγχνων αὖτις ἀναφλέγεται;
μὴ, μὴ, πρός σε Διὸς, μὴ, πρὸς Διὸς, ὦ φιλάβουλε,
κινήσῃς τέφρῃ πῦρ ὑποθαλπόμενον.
αὐτίκα γὰρ, λήθαργε κακῶν, πάλιν εἴ σε φυγοῦσαν
λήψετ' Ἔρως, εὑρὼν δραπέτιν, αἰκίσεται.

LVI.

Βεβλήσθω κύβος· ἅπτε, πορεύσομαι. ἠνίδε, τόλμα.
οἰνοβαρὲς, τίν' ἔχεις φροντίδα; κωμάσομαι.
κωμάσομαι; ποῖ θυμὲ τρέπῃ; τί δ'; ἔρωτι λογισμός;
ἅπτε τάχος. ποῦ δ' ἡ πρόσθε λόγων μελέτη;
ἐῤῥίφθω σοφίας ὁ πολὺς πόνος· ἓν μόνον οἶδα
τοῦθ', ὅτι καὶ Ζηνὸς λῆμα καθεῖλεν Ἔρως.

LVII.

Οἴσω, ναὶ μά σε, Βάκχε, τὸ σὸν θράσος· ἄγεο, κώμων
ἄρχε, θεὸς θνατὰν ἀνιόχει κραδίαν.
p. 18. ἐν πυρὶ γενναθεὶς στέργεις φλόγα τὰν ἐν Ἔρωτι,
καί με πάλιν δήσας τὸν σὸν ἄγεις ἱκέτην.
ἦ προδότας καὶ πιστὸς ἔφυς, τεὰ δ' ὄργια κρύπτειν
αὐδῶν, ἐκφαίνειν τἀμὰ σὺ νῦν ἐθέλεις.

LVIII. T. I.

Οὔ σοι ταῦτ' ἐβόων, ψυχή, ναὶ Κύπριν, ἁλώσει
ὦ δύσερως, ἰξῷ πυκνὰ προσιπταμένη;
οὐκ ἐβόων; εἶλέν σε πάγη. τί μάτην ἐνὶ δεσμοῖς
σπαίρεις; αὐτὸς Ἔρως τὰ πτερά σου δέδεκε,
καί σ' ἐπὶ πῦρ ἔστησε, μύροις δ' ἔῤῥαινε λιπόπνουν,
δῶκε δὲ διψώσῃ δάκρυα θερμὰ πιεῖν.
ἆ ψυχὴ βαρύμοχθε, σὺ δ' ἄρτι μὲν ἐκ πυρὸς αἴθῃ,
ἄρτι δ' ἀναψύχεις, πνεῦμ' ἀναλεξαμένη.
τί κλαίεις; τὸν ἄτεγκτον ὅτ' ἐν κόλποισιν Ἔρωτα
ἔτρεφες, οὐκ ᾔδεις, ὡς ἐπὶ σοὶ τρέφετο;
οὐκ ᾔδεις· νῦν γνῶθι καλῶν ἄλλαγμα τροφείων,
πῦρ ἅμα καὶ ψυχρὰν δεξαμένη χιόνα.
αὐτὴ ταῦθ' εἵλου· φέρε τὸν πόνον. ἄξια πάσχεις
ὧν ἔδρασας, ὀπτῷ καιομένη μέλιτι.

LIX.

Τὴν περὶ νηχομένην ψυχὴν ἂν πολλάκι καίῃς,
φεύξετ', Ἔρως· καὐτή, σχέτλι', ἔχει πτέρυγας.

LX.

Οἶδ', ὅτι μοι κενὸς ὅρκος, ἐπεί σέ γε τὴν φιλάσωτον
μηνύει μυρόπνους ἀρτιβρεχὴς πλόκαμος.
μηνύει ἄγρυπνον μὲν ἰδοὺ βεβαρημένον ὄμμα,
καὶ σφιγκτὸς στεφάνων ἀμφὶ κόμαισι μίτος.
ἔσκυλται δ' ἀκόλαστα πεφυρμένος ἄρτι κικιννος, p. 19.
πάντα δ' ὑπ' ἀκρήτου γυῖα σαλευτὰ φορεῖς.
ἔῤῥε, γύναι πάγκοινε, καλεῖ σε γὰρ ἡ φιλόκωμος
πηκτὶς, καὶ κροτάλων χειροτυπὴς πάταγος.

T. I.

LXI.

Ἄγγειλον τάδε, Δορκάς· ἰδοὺ πάλι δεύτερον αὐτῇ
καὶ τρίτον ἄγγειλον Δορκὰς ἅπαντα· τρέχε.
μηκέτι μέλλε, πέτου — βραχύ μοι, βραχὺ Δορκὰς ἐπίσχες.
Δορκὰς, ποῖ σπεύδεις, πρίν σε τὰ πάντα μαθεῖν;
πρόσθες δ' οἷς εἴρηκα πάλαι — μᾶλλον δ' ἔτι ληρῶ.
μηδὲν ὅλως εἴπῃς — ἀλλ' ἴθι, πάντα λέγε·
μὴ φείδου σὺ τὰ πάντα λέγειν — καίτοι τί σε Δορκὰς
ἐκπέμπω; σύν σοι καὐτὸς, ἰδοὺ, προάγω.

LXII. Scalig. Ep. 13.

Εἶπε Λυκαινίδι Δορκάς· ἴδ' ὡς ἐπίτηκτα φιλοῦσα
ἥλως· οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.

LXIII.

Ἔγνων, οὔ μ' ἔλαθες. τί θεούς; οὐ γάρ με λέληθας.
ἔγνων· μηκέτι νῦν ὄμνυε· πάντ' ἔμαθον,
ταῦτ' ἦν, ταῦτ' ἐπίορκε; μόνη σὺ πάλιν, μόνη ὑπνοῖς;
ὦ τόλμης· καὶ νῦν, νῦν ἔτι φησὶ, μόνη.
οὐχ ὁ περίβλεπτος παρεκέκλιτο, καί μιν ἐπείδω;
ἔῤῥε κακὸν κοίτης θηρίον, ἔῤῥε τάχος.
καίτοι σοι δώσω τερπνὴν χάριν. οἶδ', ὅτι βούλει
κεῖνον ὁρᾷν. αὐτοῦ δέσμιος ὧδε μενεῖ.

p. 20.

LXIV.

Ἄστρα, καὶ ἡ φιλέρωσι καλὸν φαίνουσα Σελήνη,
καὶ Νὺξ, καὶ κώμων σύμπλανον ὀργάνιον,
ἆρά γε τὴν φιλάσωτον ἔτ' ἐν κοίταισιν ἀθρήσω
ἄγρυπνον, λύχνῳ πολλ' ἀποδαιομένην;

ἢ τιν' ἔχει σύγκοιτον; ἐπὶ προθύροισι μαράνας T. I.
δάκρυσιν ἰκνήσω τοὺς ἱκέτας στεφάνους,
ἓν τόδ' ἐπιγράψας· Κύπρι, σοὶ Μελέαγρος, ὁ μύστης
σῶν κώμων, στοργῆς σκῦλα τάδ' ἐκρέμασε.

LXV.

Ὦ πλόκαμον Δημοῦς, ὦ σάνδαλον Ἡλιοδώρας,
ὦ τὸ μυρόῤῥαντον Τιμαρίου πρόθυρον,
ὦ τρυφερὸν μείδημα βοώπιδος Ἀντικλείας,
ὦ τοὺς ἀρτιθαλεῖς Δωροθέας στεφάνους.
οὐκέτι σοι χρυσέη φαρέτρη πτερόεντας ὀϊστοὺς
κρύπτει, Ἔρως· ἐν ἐμοὶ πάντα γάρ ἐστι βέλη.

LXVI. Scalig. P. p. 41.

Ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον,
καὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην,
ναὶ πάλιν Ἰσιάδος φίλα παίγνια, ναὶ φιλάγρυπνον
λύχνον ἐμῶν κώμων πολλὰ πιόντα μέλη,
βαιὸν ἔχω τό γε λειφθὲν, Ἔρως, ἐπὶ χείλεσι τραῦμα·
εἰ δ' ἐθέλεις, καὶ τοῦτ', εἰπὲ, καὶ ἐκπτύσομαι.

LXVII.

Κῦμα τὸ πικρὸν Ἔρωτος, ἀκοίμητοί τε πνέοντες
Ζῆλοι, καὶ κώμων χειμέριον πέλαγος,
ποῖ φέρομαι; πάντη δὲ φρενῶν οἴακες ἀφεῖνται. p. 21.
ἦ πάλι τὴν τρυφερὴν Σκύλλαν ἐπόψομεθα;

LXVIII. Scalig. P. p. 12.

Ναὶ τὰν τηξαμέναν χαροποῖς ἐνὶ κύμασι Κύπριν,
ἔστι καὶ ἐκ μορφᾶς ἁ Τρυφέρα τρυφερά.

T. I.

LXIX.

Ἁ φίλερως χαροποῖς Ἀσκληπιὰς, οἷα γαλήνης,
ὄμμασι συμπείθει πάντας ἐρωτοπλοεῖν.

LXX.

Γυμνὴν ἢν ἐσίδῃς Καλλίστιον, ὦ ξένε, φήσεις·
ἤλλακται διπλοῦν γράμμα Συρηκόσιον.

LXXI. Scalig. P. p. 29.

Νὺξ ἱερὴ, καὶ λύχνε, συνίστορας οὔτινας ἄλλους
ὅρκοις, ἀλλ' ὑμέας εἱλόμεθ' ἀμφότεροι.
χὠ μὲν ἐμὲ στέρξειν, κεῖνον δ' ἐγὼ οὔ ποτε λείψειν
ὠμόσαμεν· κοινὴν δ' εἴχετε μαρτυρίην.
νῦν δ' ὁ μὲν ὅρκια φησὶν ἐν ὕδατι κεῖνα φέρεσθαι·
λύχνε, σὺ δ' ἐν κόλποις αὐτὸν ὁρᾷς ἑτέρων.

LXXII.

Ὀρθροβόας δυσέρωτι κακάγγελε, νῦν, τρισάλαστε,
ἐννύχιος κράζεις πλευροτυπῆ κέλαδον,
γαῦρος ὑπὲρ κοίτας, ὅτι μοι βραχὺ τοῦτ' ἔτι νυκτὸς
καὶ τὸ φιλεῖν, ἐπ' ἐμαῖς δ' ἁδὺ γελᾷς ὀδύναις.
ἆδε φίλα θρέπτειρα χάρις; ναὶ τὸν βαθὺν ὄρθρον
ἔσχατα γαρύεις ταῦτα τὰ πικρὰ μέλη.

p. 22.

LXXIII.

Ματρὸς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινὰ παίζων
ἀστραγάλοις, τοὐμὸν Πνεῦμ' ἐκύβευσεν Ἔρως.

LXXIV.

Ἠοῦς ἄγγελε χαῖρε Φαεσφόρε, καὶ ταχὺς ἔλθοις
Ἕσπερος, ἣν ἀπάγεις, λάθριος αὖθις ἄγων.

LXXV.

T. I.

Εἰς Τιμάριον ἑταίραν.

Καὐτὸς Ἔρως ὁ πτανὸς ἐν αἰθέρι δέσμιος ἥλω,
τοῖς σοῖς ἀγρευθεὶς ὄμμασι, Τιμάριον.

LXXVI.

Ὁ τρυφερὸς Διόδωρος ἐς ἠϊθέους φλόγα βάλλων
ἤγρευται λαμυροῖς ὄμμασι Τιμαρίου,
τὸ γλυκύπικρον Ἔρωτος ἔχων βέλος. ἦ τόδε καινὸν
θάμβος ὁρῶ· φλέγεται πῦρ πυρὶ καιόμενον.

LXXVII.

Οὐκέτι Τιμάριον τοῦ πρὶν γλαφυροῖο κέλητος
πῆγμα φέρει πλωτὸν Κύπριδος εἰρεσίῃ·
ἀλλ' ἐπὶ μὲν νώτοιο μετάφρενον, ὡς κέρας ἱστῶ,
κυρτοῦται, πολιὸς δ' ἐκλέλυται πρότονος.
ἱστία δ' αἰωρητὰ χαλᾷ σπαδονίσματα μαστῶν,
ἐκ δὲ σάλου τρεπτὰς γαστρὸς ἔχει ῥυτίδας.
νέρθε δὲ πάνθ' ὑπέραντλα νεώς, κοίλη δὲ θάλασσα
πλημμύρει, γόνασιν δ' ἔντρομός ἐστι σάλος,
δύστανός γ', ὃς ζωὸς ἔτ' ὢν Ἀχερουσίδα λίμνην
πλεύσετ' ἄνωθ' ἐπιβὰς γραὸς ἐπ' εἰκοσόρῳ.

LXXVIII.

p. 23.

Εἰς Φανίον ἑταίραν.

Οὔ μ' ἔτρωσεν Ἔρως τόξοις, οὐ λαμπάδ' ἀνάψας,
ὡς πάρος, αἰθομένην θῆκεν ὑπὸ κραδίῃ.

LXXVII. 3. Scr. ἱστῷ.

T. I. σύγκωμον δὲ Πόθοισι φέρων Κύπριδος μοροφεγγὲς
φανίον, ἄκρον ἐμοῖς ὄμμασι πῦρ ἔβαλεν,
ἐκ δέ με φέγγος ἔτηξε. τὸ δὲ βραχὺ φανίον ὤφθη
πῦρ ψυχῆς τῇ μῇ καιόμενον κραδίᾳ.

LXXIX.

Ἔσπευδον τὸν Ἔρωτα φυγεῖν. ὁ δὲ βαιὸν ἀνάψας
φανίον ἐκ τέφρης, εὗρέ με κρυπτόμενον.
κυκλώσας δ' οὐ τόξα, χερὸς δ' ἀκρώνυχα δισσὰ,
κνίσμα πυρὸς θραύσας, εἷς με λαθὼν ἔβαλεν.
ἐκ δὲ φλογὸς πάντη μοι ἐπέδραμεν. ὦ βαρὺ φέγγος
λάμψαν ἐμοί. μέγα πῦρ Φανίον ἐν κραδίῃ.

LXXX.

Εὔφορτοι νᾶες πελαγίτιδες, αἳ πόρον Ἕλλης
πλεῖτε, καλὸν κόλποις δεξάμεναι Βορέαν,
ἤν που ἐπ' ἠϊόνων Κῴαν κατὰ νᾶσον ἴδητε
Φανίον ἐς χαροπὸν δερκομέναν πέλαγος,
τοῦτ' ἔπος ἀγγείλασθε· Καλὴ νυὲ, σός με κομίζει
ἵμερος οὐ ναύταν, ποσσὶ δὲ πεζοπόρον.
εἰ γὰρ τοῦτ' εἴποιτ', εὖ ἐς τέλος αὐτίκα καὶ Ζεὺς
οὔριος ὑμετέρας πνεύσεται εἰς ὀθόνας.

p. 24.

LXXXI.

Εἰς Δημὼ ἑταίραν.

Ὄρθρε, τί μοι δυσέραστε, ταχὺς περὶ κοῖτον ἐπέστης,
ἄρτι φίλας Δημοῦς χρωτὶ χλιαινομένῳ;

LXXX. 6. cod. παιζοπόρον.

εἴθε πάλιν τρέψας ταχινὸν δρόμον Εσπερος εἴης, T. I.
ὦ γλυκὺ φῶς βάλλων εἰς ἐμὲ πικρότατον.
ἤδη γὰρ καὶ πρόσθεν ἐπ' Αλκμήνην Διὸς ἦλθες
ἀντίος, οὐκ ἀδαὴς δ' ἐσσὶ παλινδρομίης.

LXXXII.

Ορθρε, τί νῦν, δυσέραστε, βραδὺς περὶ κόσμον ἑλίσσῃ,
ἄλλος ἐπεὶ Δημοῦς θάλπεθ' ὑπὸ χλανίδι;
ἀλλ' ὅτε τὰν ῥαδινὰν κόλποις ἔχον, ὠκὺς ἐπέστης,
ὡς βάλλων ἐπ' ἐμοὶ φῶς ἐπιχαιρέκακον.

LXXXIII.

Δημὼ λευκοπάρειε, σὲ μέν τις ἔχων ὑπὸ χρῶτα
τέρπεται· ἁ δ' ἐν ἐμοὶ νῦν στενάχει κραδία.
εἰ δέ σε σαββατικὸς κατέχει πόθος, οὐ μέγα θαῦμα·
ἔστι καὶ ἐν ψυχροῖς σάββασι θερμὸς Ερως.

LXXXIV. Gerlég. P. p. 44.

Εἰς Ζηνοφίλαν ἑταίραν.

Ζηνοφίλᾳ κάλλος μὲν Ερως, σύγκοιτα δὲ φίλτρα
Κύπρις ἔδωκεν ἔχειν, αἱ Χάριτες δὲ χάριν.

LXXXV.

Τίς μοι Ζηνοφίλαν λαλίαν παρέδειξεν ἑταίραν;
τίς μίαν ἐκ τρισσῶν ἤγαγέ μοι Χάριτα;
ἦ ῥ' ἐτύμως ὅδ' ἀνὴρ κεχαρισμένον ἄνυσεν ἔργον p. 25.
δῶρα διδοὺς, καὐτὰν τὰν Χάριν ἐν χάριτι.

LXXXVI.

Αδυμελεῖς Μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
σὺν Πειθοῖ, καὶ Ερως καλὸς ὑφηνιόχῳ,

T. I. Ζηνοφίλα, σοὶ σκῆπτρα Πόθων ἀπένειμαν, ἐπεί σοι
αἱ τρισσαὶ Χάριτες τρεῖς ἔδοσαν χάριτας.

Scalig. Bern. p. 10.

LXXXVII.

Ἀδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις,
Ζηνοφίλα, τι λίγει', ἁδὺ κρέκεις τι μέλος.
ποῖ σε φύγω; πάντη με περιτείχουσιν Ἔρωτες,
οὐδ' ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.
ἁ γάρ μοι μορφὰ βάλλει πόθον, ἢ πάλι μοῦσα,
ἢ χάρις, ἢ . . . τί λέγω; πάντα. πυρὶ φλέγομαι.

LXXXVIII.

Εὕδεις Ζηνοφίλα, τρυφερὸν θάλος. εἴθ' ἐπί σοι νῦν
ἄπτερος εἰσῄειν ὕπνος ἐπὶ βλεφάροις,
ὡς ἐπὶ σοὶ μηδ' οὗτος, ὁ καὶ Διὸς ὄμματα θέλγων,
φοιτήσῃ, καταθῶ δ' αὐτὸς ἐγώ σε μόνος.

LXXXIX.

Αἱ τρισσαὶ Χάριτες τρισσὸν στεφάνωμα συνεῦνᾳ
Ζηνοφίλᾳ, τρισσᾶς σύμβολα καλλοσύνας·
ἁ μὲν ἐπὶ χρωτὸς θεμένα πόθον, ἁ δ' ἐπὶ μορφᾶς
ἵμερον, ἁ δὲ λόγοις τὸ γλυκύμυθον ἔπος.
τρισσάκι σοῦ δὲ μόνας καὶ ἁ Κύπρις ὤπλισεν εὐνὰν,
καὶ Πειθὼ μύθους, καὶ γλυκὺ κάλλος Ἔρως.

p. 26.

XC. Scalig. R. p. 12.

Πταίης μοι κώνωψ ταχὺς ἄγγελος, οὔασι δ' ἄκροις
Ζηνοφίλας ψαύσας προσψιθύριζε τάδε·

LXXXIX. 5. cod. καὶ Κύπριδος ὤλεσεν.

Αγρυπνος μίμνει σε· σὺ δ' ὦ λήθαργε φιλούντων T.I.
 εὕδεις. εἶα, πέτευ· ναὶ φιλόμουσε, πέτευ.
ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας
 κινήσεις ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.
ἢν δ' ἀγάγῃς τὴν παῖδα, δορᾷ στέψω σε λέοντος,
 κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον.

XCI. Scalig. P.p.12.

Κηρύσσω τὸν Ἔρωτα, τὸν ἄγριον. ἄρτι γὰρ ἄρτι
 ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἐστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής,
 σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.
πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ Αἰθήρ,
 οὐ Χθών φησι τεκεῖν τὸν θρασύν, οὐ Πέλαγος.
πάντῃ γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
 μή που νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος, ἰδού, περὶ φωλεόν. οὔ με λέληθας
 τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

XCII. Scalig. Brun.p.11.

Ἤδη λευκὸν ἴον θάλλει, θάλλει δὲ φίλομβρος
 νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα.
ἤδη δ' ἡ φιλέραστος, ἐν ἄνθεσιν ὥριμον ἄνθος,
 Ζηνοφίλα, Πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
 ἁ γὰρ παῖς κρέσσων ἀδυπνόων στεφάνων.

XCIII. Scalig. Brun.p.11. p.27.

Ὀξυβόαι κώνωπες, ἀναιδέες, αἵματος ἀνδρῶν
 σίφωνες, νυκτὸς κνώδαλα διπτέρυγα,

T. I. βαιὸν Ζηνοφίλαν, λίτομαι, πάρεθ' ἥσυχον ὕπνου
εὕδειν, τἀμὰ δ' ἰδοὺ σαρκοφαγεῖτε μέλη.
καὶ τί πρὸς ἠλακάτην αὐδῶ; καὶ θῆρες ἄτεγκτοι
τέρπονται τρυφερῷ χρωτὶ χλιαινόμενοι.
ἀλλ' ἔτι νῦν προλέγω, κακὰ θρέμματα, λήγετε τόλμης,
ἢ γνώσεσθε χερῶν ζηλοτύπων δύναμιν.

XCIV. Scalig. P. p. 11.

Τὸ σκύφος ἡδὺ γέγηθε· λέγει δ' ὅτι τᾶς φιλέρωτος
Ζηνοφίλας ψαύει τοῦ λαλιοῦ στόματος.
ὄλβιον· εἴθ' ὑπ' ἐμοῖς νῦν χείλεα (χείλεσι) θεῖσα
ἀπνευστὶ ψυχὰν τὰν ἐν ἐμοὶ προπίοι.

XCV. Scalig. P. p. 12.

Πωλείσθω, καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων.
πωλείσθω. τί δ' ἐμοὶ τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον· ἄκρα δ' ὄνυξι
κνίζει· καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ.
πρὸς δ' ἔτι λοιπὸν ἄτρεπτον, ἀείλαλον, ὀξὺ δεδορκὸς,
ἄγριον, οὐδ' αὐτῇ μητρὶ φίλῃ τιθασόν·
πάντα τέρας. τοίγαρ πεπράσεται. εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προσίτω.
καίτοι λίσσετ', ἰδοὺ, δεδακρυμένος. οὔτι σε πωλῶ,
θάρσει· Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

p. 28. XCVI. Scalig. P. p. 12.

Εἰς Ἡλιοδώραν ἑταίραν.

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
ψυχὴν τῆς ψυχῆς ἔπλασεν αὐτὸς Ἔρως.

XCVII. T. I.

Σφαιριστὰν τὸν Ἔρωτα τρέφω· σοὶ δ', Ἡλιοδώρα,
βάλλει τὰν ἐν ἐμοὶ παλλομέναν κραδίαν.
ἀλλ' ἄγε συμπαίκταν δέξαι Πόθον· εἰ δ' ἀπὸ σεῦ με
ῥίψαις, οὐκ οἴσω τὰν ἀπάλαιστρον ὕβριν.

XCVIII.

Ἔγχει, καὶ πάλιν εἰπὲ, πάλιν, πάλιν, Ἡλιοδώρας·
εἰπὲ, σὺν ἀκρήτῳ τὸ γλυκὺ μίσγ' ὄνομα.
καί μοι τὸν βρεχθέντα μύροις καὶ χθιζὸν ἐόντα,
μναμόσυνον κείνας, ἀμφιτίθει στέφανον.
δακρύει φιλέραστον ἰδοὺ ῥόδον, οὕνεκα κείναν
ἄλλοθι, κοὐ κόλποις ἡμετέροις ἐσορᾷ.

XCIX.

Ἔγχει τᾶς Πειθοῦς καὶ Κύπριδος Ἡλιοδώρας,
καὶ πάλι τᾶς αὐτᾶς ἁδυλόγῳ Χάριτος.
αὐτὰ γὰρ μί' ἐμοὶ γράφεται θεὸς, ἇς τὸ ποθεινὸν
οὔνομ' ἐν ἀκρήτῳ συγκεράσας πίομαι.

C.

— — — — — —
— — — —

ἅρπασται· τίς τόσσον ἐναιχμάσαι ἄγριος εἴη,
τίς τόσον ἀντᾶραι καὶ πρὸς Ἔρωτα μάχην;
ἅπτε τάχος πεύκας, καὶ ... τίς κτύπος; Ἡλιοδώρας. p. 29.
βαῖνε πάλιν στέρνων ἐντὸς ἐμῶν, κραδία.

C, 1. Cod. τὶς τόσσος ε. α. εἶναι τὶς τόσος — Forte ſcr. ἀρπάζεται — τ. τ. ἐπαιχμάσαι —

T.I.

CI.

Τρηχὺς ὄνυξ ὑπ' Ερωτος ἀνέτραφες Ἡλιοδώρας.
ταύτης γὰρ δύνει κνίσμα καὶ εἰς κραδίην.

CII.

Εν τόδε, παμμήτειρα θεῶν, λιτομαί σε, φίλη Νὺξ,
ναὶ λίτομαι, κώμων σύμπλανε, πότνια Νὺξ,
εἴ τις ὑπὸ χλαίνῃ βεβλημένος Ἡλιοδώρας
θάλπεται, ὑπναπάτῃ χρωτὶ χλιαινόμενος,
κοιμάσθω μὲν ὁ λύχνος· ὁ δ' ἐν κόλποισιν ἐκείνης
ῥιπτασθεὶς κείσθω δεύτερος Ενδυμίων.

CIII.

Ω Νὺξ, ὦ φιλάγρυπνος ἐμοὶ πόθος Ἡλιοδώρας,
καὶ σκολιῶν ὄρθρων κνίσματα δηξιχαρῆ,
ἆρα μένει στοργῆς μοι λείψανα, κἤ τι φίλημα
μνημόσυνον ψυχρᾷ θάλπετ' ἐν οἰκεσίᾳ;
ἆρά γ' ἔχει σύγκοιτα τὰ δάκρυα, κἀμὸν ὄνειρον
ψυχαπάτην στέρνοις ἀμφιβαλοῦσα φιλεῖ;
ἢ νέος ἄλλος ἔρως, νέα παίγνια; μήποτε λύχνε
ταῦτ' ἐσίδοις, εἴης δ' ἧς παρέδωκα φύλαξ.

Scalig. Poem. p. 11.

CIV.

Ο στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας.
αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

Scalig. Poem. p. 11.

p. 30.

CV.

Πλέξω λευκόϊον, πλέξω δ' ἁπαλὴν ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,

CIII. 2. Cod. δακιχαρῆ. 4. Scr. ἐνὶ κλισίῃ.

πλέξω καὶ κρόκον ἡδύν· ἐπιπλέξω δ' ὑάκινθον T.I.
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
ὡς ἂν ἐπὶ κροτάφοις μυροβότρυος Ἡλιοδώρας
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

CVI. Scalig. Rem. p. 10.

Ναὶ τὸν Ἔρωτα, θέλω τὸ παρ' οὔασιν Ἡλιοδώρας
φθέγμα κλύειν, ἢ τᾶς Λατοΐδεω κιθάρας.

CVII. Scalig. Rem. p. 11.

Φαμί ποτ' ἐν μύθοις τὰν εὔλαλον Ἡλιοδώραν
νικάσειν αὐτὰς τὰς Χάριτας χάρισιν.

CVIII. Gr. d. Bluml. p. 6. Scalig. Rem. p. 12.

Ἀνθοδίαιτε μέλισσα, τί μοι χροὸς Ἡλιοδώρας
ψαύεις, ἐκπρολιποῦσ' εἰαρινὰς κάλυκας;
ἢ σύ γε μηνύεις ὅτι καὶ γλυκὺ, καὶ δυσύποιστον
πικρὸν ἀεὶ κραδίᾳ κέντρον Ἔρωτος ἔχει;
ναὶ δοκέω, τοῦτ' εἶπας· ἴθι, φιλέραστε, παλίμπους
στεῖχε· πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην.

CIX. Stolb. Ged. a. d. Gr. p. 302.

Δάκρυά σοι καὶ νέρθε διὰ χθονὸς, Ἡλιοδώρα,
δωροῦμαι, στοργᾶς λείψανον εἰς Ἀΐδαν,
δάκρυα δυσδάκρυτα· πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
σπένδω νᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
οἰκτρὰ γὰρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος p. 31.
αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.
αἶ αἶ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅιδας,
ἅρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.

Τ.Ι. ἀλλά σε γουνοῦμαι, γᾶ παντρόφε, τὰν πανόδυρτον
ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.

CX.

Add. Ged. a. 2. gr. p. 301. Tempe B.M.S. 206.

Εἰς τὸ Ἔαρ. εἰδύλλιον.

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη.
γαῖα δὲ κυανέη χλοερὴν ἐστέψατο ποίην,
καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
οἱ δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς
λειμῶνες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν.
ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται
πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες.
ἤδη δ' εὐάζουσι φερεσταφύλῳ Διονύσῳ
ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
λευκὰ πολυτρήτοιο νεόρρυτα κάλλεα κηροῦ.
πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει·
ἀλκυόνες περὶ κῦμα, χελιδόνες ἀμφὶ μέλαθρα,
κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
συρίζει δὲ νομεύς, καὶ τέρπεται εὔκομα μῆλα,
p. 32. καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,

καὶ

CX. 4. Cod. Vat. ἐκόμισε.

καὶ μέλπει πετεηνὰ, καὶ ὠδίνουσι μέλισσαι, T.I.
πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι;

CXI.

Ἠχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς,
ἀγρονόμον μέλπεις μοῦσαν ἐρημολάλον.
ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις,
αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας.
ἀλλὰ, φίλος, φθέγγου τι νέον δενδρώδεσι Νύμφαις
παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον,
ὄφρα φυγὼν τὸν Ἔρωτα, μεσημβρινὸν ὕπνον ἀγρεύσω
ἐνθάδ' ὑπὸ σκιερῇ κεκλιμένος πλατάνῳ.

CXII.

Ἀκρὶς, ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου,
ἀκρὶς, ἀρουραίη Μοῦσα, λιγυπτέρυγε,
αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινὸν,
ἐγκρούουσα φίλοις ποσσὶ λάλους πτέρυγας,
ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης,
ἀκρὶ, μιτωσαμένη φθόγγον ἐρωτοπλάνον.
δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω,
καὶ δροσερὰς στόματι σχιζομένας ψεκάδας.

CXIII.

Αἱ Νύμφαι τὸν Βάκχον, ὅτ' ἐκ πυρὸς ἥλαθ' ὁ κοῦρος,
νίψαν ὑπὲρ τέφρης ἄρτι κυλινδόμενον.
τοὔνεκα σὺν Νύμφαις Βρόμιος φίλος. ἢν δέ νιν εἴργῃς
μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

T. I. p. 33.

CXIV.

Ἄνθεμά σοι Μελέαγρος ἑὸν συμπαίκτορα λύχνον,
 Κύπρι φίλη, μύστην σῶν θέτο παννυχίδων.

CXV.

Τίς τάδε μοι θνητῶν περὶ θριγκοῖσιν ἀνῆψε
 σκῦλα, πανααισχίστην τέρψιν Ἐνυαλίου;
οὔτε γὰρ αἰγανέαι περιαγέες, οὔτε τι πήληξ
 ἄλλοφος, οὔτε φόνῳ χρανθὲν ἄρηρε σάκος.
ἀλλ' αὔτως γανόωντα καὶ ἀστυφέλικτα σιδάρῳ,
 οἷά περ οὐκ ἐνοπᾶς, ἀλλὰ χορῶν ἔναρα·
οἷς θάλαμον κοσμεῖτε γαμήλιον. ὅπλα δὲ λύθρῳ
 λειβόμενα βροτέῳ σηκὸς Ἄρηος ἔχοι.

CXVI.

Αὐτὸς ὁ βοῦς ἱκέτης ἐπιβώμιος, αἰθέριε Ζεῦ,
 μυκᾶται, ψυχὴν ῥυόμενος θανάτου.
ἀλλὰ μέθες, Κρονίδη, τὸν ἀροτρέα. καὶ σὺ γὰρ αὐτὸς
 πορθμεὺς Εὐρώπης ταῦρος, ἄναξ, ἐγένου.

CXVII.

Ταντάλι παῖ, Νιόβα, κλύ' ἐμὰν φάτιν, ἄγγελον ἄτας·
 δέξαι σῶν ἀχέων οἰκτροτάταν λαλιάν.
λῦε κόμας ἀνάδεσμον, ἰώ, βαρυπενθέσι Φοίβου
 γειναμένα τόξοις ἀρσενόπαιδα γόνον.

CXV. 1. Editt. περὶ τοῖς θρ. Suid. ed. pr. θνητῶν θρ. ἀν. epitheton quoddam voci θριγκοῖς congruum deeſſe videtur. θνητῶν eſt in omnibus codd. quod vir quidam doctus in marg. Scal. male mutavit in θνητά. Br. in Lectt. p. 51.

οὔ σοι παῖδες ἔτ' εἰσίν. ἀτὰρ τί τόδ' ἄλλο; τί λεύσσω; T. I.
  αἶ, αἶ, πλημμύρει παρθενικαῖσι φόνος.
ἁ μὲν γὰρ ματρὸς ἐπὶ γούνασιν, ἁ δ' ἐνὶ κόλποις
  κέκλιται. ἁ δ' ἐπὶ γᾶς, ἁ δ' ἐπιμαστίδιος.
ἄλλα δ' ἀντωπὸν θαμβεῖ βέλος· ἁ δ' ἐπ' ὀϊστοῖς p. 34.
  πτώσσει· τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁράᾳ.
ἁ δὲ λάλον στέρξασα πάλαι στόμα νῦν ὑπὸ θάμβευς
  μάτηρ σαρκοπαγὴς οἷα πέπηγε λίθος.

CXVIII.

Ὤνθρωφ', Ἡράκλειτος ἐγὼ σοφὰ μοῦνος ἀνευρών,
  φημὶ τάδ' ἐς πάτραν κρείσσονα καὶ σοφίης.
λὰξ γὰρ καὶ κοτέων, Ασίᾳ, ξένε, δύσφρονας ἄνδρας
  ὑλάκτευν· λαμπρὰ θρεψαμένοισι χάρις.
οὐκ ἀπ' ἐμεῦ; μὴ τρηχύς· ἐπεὶ τάχα καὶ σύ τι πείσῃ
  τρηχύτερον. πάτρης χαῖρε σὺ δ' ἐξ Εφέσου.

CXIX.

Εἰς τὰς Λυκαμβίδας.

Δεξιτερὴν Αΐδαο θεοῦ χέρα, καὶ τὰ κελαινὰ
  ὄμνυμεν ἀρρήτου δέμνια Φερσεφόνης,
παρθένοι ὡς ἐσμὲν καὶ ὑπὸ χθονί· πολλὰ δ' ὁ πικρὸς
  αἰσχρὰ καθ' ἡμετέρης ἔφλυσε παρθενίης
Αρχίλοχος· ἐπέων δὲ καλὴν φάτιν οὐκ ἐπὶ καλὰ
  ἔργα, γυναικεῖον ἔτραπεν εἰς πόλεμον.
Πιερίδες, τί κόρῃσιν ἐφ' ὑβριστῆρας ἰάμβους
  ἐτράπετ', οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;

CXVIII. 3. Cod. λ. γ. ἐγὼ καὶ τὸ κέων ἀσίῳ ξένε δ. α. unde melius ſcripſiſſem: λ. γ. ἐγὼ κοτέων Ἀσίᾳ, ξ.

CXX.

T. I. Τὸν ταχύπουν, ἔτι παῖδα συναρπασθέντα τεκούσης
ἄρτι μ' ἀπὸ στέρνων, οὐατόεντα λαγὼν
ἐν κόλποις στέργουσα διέτρεφεν ἁ γλυκερόχρως
Φανίον, εἰαρινοῖς ἄνθεσι βοσκόμενον.
p. 35. οὐδέ με μητρὸς ἔτ' εἶχε πόθος. θνήσκω δ' ὑπὸ θοίνης
ἀπλήστου, πολλῇ δαιτὶ παχυνόμενος.
καί μου πρὸς κλισίαις κρύψε νέκυν, ὡς ἐν ὀνείροις
αἰὲν ὁρᾷν κοίτης γειτονέοντα τάφον.

CXXI.

Παμμῆτορ γῆ χαῖρε, σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αἰσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

CXXII.

α Εἰπὸν ἀνειρομένῳ τίς καὶ τίνος ἐσσί. β Φίλαυλος
Εὐκρατίδεω. α ποδαπὸς δ' εὔχε' ἔμεν; β Θριασεύς.
α ἔζησας δὲ τίνα στέργων βίον; β οὐ τὸν ἀρότρου,
οὐδὲ τὸν ἐκ νηῶν· τὸν δὲ σοφοῖς ἕταρον.
α γήραϊ δ', ἢ νούσῳ βίον ἔλλιπες; β ἤλυθον Ἀΐδαν
αὐτοθελεί, κείνων γευσάμενος κυλίκων.
α ἦ πρέσβυς; β καὶ κάρτα. α λάβοι νύ σε βῶλος ἐλαφρὴ
σύμφωνον πινυτῷ σχόντα λόγῳ βίοτον.

CXXIII.

Εἰς τὸν τάφον Ἀντιπάτρου Σιδωνίου ποιητοῦ, ἐφ' ᾧ σύνθημα ἦν ἀλέκτωρ, καὶ φοίνικος κλάδος, καὶ ἀστράγαλος.

Ἀ στάλα, σύνθημα τί σοι γοργωπὸς ἀλέκτωρ
ἔστα, καλλαΐνᾳ σκηπτοφόρος πτέρυγι;

ποσσὶν ὑφαρπάζων Νίκας κλάδον· ἄκρα δ᾽ ἐπ᾽ αὐτᾶς T. I.
βαθμίδος πρᾳπεσὼν κέκλιται ἀστράγαλος;
ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
κρύπτεις; ἀλλὰ τί σοι παίγνιον ἀστράγαλος;
πρὸς δὲ, τί λιτὸς ὁ τύμβος; ἐπιπρέπει ἀνδρὶ πενιχρῷ
ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεγρομένῳ.
οὐ δοκέω· σκᾶπτρον γὰρ ἀναίνεται. ἀλλὰ σὺ πεύθεις p. 36.
ἀθλοφόρον, νίκαν ποσσὶν ἀειράμενον.
οὐ ψαύω καὶ τῇδε· τί γὰρ ταχὺς εἴκελος ἀνὴρ
ἀστραγάλῳ; νῦν δὴ τὠτρεκὲς ἐφρασάμαν.
φοίνιξ οὐ νίκαν ἐνέπει, πάτραν δὲ, μεγαυχῆ
ματέρα Φοινίκων, τὰν πολύπαιδα Τύρον·
ὄρνις δ᾽, ὅττι γεγωνὸς ἀνὴρ, καί που περὶ Κύπριν
πρᾶτος, κὴν Μούσαις ποικίλος ὑμνοθέτας.
σκᾶπτρα δ᾽ ἔχει σύνθημα λόγου· θνάσκειν δὲ πεσόντα
οἰνοβρεχῆ, προπετὴς ἐννέπει ἀστράγαλος.
καὶ δὴ σύμβολα ταῦτα. τὸ δ᾽ οὔνομα πέτρος ἀείδει,
Ἀντίπατρον, προγόνων φύντ᾽ ἀπ᾽ ἐρισθενέων.

CXXIV.

Οἰκτρότατον μάτηρ, σε, Χαρίξενε, δῶρον ἐς Ἀΐδαν,
ὀκτωκαιδεκέτην ἐστόλισε χλαμύδι.
ἦ γὰρ δὴ καὶ πέτρος ἀνέστενεν, ἀνίκ᾽ ἀπ᾽ οἴκων
ἄλικες οἰμωγᾷ σὸν νέκυν ἀχθοφόρευν.
πένθος δ᾽, οὐχ Ὑμέναιον ἀνωρύοντο γυναῖκες,
αἲ αἲ, τὰς μαστῶν ψευδομένας χάριτας,
καὶ κενεὰς ὠδῖνας. ἰὼ κακοπάρθενε Μοῖρα
Σπειρογόνας στοργὰν ἔπτυσας εἰς ἀνέμους.

T. I. τοῖς μὲν ὁμιλήσασι ποθεῖν πάρα, τοῖς δὲ τοκεῦσι
πενθεῖν, τοῖς δ' ἀγνῶς πευθομένοις ἐλεεῖν.

CXXV.

Οὐ γάμον, ἀλλ' Ἀίδαν ἐπινυμφίδιον Κλεαρίστα
δέξατο, παρθενίας ἅμματα λυομένα.
ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν
λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι·
p. 37. ἠῷος δ' ὀλολυγμὸς ἀνέκραγεν, ἐν δ' Ὑμέναιος
σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο.
αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχευν παρὰ παστῷ
πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

CXXVI.

Ἀτρέμας, ὦ ξένε, βαῖνε· παρ' εὐσεβέσιν γὰρ ὁ πρέσβυς
εὕδει, κοιμηθεὶς ὕπνον ὀφειλόμενον,
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν Ἔρωτα
καὶ Μούσας ἱλαραῖς συστολίσας Χάρισιν·
ὃν θεόπαις ἤνδρωσε Τύρος, Γαδάρων θ' ἱερὰ χθών·
Κῶς δ' ἐρατὴ Μερόπων πρέσβυν ἐγηροτρόφει.
ἀλλ' εἰ μὲν Σύρος ἐσσὶ, ΣΕΛΟΜ· εἰ δ' οὖν σύ γε Φοῖνιξ,
ΑΥΔΟΝΙΣ· εἰ δ' Ἕλλην, ΧΑΙΡΕ. τὸ δ' αὐτὸ φράσον.

CXXVII.

Νᾶσος ἐμὰ θρέπτειρα Τύρος· πάτρα δ' ἐμὶ τεκνοῖ
Ἀτθὶς ἐν Ἀσσυρίοις ναιομένα Γαδάροις.
Εὐκράτεω δ' ἔβλαστον ὁ σὺν Μούσαις Μελέαγρος,
πρῶτα Μενιππείαις συντροχάσας χάρισιν.

εἰ δὲ Σύρος, τί τὸ θαῦμα; μίαν, ξένε, πατρίδα, κόσμον T. I.
 ναίομεν· ἓν θνατοὺς πάντας ἔτικτε Χάος.
πουλυετὴς δ' ἐχάραξα τάδ' ἐν δέλτοισι πρὸ τύμβου·
 γήρως γὰρ γείτων, κἀγγύθεν Ἀΐδεω.
ἀλλά με τὸν λάλιον καὶ πρεσβύτην σὺ προσειπὼν
 χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.

CXXVIII. p. 38.

Αἰνιγματῶδες. ὅτι διὰ τὴν ὁμωνυμίαν τοῦ παλαιοῦ ἥρωος Μελεάγρου τὸν ἑαυτοῦ τάφον οὕτως ἐκόσμησεν σιβύνῃ καὶ κάπρου δέρματι.

Πτανέ, τί σοι σιβύνη, τί δὲ καὶ συὸς εὔαδε δέρμα;
 καὶ τίς ἐών, στάλας σύμβολον ἐσσὶ τίνος;
οὐ γὰρ Ἔρωτ' ἐνέπω σε. τί γάρ; νεκύεσσι πάροικος
 Ἵμερος; ἀλάζειν ὁ θρασὺς οὐκ ἔμαθεν.
οὐδὲ μὲν οὐδ' αὐτὸν ταχύπουν Κρόνον. ἔμπαλι γὰρ δὴ
 κεῖνος μὲν τριγέρων· σοὶ δὲ τέθηλε μέλη.
ἀλλ' ἄρα, καὶ δοκέω γάρ, ὁ γᾶς μὲν ἔνερθε, σοφιστὰς
 ἐστί· σὺ δ', ὁ πτερόεις, τοὔνομα τοῦδε λέγεις.
ἐν προβολᾷ δ' ἀμφῆκες ἔχεις γέρας, ἔς τε γέλωτα
 καὶ σπουδάν, καί που μέτρον ἐρωτογράφον.
καὶ μὴν δὴ Μελέαγρον ὁμώνυμον Οἰνέος υἱῷ
 σύμβολα σημαίνει ταῦτα συοκτασίης.
χαῖρε καὶ ἐν φθιμένοισιν, ἐπεὶ καὶ Μούσαν Ἔρωτι,
 καὶ Χάριτας Σοφίᾳ εἰς μίαν ἡρμόσαο.

CXXIX.

Ἀπύματον καμπτῆρα καταγγέλλουσα κορωνίς,
 ἐρκοῦρος γραπταῖς πιστοτάτα σέλισι,

T. I. φαμὶ τὸν ἐκ πάντων ἠθροισμένον εἰς ἓν ἄμοργμον
ὑμνοθέταν βύβλῳ τᾷδ' ἐνελιξάμενον
ἐκτελέσαι Μελέαγρον, ἀείμνηστον δὲ Διοκλεῖ
ἄνθεσι συμπλέξαι μουσοπόλον στέφανον.
οὖλα δ' ἐγὼ καμφθεῖσα δρακοντείοισιν ἀώτοις
σύνθρονος ἵδρυμαι τέρμασιν εὐμαθίας.

---

p. 40.

ΑΡΧΙΛΟΧΟΥ

ΠΑΡΙΟΥ ΛΕΙΨΑΝΑ.

I.

Κήδεα μὲν στονόεντα, Περίκλεες· οὐδέ τις αὐτῶν
μεμνόμενος, θαλίης τέρψεται οὔτε πότοις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν· οἰδαλέους δ' ἀμφ' ὀδύνῃ ἔχομεν
πνεύμονας· ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον. ἄλλοτε δ' ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν.
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα
τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

II.

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

III. T. I.

Ἀσπίδι μὲν Σαΐων τὶς ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος. ἀσπὶς ἐκείνη
ἐῤῥέτω. ἐξαῦθις κτήσομαι οὐ κακίω.

IV. p. 41.

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται, οὐδὲ θαμειαὶ
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον.
ταύτης γὰρ κεῖνοι δαίμονες εἰσὶ μάχης
δεσπόται Εὐβοίας δουρικλυτοί.

V.

Ἀλλ' ἄγε, σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
φοίτα, καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγὸς, οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

VI.

Θρηνῶν δὲ τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάττῃ καὶ μὴ τυχόντα νομίμου ταφῆς, λέγει μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν,

Εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπολήθη.

VII.

Οὔτε τι γὰρ κλαίων ἰήσομαι· οὔτε κάκιον
θήσω, τερπωλὰς καὶ θαλίας ἐφέπων.

T. I.

VIII.

Ἀλκιβίη πλοκάμων ἱερὴν ἀνέθηκε καλύπτρην
Ἥρῃ, κουριδίων εὖτ' ἐκύρησε γάμων.

IX.

Οὐ φιλέω μέγαν στρατηγὸν,
οὐδὲ διαπεπλεγμένον,
p. 43. οὐδὲ βοστρύχοισι γαῦρον,
οὐδ' ὑπεξυρημένον.
ἀλλά μοι εἴη ῥαιβὸς,
ἀσφαλῶς βεβηκὼς,
καὶ ἐπινοήμασι δασύς.

X.

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει.
οὐδ' εἷλέ πω με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος.
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

XI.

Τοῖος ἀνθρώποισι θυμὸς, Γλαῦκε Λεπτίνεω παῖ,
γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐφ' ἡμέρην ἄγει.

XII.

Καὶ φρονεῦσι τοῖ', ὁκοίοις ἐγκυρέωσιν ἔργμασι.

IX. 2. Scr. διαπεπλιγμένον.

IX. 5. Scr. ἀλλὰ μικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν ῥαιβὸς, ἀσφ. βεβ. ποσσὶ, καρδίας τε πλέως, καὶ ἐπιν. δ.

XI. 1. Menag. ſuſp. τ. ἀ. νοῦς, ὦ Γ., παῖ Λεπτίνεω —

T. I.

XIII.

Γλαῦκε ὅρα, βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται
πόντος, ἀμφὶ δ' ἄκρα γυρεὸν ὀρφνὸν ἵσταται νέφος,
σῆμα χειμῶνος. κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

XIV. Stob. Ges. a. 9. gr. p. 308.

Θυμὲ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
ἄνεχε, δυσμενῶν δ' ἀλέξευ προσβαλὼν ἐναντίον
στέρνον, ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατασταθεὶς
ἀσφαλῶς. καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μηδὲ νικηθεὶς ἐν οἴκῳ καταπεσὼν, ὀδύρεο. p. 43.
ἀλλὰ χαρτοῖσίν τε χαῖρε, καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ' οἷος ῥυθμὸς ἀνθρώπους ἔχει.

XV.

Τοῖς θεοῖς τίθει τὰ πάντα. πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί·
πολλάκις δ' ἀνατρέπουσι, καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσ'. ἔπειτα πολλὰ γίνεται κακά.
καὶ βίου χρήζων πλανᾶται, καὶ νόου παρήορος.

XVI.

Χρημάτων ἄελπτον οὐδέν ἐστιν, οὐδ' ἀπώμοτον,
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίας ἔθηκε νύκτ', ἀποκρύψας φάος
ἡλίου λάμποντος· λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ οὐκ ἄπιστα πάντα κἀπίελπτα γίνεται
ἀνδράσιν; μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω,

XV. 4. κινδε' ap. Stob.

V. 1. μηδ' ἵνα δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον, καί σφι θαλάσσης ἠχήεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ἦν ὄρος.

XVII.

Ὦ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος, σὺ δ' ἔργα
ἐπ' ἀνθρώπους ὁρᾷς λεωργά τε κἀθέμιστα.

XVIII.

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν.

p. 44.

XIX.

Οὔ τις αἰδοῖος μετ' ἀστῶν καίπερ εὔφημος θανὼν
γίνεται. χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν
ζωοὶ ἀνθρώπων. κάκιστα δὲ τῷ θανόντι γίνεται.

XX.

Κλῦθ' ἄναξ Ἥφαιστε, καί μοι σύμμαχος γουνουμένῳ
ἵλαος γενοῦ, χαρίζευ δ' οἷά περ χαρίζεαι.

XXI.

Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν, διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον, εἰπών·

Ἥδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίας ἐπιστεφής.

XXII.

Ἀρχίλοχος ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν. περὶ γοῦν τῆς Θάσου, ὡς ἥσσονος, φησίν·

Οὐ γάρ τι καλὸς χῶρος, οὐδ' ἐφίμερος,
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

XVI. 7. Scr. μ. ἐὰν δ.

XXIII.

T. I.

Ἀρχίλοχος ἐπὶ τῆς τἀναντία φρονούσης ὁ κακῶς εἶπε·

Τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα χειρὶ,
τῇ ἑτέρῃ δὲ πῦρ.

XXIV.

Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευε,
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

XXV.

p. 45.

Εἰ γὰρ ὣς
ἐμοὶ γένοιτο χεῖρα Νεοβούλης θίγειν.

XXVI.

Ἀλλά μ' ὁ λυσιμελὴς, ὦ 'ταῖρε, δάμναται πόθος.

XXVII.

Οὐκ ἔθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα, κάρφεται γὰρ ἤδη.

XXVIII.

Ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται.

XXIX.

Ἐρέω πολὺ φίλταθ' ἑταίρων· τέρψεαι δ' ἀκούων·
φιλέειν στυγνόν περ ἐόντα, μηδὲ διαλέγεσθαι.

XXX.

Ἤμβλακον, καί πού τιν' ἄλλον ἥδ' ἄτη κιχήσατο.

XXXI.

Ἔρξω·
ἐτήτυμον γὰρ ξυνὸς ἀνθρώποις Ἄρης.

T. I.

XXXII.

Νίκης δ' ἐν θεοῖσι πείρατα.

XXXIII.

Αλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

p. 46.

XXXIV.

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο.

XXXV.

Εσμυρισμένας κόμας
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο.

XXXVI.

Διωνύσοιο ἄνακτος
καλὸν ἐξάρξαι μέλος οἶδα, διθύραμβον, οἴνῳ
συγκεραυνωθεὶς φρένας.

XXXVII.

Εχουσα θαλλὸν μυρσίνης ἐτέρπετο,
ῥοδῆς τε καλὸν ἄνθος.

XXXVIII.

Αἶνός τις ἐς' ἀρχαῖος ἀνθρώπων ὅδε,
ὡς ἄρ' ἀλώπηξ κερδαλῆ τε καἰετὸς
ξυνωνίην ἔθεντο.

XXXIX.

Ερέω τιν' ὑμῖν αἶνον, ὦ Κηρυκίδη,
ἀχνυμένη σκυτάλη

— — — — —
— — —

πίθηκος ᾔει θηρίων ἀποκριθεὶς T.I.
μοῦνος ἀν' ἐσχατιήν.
τῷ δ' ἄρ' ἀλώπηξ κερδαλῆ συνήντετο
πυκνὸν ἔχουσα νόον.

XL. P.47.

Βοῦς ἐστιν ἡμῖν ἐργάτης ἐν οἰκίῃ
κορωνός, ἔργων ἴδρις.

XLI.

Ἵστη κατ' ἠκὴν κύματός τε κἀνέμου.

XLII.

Ἔλπομαι,
πολλοὺς μὲν αὐτῶν Σείριος καταυανεῖ
ὀξὺς ἐλλάμπων.

XLIII.

Μηδ' ὁ Ταντάλου λίθος
ὑπερκρεμάσθω τῆσδε νήσου.

XLIV. Lect. p.236

Οὔπερ πρὸς αὐλὸν βρῦτον ἢ Θρήϊξ ἀνὴρ
ἢ Φρὺξ ἔβρυζε, κύβδ' ἔην πονευμένη.

XLV.

Συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας
εὐήθης ξείνων δέκτρια Πασιφάη.

Lectt. p. 307.

ΑΡΙΟΝΟΣ ΜΗΘΥΜΝΑΙΟΥ.

I.

Ὕψιστε θεῶν, πόντιε,
χρυσοτρίαινε Πόσειδον,
γαιήοχε, κυανοχαῖτα,
βράγχιοι περὶ δή σε πλωτοὶ θῆρες
χορεύουσιν ἐν κύκλῳ,
κούφοισι ποδῶν ῥίμμασιν
ἐλαφρὰ ἀναπαλλόμενοι,
σεισμοὶ φριξαύχενες,
ὠκύδρομοι σκύλακες,
φιλόμουσοι δελφῖνες,
ἔναλ' ἀθύρματα κουρᾶν
Νηρηΐδων θεᾶν,
ἃς ἐγείνατ' Ἀμφιτρίτα·
οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ
Ταιναρίαν ἀκτὰν ἐπόρευσαν,
πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις ὀχέοντες,
ἄλοκα Νηρείας πλακὸς
τέμνοντες, ἀστιβῆ πόρον,
φῶτες δόλιοι, ὥς μ' ἀφ' ἁλιπλόου
γλαφυρᾶς νεὼς εἰς οἶδμα
ἁλιπόρφυρον λίμνας ῥίψαν.

cf. Voss Myth. Br. B. 2. p. 104.

II.

II. T. III. p. 328.

Ἐπὶ τῷ ἀναθήματι ἐπὶ Ταινάρῳ.

Ἀθανάτων πομπαῖσιν Ἀρίονα Κυκλέος υἱὸν
ἐκ Σικελῦ πελάγυς σῶσεν ὄχημα τόδε.

ΠΕΙΣΑΝΔΡΟΥ ΡΟΔΙΟΥ. T. II. p. 294.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν· ἵππῳ δὲ Πόδαργος·
καὶ κυνὶ Θήραργος· καὶ θεράποντι, Βάβης.
Θεσσαλὸς, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱὸς·
ὤλετο δ' ἐν προμάχοις, ὀξὺν Ἄρη συνάγων.

Σ Α Π Φ Ο Υ Σ.

I. (II.) T. I. p. 55.

Παιδὶ ἄφωνος ἐοῖσα τάδ' ἐννέπω, ἤν τις ἔρηται,
φωνὰν ἀκαμάταν κατθεμένα πρὸ ποδῶν.
Αἰθοπίᾳ με κόρᾳ Λατῦς ἀνέθηκεν Ἀριστὼ
Ἑρμοκλείδαο τῶ Σαοναϊάδα,
σὰ πρόπολος, δέσποινα γυναικῶν· ᾇ σὺ χαρεῖσα
πρόφρων ἁμετέραν εὐκλέϊσον γενεάν.

I. 1. Cod. παῖδες α. ε. τάτ' ἐνν. αἰ. Verſ. 3. Cod. Λατοῖ α. ἀρίστα. Verſ. 4. Ἑρμοκλείταο τῶς Σαναϊάδα.

T. I. II. (III.)

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος
  κύρτον καὶ κώπαν, μνᾶμα κακοζωΐας.

III. (IV.)

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῖσαν
  δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
ἇς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
  ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

---

p. 58. ## ΗΡΙΝΝΗΣ.

I.

Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα. λῷστε Προμαθεῦ,
  ἐντὶ καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν.
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
  αἴκ' αὐδὰν ποτέθηκ', ἦς κ' Ἀγαθαρχὶς ὅλα.

II.

Εἰς Βαυκίδα τὴν Μιτυληναίαν Ηρίννης συνεταιρίδα.

Στᾶλαι, καὶ σειρῆνες ἐμαὶ, καὶ πένθιμε κρωσσὲ,
  ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιὰν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν,
  αἴτ' ἀστοὶ τελέθοντ', αἴθ' ἑτεροπτόλιες,
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τὸ,
  ὅττι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
τήνῳ εὐγενὲς ἐντὶ, καὶ ὅττι μοι ἁ συνεταιρὶς
  Ἤρινν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

III. T. I.

Εἰς Βαυκίδα τὴν νύμφην ἐν τῷ θαλάμῳ τελευτήσασαν.

Νύμφας Βαυκίδος εἰμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν, τῷ κατὰ γᾶς τῦτο λέγοις Ἀΐδᾳ·
ΒΑΣΚΑΝΟΣ ΕΣΣ᾽ ΑΙΔΑ. τὰ δέ τοι καλά μευ ποθορῶντι
ὠμοτάταν Βαυκῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ᾽ Ὑμέναιος ὑφ᾽ ἇς δόμον ἄγετο πεύκας
τᾷδ᾽ ἐπὶ καδεσταῖς ἔφλεγε πυρκαϊᾶς,
καὶ σὺ μέν, ὦ Ὑμέναιε γάμων μολπαῖαν ἀοιδὰν p. 59.
ἐς θρήνων γοερὸν φθέγμα μεθηρμόσαο.

ΣΟΛΩΝΟΣ p. 75.

ΣΚΟΛΙΟΝ.

Πεφυλαγμένος ἄνδρα ἕκαστον,
ὅρα μὴ κρυπτὸν ἔγχος ἔχων
κραδίῃ, φαιδρῷ προσενέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνας φρενὸς γεγωνῇ.

III. 4. Cod. ἔμματα τὰν β. Verſ. 5. Cod. ἐφ᾽ ἇς. Verſ. 6. τάνδ᾽.

T. I. p. 76.

ΚΛΕΟΒΟΥΛΟΥ

ΛΙΝΔΙΟΥ.

I.

Χαλκέη παρθένος εἰμὶ, Μίδεω δ' ἐπὶ σήματι κεῖμαι.
ἔς' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,
ἠέλιος τ' ἀνιὼν φαίνῃ, λαμπρά τε σελήνη,
αὐτȣ̃ τῇδε μένȣσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριȣ̃σι, Μίδης ὅτι τῇδε τέθαπται.

II.

Εἷς ὁ πατὴρ, παῖδες δὲ δυώδεκα· τῶν δὲ ἑκάςῳ
κȣ̃ραι ἑξήκοντα διάνδιχα εἶδος ἔχȣσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι,
ἀθάναται δέ τ' ἐȣ̃σαι ἀποφθινύθȣσιν ἅπασαι.

Vid. Ged. a. d. Gr. p. 200.

ΑΙΣΩΠΟΥ.

Πῶς τις ἄνευ θανάτȣ σε φύγοι, βίε; μυρία γάρ σευ
λυγρά· καὶ ὅτε φυγεῖν εὐμαρὲς, ὅτε φέρειν.
ἡδέα μὲν γάρ σȣ τὰ φύσει καλὰ, γαῖα, θάλασσα,
ἄςρα, σεληναίης κύκλα καὶ ἠελίȣ·
τἄλλα δὲ πάντα, φόβοι τε καὶ ἄλγεα. κἤν τι πάθῃ τις
ἐσθλὸν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

ΦΩΚΥΛΙΔΟΥ T. I. p. 77.

ΜΙΛΗΣΙΟΥ.

I.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα.
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ᾽ ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

II.

Γνώσῃ δ᾽ ἀνθρώπους αὐθαίρετα πήματ᾽ ἔχοντας·
τλήμονες, οἵ τ᾽ ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
οὔτε κλύουσι, λύσιν δὲ κακῶν παῦροι συνίσασι.

III.

Χρῄζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ.
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείας κέρας εἶναι.

IV.

Καὶ τόδε Φωκυλίδεω. τετόρων ἀπὸ τῶνδε γίνονται
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ᾽ ἵππου χαιτηέσσης.
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη.
ἡ δὲ συὸς βλοσυρῆς, οὔτ᾽ ἂρ κακή, οὔτε μὲν ἐσθλή.
ἡ δὲ κυνός, χαλεπή τε καὶ ἄγριος. ἡ δὲ μελίσσης,
οἰκονόμος τ᾽ ἀγαθή, καὶ ἐπίσταται ἐργάζεσθαι, p. 78.
ἧς εὔχου, φίλ᾽ ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

T.I.

V.

Καὶ τόδε Φωκυλίδου, τοπλέον γένος εὐγενὲς εἶναι
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις, οὔτ' ἐνὶ βουλῇ.

VI.

Ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι·
οἱ μὲν, ἐπερχομένου κακὸν ἀνέρος, ἐκλύσασθαι . . .

VII.

Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα.

VIII.

Πολλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

IX.

Καὶ τόδε Φωκυλίδου. πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ, κρείσσων Νίνου ἀφραινούσης.

X.

T.II.p.522. Καὶ τόδε Φωκυλίδεω. Λέριοι κακοί. οὐχ' ὁ μὲν, ὃς δ' οὔ·
πάντες. πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

ΑΝΑΚΡΕΟΝΤΟΣ

T.I. p.116. **ΕΠΙΓΡΑΜΜΑΤΑ.**

I. (LXIX.)

Ἀλκίμων σ', ὦ 'ριστοκλείδη. πρῶτον οἰκτείρω φίλων·
ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουληΐην.

II. (LXX.) T. I.

Οὗτος Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου
ἄγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.

III. (LXXI.) p. 117.

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
εἷμα τόδε. ξυνὴ δ' ἀμφοτέρων σοφίη.

IV. (LXXII.)

Πρόφρων, Ἀργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

V. (LXXIII.)

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τὸν δ' ἄρ' ἐκείνου
ἔκγονοι ἐστάσανθ', οἷς χάριν ἀντιδίδου.

VI. (LXXIV.)

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.

VII. (LXXV.)

Παιδὶ Φιλοστεφάνου Σεμέλας ἀνέθηκε Μέλανθος
μνᾶμα χοροῦ νίκας, υἱὸς Ἀρηϊφίλου.

VIII. (LXXVI.)

Ῥυσαμένα Πύθωνα δυσαχέος ἐκ πολέμοιο
ἀσπὶς, Ἀθηναίης ἐν τεμένει κρέμαται.

IX. (LXXVII.)

Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον,
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.

T. I. p. 118. X. (LXXVIII.)

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις,
Ἑρμῇ τε κρείοντι καθέσσατο. τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

XI. (LXXIX.)

Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱὲ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος.
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν, αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

XII. (LXXX.)

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σῆμα.
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

XIII. (LXXXI.)

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις.
οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισε στυγερῆς ἐν στροφάλιγγι μάχης.

XIV. (LXXXII.)

Καί σε, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ.
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

p. 119. XV. (LXXXIII.)

Ἡ τὸν θύρσον ἔχουσ', Ἑλικωνιάς· ἡ δὲ παρ' αὐτὴν
Ξανθίππη· Γλαύκη δ', ἡ σχεδὸν ἐρχομένη·

ἐξ ὔρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσι T. I.
κισσὸν, καὶ σταφυλὴν, πίονα καὶ χίμαρον.

XVI. (LXXXIV.)

Οὐ φίλος, ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει·
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

ΣΙΜΩΝΙΔΟΥ p. 120.

ΤΟΥ ΚΕΙΟΥ
ΚΑΙ ΑΛΛΩΝ ΤΙΝΩΝ ΟΜΩΝΥΜΩΝ ΠΟΙΗΤΩΝ
ΛΕΙΨΑΝΑ.

ΕΚ ΤΩΝ ΜΕΛΩΝ.

I.

Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο,
θεῶν δ' ἐξ ἀνάκτων ἐγένοντο υἷες,
ἡμίθεοι, ἄπονον οὐδὲ ἄφθιτον
οὐδ' ἀκίνδυνον βίον, ἐς γῆρας
ἐξίκοντο, τελέσαντες.

II.

Ἄνθρωπος ἐὼν μήποτε φήσῃς
ὅττι γενήσεται,
μηδ' ἄνδρα ἰδὼν, ὅσσον ἔσσεται
χρόνον, ὠκεῖα γὰρ οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

II. v. Br. in Gnom. p. 315.

T. I.

III.

Πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα Χάρυβδιν,
αἱ μεγάλαι ἀρεταὶ καὶ ὁ πλοῦτος.

IV.

Πολλὸς γὰρ ἡμῖν εἰς τεθνάναι χρόνος·
ζῶμεν δ' ἀριθμῷ
παῦρα κακῶς ἔτεα.

p. 121.

V.

Βιοτῆς μὲν γὰρ
χρόνος ἔτι βραχύς· κρυφθεὶς δ' ὑπὸ γῆς
κεῖται θνητὸς τὸν ἅπαντα χρόνον.

VI.

Ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

VII.

Stolb. ged. a. d. Gr. p. 296.

Ὅτε λάρνακι ἐν δαιδαλέᾳ ἄνεμος
βρέμῃ πνέων, κινηθεῖσά τε λίμνα
δείματι ἤριπεν, οὐδ' ἀδιάντοισι
παρειαῖς, ἀμφί τε Περσεῖ βάλε
φίλαν χέρα, εἶπέν τε· ὦ τέκος,
οἷον ἔχω πόνον. σὺ δ' ἀωτεῖς, γαλαθηνῷ τ'
ἤτορι κνώσσεις ἐν ἀτερπεῖ δώματι,
χαλκεογόμφῳ δέ, νυκτιλαμπεῖ,
κυανέῳ τε δνόφῳ. τὺ δ' αὐαλέαν
ὕπερθε τεὰν κόμαν βαθεῖαν
παριόντος κύματος οὐκ ἀλέγεις,
οὐδ' ἀνέμου φθόγγων, πορφυρέᾳ
κείμενος ἐν χλανίδι, πρόσωπον καλόν.

εἰ δέ τοι δεινὸν τόγε δεινὸν ἦν, T. I.
καί κεν ἐμῶν ῥημάτων λεπτὸν
ὑπεῖχες οὖας, κέλομαι, εὗδε, βρέφος,
εὑδέτω δὲ πόντος, εὑδέτω ἄμετρον κακόν.
ματαιοβουλία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέο· ὅ τι δὴ θαρσαλέον
ἔπος, εὔχομαι τεκνόφι δίκας μοι.

VIII. p. 122.

Χρυσῷ δ' αἰγλήεντι προσήρμοσεν ἀμφὶ δασείας
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

IX.a Lett. p. 18.

Τοῦ καὶ ἀπειρέσιοι
πωτῶντ' ὄρνιθες ὑπὲρ κεφαλᾶς, ἀνὰ δ'
ἰχθύες ὀρθοὶ κυανέου ἐξ ὕδατος ἅλλοντο,
καλᾷ σὺν ἀοιδᾷ.

IX.b

Σιμωνίδης ὁ ποιητὴς περὶ τοῦ Μελεάγρου τὸν λόγον ποιούμενος φησίν·

Ὃς δουρὶ πάντας νίκασε νέους
δινάεντα βαλὼν Ἄναυρον ὕπερ,
πολυβότρυος ἐξ Ἰωλκοῦ.
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στησίχορος
ἄεισε λαοῖς.

X.

Τίς κεν αἰνήσειε νόῳ πίσυνος
Λίνδου ναέταν Κλεόβουλον,
ἀεννάοις ποταμοῖς,

T. I. ἄνθεσί τ' εἰαρινοῖς.
ἀελίου τε φλογὶ, χρυσέας τε σελάνας,
καὶ θαλασσαίαισι δίναις
ἀντιθέντα μένος στάλας;
ἅπαντα γάρ ἐστι θεῶν ἥσσω·
λίθον δὲ καὶ βρότειοι παλάμαι θραύοντι.
μωροῦ φωτὸς ἅδε βουλά.

ΣΚΟΛΙΟΝ.

XI.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ·
δεύτερον δὲ, φυὰν καλὸν γενέσθαι,
p. 123. πλουτεῖν δ' ἀδόλως τρίτον· κ' ἔπειτα
τέταρτον, μετὰ τῶν φίλων συνηβᾷν.

XII.

Τίς γὰρ ἁδονᾶς ἄτερ
θνατῶν βίος ποθεινὸς;
ἢ ποία τυραννίς;
θεῶν ζαλωτὸς αἰών.

XIII.

Ἀνθρώπων ὀλίγον μὲν κάρτος,
ἄπρακτοι δὲ μελῃδόνες.
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ
πόνῳ. ὁ δ' ἄφυκτος ὁμῶς
ἐπικρέμαται θάνατος.
κείνου γὰρ ἴσον λάχεν μέρος
οἵ τ' ἀγαθοὶ, ὅς τις τε κακός.

T. I.

XIV.

Εστι τις λόγος τὰν Αρετὰν ναίειν
δυσαμβάτοις ἐπὶ πέτραις, νῦν δέ
μιν θοὰν χῶρον ἁγνὸν ἀμφέπειν.
ὐδὲ πάντων βλεφάροις θνατῶν ἔσοπτος,
ᾧ μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν
μόλῃ, ἵκητ' ἐς ἄκρον ἀνδρείας.

XV.

Των ἐν Θερμοπύλαις θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ
πότμος, βωμὸς δ' ὁ τάφος,
προγόνων δὲ μνᾶστις, ὁ δ' οἶτος
ἔπαινος. ἐντάφιον δὲ τοιῦτον
ὔτ' εὐρὼς, ὔθ' ὁ πανδαμάτωρ
ἀμαυρώσει χρόνος, ἀνδρῶν ἀγαθῶν.
ὁ δὲ σηκὸς οἰκετᾶν εὐδοξίαν
Ελλάδος εἵλατο. μαρτυρεῖ δε Λεωνίδας
ὁ Σπάρτας βασιλεὺς, ἀρετᾶς μέγαν
λελοιπὼς κόσμον, ἀέναόν τε κλέος.

p. 124.
leg. πρὸ γόων, secund. paraphr. Plutarchi. Moral. p. 114. D. οὐδὲ πένθους, ἀλλὰ μνήμης.

XV. a

Lectt. p. 25.

Μαιάδος ὀρείας ἑλικοβλεφάρυ,
κατὰ λόγον· αὐτὴ γὰρ Κυλλήνης ἐν
ὄρεσσι θεῶν κήρυκα τέκεθ'
Ερμῆν.

XIV. 4. Scr. ὁ π. 5. Scr. ἐδ' ᾧ — 6. Scr. ἵκοιτ' ἐς ἄ. ἀ.

T. I.

XV. b

Ὡς ὁπόταν χειμέριον κατὰ μῆνα
πινύσκῃ Ζεὺς ἤματα τεσσαρακαίδεκα,
λαθάνεμόν τε μιν ὥραν
καλέουσιν ἐπιχθόνιοι, ἱερὰν
παιδοτρόφον ποικίλας ἀλκυόνος.

ΕΚ ΤΩΝ ΕΛΕΓΕΙΩΝ.

XVI. (XXII.)

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

XVII. (XXIII.)

Μέσσοι δ' οἵ τ' Ἐφύραν πολυπίδακα ναιετάοντες
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμῳ,
p. 130. οἵ τε πόλιν Γλαύκοιο Κορίνθιον ἄστυ νέμοντες,
οἳ καὶ κάλλιστον μάρτυν ἔθεντο πόνων
χρυσοῦ τιμήεντος ἐν αἰθέρι, καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

XVIII. (XXIV.)

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν,
αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένοις κάρτος ἐλευθερίας.

XV. b 2. Scr. πιτύσκῃ.

(XXIII.) 4. ap. Plutarch. sic: οἱ ... καλλ. Reiske em. κρέσσονα καλλίστων.

XIX. (XXV.)

T. I.

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς
αἰθέρα, δαιομένης εὐρυχόρου Τεγέης,
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

XX. (XXVI.)

Οἵδε τριηκόσιοι, Σπάρτα πατρὶ, τοῖς συναρίθμοις
Ιναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι,
αὐχένας οὐ τρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Οθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει· Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
αἰ δέ τις Αργείων ἔφυγεν μόρον, ἦς ἀπ' Αδράστου.
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν; ἀλλὰ φυγεῖν θάνατος.

XXI. (XXVII.)

p. 131.

Η μέγ' Αθηναίοισι φόως γένεθ', ἡνίκ' Αριστο-
γείτων Ιππαρχον κτεῖνε, καὶ Αρμόδιος.

XXII. (XXVIII.)

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Αρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ' Αθηναίων, στήσατο Μιλτιάδης.

XXIII. (XXIX.)

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

XXIV. (XXX.) Stolb. Ged. a. d. Gr. p. 296.

Ω ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

T. I. XXV. (XXXI.)

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
  Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς,
  οὐκ ἔτλη Σπάρτας ἡγεμόνας προλιπεῖν.

XXVI. (XXXII.)

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
  ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε Τύχη.
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίαν περιθεῖναι
  κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

p. 132. XXVII. (XXXIII.)

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
  κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
  κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

XXVIII. (XXXIV.)

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
  τῇδ' ἔθανον, Σπάρτας εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε, καὶ ὠκυπόδων σθένος ἵππων,
  Μηδείων τ' ἀνδρῶν δεξάμενοι πολέμῳ.

XXIX. (XXXV.)

Θηρῶν μὲν κάρτιστος ἐγὼ, θνατῶν δ', ὃν ἐγὼ νῦν
  φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.
ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμὸν, ὡς ὄνομ' εἶχεν,
  οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

(XXXII.) 4. Cod. Vat. ἀγηράτῳ.

XXX. (XXXVI.) T. I.

Αἵδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν
ἔσταθεν εὐξάμεναι Κύπριδι δαιμόνιαι·
οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

XXXI. (XXXVII.)

Ταῦτ' ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ' ἀνέθεντο Λατοῖ, μνάματα ναυμαχίας.

XXXII. (XXXVIII.) p. 133.

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε πὰρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει.
πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ' ἀπὸ χειρῶν
ῥύσατο βαρβαρικῶν Δωρίδ' ἁλισκομένην.

XXXIII. (XXXIX.)

Ὦ ξεῖν', εὔυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου·
νῦν δ' ἄμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς.
ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους, ἱερὰν Ἑλλάδα ῥυόμεθα.

XXXIV. (XL.)

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνας· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἥψαμεν, ἀργαλέας μνάματα ναυμαχίας.
ὀστέα δ' ἄμμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίας μνᾶμ' ἐπέθηκε τόδε.

T. I.

XXXV. (XLI.)

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

XXXVI. (XLII.)

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύναν.

XXXVII. (XLIII.)

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας Φοίβῳ μνᾶμ' ἀνέθηκα τόδε.

p. 134.

XXXVIII. (XLIV.)

Τόνδε ποθ' Ἕλληνες νίκας κράτει, ἔργῳ Ἄρηος
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

XXXIX. (XLV.)

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον
παῖδας Δεινομένευς τὸν τρίποδ' ἀνθέμεναι,
ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
Δαρετίου χρυσοῦ, τᾶς δεκάτας δεκάταν,
βάρβαρα νικήσαντας ἔθνη· πολλὴν δὲ παρασχεῖν
σύμμαχον Ἕλλησι χεῖρ' ἐς ἐλευθερίην.

XL. (XLVI.)

Ἐξ οὗ γ' Εὐρώπαν Ἀσίας δίχα πόντος ἔνειμε,
καὶ πολέμους θνατῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδαμά πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ἅμα.

οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες, T. I.
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσὶ, κράτει πολέμου.

XLI. (XLVII.)

Οἵδε παρ' Εὐρυμέδοντί ποτ' ἀγλαὸν ὤλεσαν ἥβην
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις
αἰχμηταὶ, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

XLII. (XLVIII.) p. 135.

Τῶνδε ποτὲ στέρνοισι τανυγλώχινας ὀϊστοὺς
λοῦσεν φοινίσσᾳ θοῦρος Ἄρης ψεκάδι.
ἀντὶ δ' ἀκοντοδόκων ἀνδρῶν μνήμεια θανόντων
ἄψυχ' ἐμψύχων ἅδε κέκευθε κόνις.

XLIII. (XLIX.)

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

XLIV. (L.)

Οὕτω τοι μελία τανάα ποτὶ κίονα μακρὸν
ἧσο, Πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·
ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι
πυκνὰ κραδαινομένη δηΐῳ ἐν πολέμῳ.

T. I.

XLV. (LI.)

Χαίρετ', ἀριστῆες πολέμου, μέγα κῦδος ἔχοντες,
κοῦροι Ἀθηναίων, ἔξοχοι ἱπποσύνῃ,
οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην
πλείστοις Ἑλλάνων ἀντία μαρνάμενοι.

XLVI. (LII.)

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί· σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα,
τρηχεῖην πολέμου δεξάμενοι νεφέλην.

p. 136.

XLVII. (LIII.)

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις,
ἣ πατρός τε, καὶ ἀνδρὸς, ἀδελφῶν τ' οὖσα τυράννων,
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

XLVIII. (LIV.)

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας,
οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ, καὶ λεπτῷ χώματι τοῦδε τάφου,
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν,
κἢν χθονὶ πεπτηὼς, κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

XLIX. (LV.) T. I.

Οὗτος Ἀνακρείοντα, τὸν ἄφθιτον εἵνεκα Μουσῶν
  ὑμνοπόλον, πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων,
  τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
  ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων·
ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα,
  καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον.
μολπῆς δ' οὐ λήθει μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνο
  βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

L. (LVI.) p. 137.

Μνήμῃ δ' οὔ τινα φημὶ Σιμωνίδῃ ἰσοφαρίζειν
  ὀγδωκονταέτει, παιδὶ Λεωπρεπέος.

LI. (LVII.)

Ἐξ ἐπὶ πεντήκοντα, Σιμώνιδες, ἤραο ταύρους
  καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα.
τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
  εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

LII. (LVIII.)

Ἦρχε μὲν Ἀδείμαντος Ἀθηναίοις, ὅτ' ἐνίκα
  Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα·
Ξεινοφίλου δέ τις υἱὸς Ἀριστείδης ἐχορήγει
  πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῷ.
ἀμφὶ διδασκαλίᾳ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
  ὀγδωκονταέτει παιδὶ Λεωπρεπέος.

T. I. LIII. (LIX.)

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ, Ξένι᾽· οἱ δ᾽ ὑπὸ γᾶν θέντες, ὄναιντο βίου.

LIV. (LX.)

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδου ἐστὶ σαωτὴρ,
ὃς καὶ τεθνηὼς ζῶντ᾽ ἀπέδωκε χάριν.

LV. (LXI.)

Πολλὰ φαγὼν καὶ πολλὰ πιὼν, καὶ πολλὰ κακ᾽ εἰπὼν
ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

p. 138. LVI. (LXII.)

Ὦ ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται,
μηδ᾽ ὕδατος πραχοὰς δείδετε χειμερίους.
τοῖον Ξεινοκλῆς γὰρ ὁ Λίνδιος ἀσφαλὲς ὔμμιν
Ζεῦγμα διὰ πλατέος τοῦδ᾽ ἔβαλεν ποταμοῦ.

LVII. (LXIII.) [illegible] P. p. 12.

Βοίδιον ἡ ᾽υλητρὶς καὶ Πυθιὰς, αἵ ποτ᾽ ἐρασταὶ,
σοὶ Κύπρι τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν.
ἔμπορε καὶ φορτηγὲ, τὸ σὸν βαλλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι, καὶ πόθεν οἱ πίνακες.

LVIII. (LXIV.)

Εὐφρὼ καὶ Θαὶς καὶ Βοίδιον, αἱ Διομήδους
γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
Ἄπιν, καὶ Κλεοφῶντα, καὶ Ἀνταγόρην, ἕν᾽ ἑκάστη,
γυμνοὺς, ναυηγῶν ἥσσονας, ἐξέβαλον.
ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
φεύγετε· Σειρήνων αἵδε γὰρ ἐχθρότεραι.

(LXIII.) 1. Scr. αἵ ποθ᾽ ἑταῖραι.

T.I.

LIX. (LXV.)

Ἦ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ
ἴσκω ἔτι τρομέειν θῆρας, ἀγρῶσα Λυκάς·
τὰν δ' ἀρετὰν οἶδεν μέγα Πήλιον, ἅ τ' ἀρίδαλος
Οσσα, Κιθαιρῶνός τ' οἰονόμοι σκοπιαί.

LX. (LXVI.)

Σπάρτας μὲν βασιλῆες ἐμοὶ πατέρες καὶ ἀδελφοί·
ἅρμασι δ' ὠκυπόδων ἵππων νικῶσα Κυνίσκα
εἰκόνα τάνδ' ἔστησα. μόναν δ' ἐμὲ φαμὶ γυναικῶν p. 139.
Ελλάδος ἐκ πάσας τόνδε λαβεῖν στέφανον.

LXI. (LXVII.)

Γνῶθι Θεόκριτον προσιδὼν, τὸν Ολυμπιονίκαν
παῖδα, παλαισμοσύνας δεξιὸν ἡνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφᾶς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

LXII. (LXVIII.)

Στοίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθηκας
Ερμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,
οὔτ' Ακαδημίαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ
σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.

LXIII. (LXIX.)

Πατρίδα κυδαίνων ἱερὴν πόλιν Ωλπις Αθανᾶς,
τέκνον μελαίνης Γῆς, χαρίεντας αὐλοὺς
τούσδε σὺν Ηφαίστῳ τελέσας, ἀνέθηκ' Αφροδίτῃ
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

(LXVIII.) 1. Cod. Στοίβου καί. Scr. Στροίβου παῖ.

T. I. LXIV. (LXX.)

Πύθια δὶς, Νέμεα δὶς, Ὀλύμπια ἐςεφανώθην
οὐ πλάτει νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριςόδαμος Θράσιδος, Ἀλεῖος, πάλᾳ.

LXV. (LXXI.)

Ἀργεῖος Δάνδης ςαδιοδρόμος ἐνθάδε κεῖται,
νίκαις ἱππόκροτον πατρίδ' ἐπευκλείσας,
Ὀλύμπια δὶς, ἐν δὲ Πυθῶνι τρία,
p. 140. δύω δ' ἐν Ἰςθμοῖ, πεντεκαίδεκ' ἐν Νεμέᾳ·
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐςτ' ἀριθμῆσαι.

LXVI. (LXXII.)

Πατρὶς μὲν Κορκύρα, Φίλων δ' ὄνομ'· εἰμὶ δὲ Γλαύκου
υἱὸς, καὶ νίκῃ πὺξ δύ' Ὀλυμπιάδας.

LXVII. (LXXIII.)

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

LXVIII. (LXXIV.)

Εἰπὸν τίς, τίνος ἐσσὶ, τίνος πατρίδος, τί δὲ νικῇς.
Κάσμυλος, Εὐαγόρου, Πύθια πὺξ, Ῥόδιος.

LXIX. (LXXV.)

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος, ὅσπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολάδας,
καὶ Παναθηναίοις ςεφάνους λάβε πέντ' ἐπ' ἀέθλοις
ἑξῆς, ἀμφιφορεῖς ἐλαίου.

(LXXII.) 2. Scr. νικῶ.

(LXXV.) 4. Cod. ἑξύκοντ' ἀμφορεῖς.

Ισθμῷ δ' ἐν ζαθέῳ τρὶς ἐπισχερὼ, ὐδ' ἐγένοντο T. I.

ἀκτίνων νομίδων ποταθμοί.

καὶ Νεμέᾳ τρὶς ἐνίκησεν, καὶ τετράκις ἄλλα

Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,

καὶ Τεγέᾳ, καὶ ἐν Αἰγίνᾳ, κρατερᾷ τ' Ἐπιδαύρῳ,

καὶ Θήβᾳ, Μεγάρων τε δάμῳ.

ἐν δὲ Φλιῦντι καὶ ϛαδίῳ τά τε πέντε κρατήσαις

ηὔφρανεν μεγάλαν Κόρινθον.

LXX. (LXXVI.)

p. 141.

Πολλάκι δὴ φυλῆς Ακαμαντίδος ἐν χοροῖσιν Ὧραι

ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις

αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις

σοφῶν ἀοιδῶν ἐσκίασαν λιπαρὰν ἔθειραν,

οἱ τόνδε τρίποδά σφισι μάρτυρα Βακχίων ἀέθλων

θήκαντο. κείνυς δ' Αντιγένης ἐδίδασκεν ἄνδρας·

εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὄπα Δωρίοις Αρίϛων

Αργεῖος ἡδὺ πνεῦμα χέων καθαροῖς ἐν αὐλοῖς,

τῶν ἐχορήγησεν κύκλον μελίγηρυν Ἱππόνικος

Στρύθωνος υἱὸς, ἅρμασιν ἐν Χαρίτων φορηθεὶς,

αἵ οἱ ἐπ' ἀνθρώποις ὄνομα κλυτὸν, ἀγλαάν τε νίκαν

θῆκαν, Θεᾶν ἰοϛεφάνων ἕκατι Μοισᾶν.

LXXI. (LXXVII.)

[α] Τίς εἰκόνα τάνδ' ἀνέθηκε; [β] Δωριεὺς ὁ Θύριος.

[α] Οὐ Ρόδιος γένος ἦν; [β] ναὶ, πρὶν φυγεῖν γε πατρίδα·

δεινᾷ δὲ χειρὶ δεινὰ πόλλ' ἔρεξε καὶ βίᾳ.

(LXXV) 9. Cod. καὶ Νεμέᾳ.

T. I. LXXII. (LXXVIII.)

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλὸν, ὃς ποτε Πίσῃ
ἑπτάκι νικήσας, εἰς γόνατ' οὐκ ἔπεσεν.

LXXIII. (LXXIX.)

Σῶσος καὶ Σωσὼ Σωτείρῃ τόνδ' ἀνέθηκαν·
Σῶσος μὲν σωθεὶς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

LXXIV. (LXXX.)

Ἀρτέμιδος τόδ' ἄγαλμα, διηκόσιαι δ' ἄρ' ὁ μισθὸς
δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημ' ἄκατος·
p. 142. ἀσκητὸς δ' ἐποίησεν Ἀθηναίης παλάμῃσιν
ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

LXXV. (LXXXI.)

ᵃΤίς ἅδε; ᵇΒάκχα. ᵃτίς δέ μιν ξέσε; ᵇΣκόπας.
ᵃτίς δ' ἐξέμηνε, Βάκχος, ἢ Σκόπας; ᵇΣκόπας.

LXXVI. (LXXXII.)

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς, περθομένην Ἰλίου ἀκρόπολιν.

LXXVII. (LXXXIII.)

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε. παντὶ δ' ἐπ' ἔργῳ
μῶμος, ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

LXXVIII. (LXXXIV.)

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

LXXIX. (LXXXV.)

Ἰφίων ἔγραψεν ἐᾷ χερὶ, τόν ποκα ὕδωρ
θρέψε Πειρήνης ἄπο.

T. I.

LXXX. (LXXXVI.)

Κλίων τόδ' ἔγραψε Κορίνθιος. οὐκ ἔνι μῶμος
χερσὶν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

LXXXI. (LXXXVII.)

Schneider 226
cf. Bergk 927

Δῆμος Ἀθηναίων σε, Νεοπτόλεμ', εἰκόνι τῇδε
τίμησ', εὐνοίης εὐσεβίης θ' ἕνεκα.

LXXXII. (LXXXVIII.)

p. 143.

Εὔχεο τοῖς δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοΐδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥσπερ ὑπὸ ξείνων τε, καὶ οἳ ναίουσι Κόρινθον,
αἶνον ἔχεις χαρίτων, δέσποτα, τοῖς στεφάνοις.

LXXXIII. (LXXXIX.)

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Λάχης ἐποίει πηχέων ὁ Λίνδιος.

LXXXIV. (XC.)

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν Ἔρωτα
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ τίκτω
οὐκέτι τοξεύων, ἀλλ' ἀτενιζόμενος.

LXXXV. (XCI.)

Μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ' Ἀρχεναύτεω
κεῖσθαι θανοῦσαν ἀγλαὰν ἄκοιτιν,
Ξανθίππην Περιάνδρου ἀπέκγονον, ὅς ποθ' ὑψιπύργου
σήμαινε λαοῖς ἔρμ' ἔχων Κορίνθου.

(LXXXIX.) 2. alii Χάρης.

T. I. LXXXVI. (XCII.)

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελες Ἴστρον
τῆλε, καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης,
ἄγκεα νιφομένην ἀμφὶ Μεθουριάδων.
νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς· οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

p. 144. LXXXVII. (XCIII.)

Σῆμα Θεόγνιδός εἰμι Σινωπέως, ᾧ μ' ἐπέθηκεν
Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.

LXXXVIII. (XCIV.)

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,
οἰκτείρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες.

LXXXIX. (XCV.)

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις, ἐν δέ σε πόντῳ,
Κλείσθενες, Εὐξείνῳ Μοῖρ' ἔκιχεν θανάτου
πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμπλακες, οὐδ' ἵκευ Χῖον ἐς ἀμφιρύτην.

XC. (XCVI.)

Αἰδὼς καὶ Κλεόδαμον ἐπὶ προχοῇσι Θεαίρου
ἀενάου στονόεντ' ἤγαγεν εἰς θάνατον,
Θρηϊκίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεννὸν
Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ' ὄνομα.

XCI. (XCVII.)

Τούσδ' ἀπὸ Τυῤῥηνῶν ἀκροθίνια Φοίβῳ ἄγοντας
ἓν πέλαγος, μία ναῦς, εἷς τάφος ἐκτέρισε.

(XCII.) 4. Cod. ἀμφὶ δὲ Θυρεᾶδος. Scr. νιφομένας ἀ. Μολουριάδος.

XCII. (XCVIII.) T. I.

Τῶν αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται·
Νικοδίκου δὲ, φίλοι καὶ πόλις ἥδε Πόλη.

XCIII. (XCIX.) p. 145.

Χαίρει τις Θεόδωρος ἐπεὶ θάνον. ἄλλος ἐπ' αὐτῷ
χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

XCIV. (C.)

Φῆ ποτε Τίμαρχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔ ποτε λήσῃ,
οὔτ' ἀρετὴν ποθέων, οὔτε σαοφροσύνην.

XCV. (CI.) Scalig. Bem. p. 8.

Αἲ αἲ νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων, ἐρατῇ πὰρ νεότητι μένειν;
ἢ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠΐθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

XCVI. (CII.)

Ἐνθάδε Πυθώνακτα κασιγνήτην τε κεκεύθει
γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν.
μνῆμα δ' ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκεν
ἀθάνατον, θνητοῖς παισὶ χαριζόμενος.

XCVII. (CIII.)

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον, ἀλλὰ γὰρ ἀνδρὸς
χερνήτεω. μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.

(XCVIII.) 2. Cod. Vat. a pr. man. πολλὴ et ſupra correctum πολλή.

Τ. Ι. οὐκ ἐπιδὼν νύμφεια λέχη, κατέβην τὸν ἄφυκτον
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.

Tempe. II. p. 111.

XCVIII. (CIV.)

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί.
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
p. 146. οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης, v. Valcken. Diatr. p. 293. et Tyrt. 51.
κοῦφον ἔχων θυμὸν, πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασσέμεν, οὔτε θανεῖσθαι,
οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ' ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

XCIX. (CV.)

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὀξὺς ἀπὸ Θρήκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας. αὐτὰρ ἐκρύφθη
ζωὴ, Πιερίην γῆν ἐπιεσσαμένη.
ἐν τις ἐμοιγ' αὐτῆς χεέτω μέρος. οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

(CV.) 3. Athen. αὐτὰρ ἐκάμφθη.

C. (CVI.) T.I.

Μιξονόμου τε πατὴρ ἐρίφου, καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα, παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

CI. (CVII.)

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

CII. (CVIII.) p. 147.

Η γρηῦς Νικὼ Μελίτης τάφον ἐστεφάνωσε
παρθενικῆς. Ἀΐδη, τοῦθ' ὁσίως κέκρικας;

CIII. (CIX.)

Ἑξάμετρος, καὶ οὗτος τροχαϊκὸς πεντάμετρος κατὰ μετάθεσιν τῆς λέξεως.

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε.
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

CIV. (CX)

Οὕτω χρόνος ὀξὺς ὀδόντας
καὶ πάντα ψήχει, καὶ τὰ βεβαιότατα.

CV. (CXI.)

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

CVI. (CXII.)

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας
Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα,
ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο. τοῦ δὲ κατ' ἴχνος
βουφάγος ἐς κοίλην ἀτραπὸν ἵκτο λέων.

T. I. αὐτὰρ ὁ πεπταμένῃ μέγα τύμπανον ἔσχεθε χειρὶ,
ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν.
οὐδ' ἔτλη Κυβέλης ἱερὸν νόμον ὑλονόμος θὴρ
μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείῃ
ἔνδυτα καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

Lectt. p. 25. CVII. (CXIII.)

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τρηχεῖαν ἄσιλλαν,
ἰχθῦς ἐξ Ἄργους εἰς Τεγέαν ἔφερον.

T. III. p. 329. ## ΦΙΛΙΑΔΟΥ ΜΕΓΑΡΕΩΣ.

Ἐπὶ τοῖς ἀναιρεθεῖσιν ὑπὸ Περσῶν.

Ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

T. I. p. 148. ## ΤΙΜΟΚΡΕΟΝΤΟΣ ΡΟΔΙΟΥ.

cf Bergk.

I.

ΣΚΟΛΙΟΝ.

Ὤφελες ὦ τυφλὲ Πλοῦτε
μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ,
μήτ' ἐν ἠπείρῳ φανῆναι,
ἀλλὰ Τάρταρόν τε ναίειν
κ' Ἀχέροντα· διά σε γὰρ
πάντ' ἐν ἀνθρώποις κάκ' ἐστί.

II

II. T. I.

Ομοιον τῷ Σιμωνίδῃ, Μῦσά μοι Αλκμήνης.

Κηΐα με πρόσῆλθε φλυαρία ὐκ ἐθέλοντα.
ὐκ ἐθέλοντά με προσῆλθε Κηΐα φλυαρία.

ΑΙΣΧΥΛΟΥ.

I.

Κυανέη καὶ τύσδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα, πολύῤῥηνον πατρίδα ῥυομένυς.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Οσσαίαν ἀμφιέσαντο κόνιν.

II. T. II. p. 523.

Αισχύλον Εὐφορίωνος Αθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
καὶ βαθυχαιτήεις Μῆδος ἐπιςάμενος.

ΠΙΝΔΑΡΟΥ. T. II. p. 523.

Χαῖρε δὶς ἡβήσας, καὶ δὶς τάφυ ἀντιβολήσας,
Ησίοδ', ἀνθρώποις μέτρα χέων σοφίης.

T. I. p. 149.

ΒΑΚΧΥΛΙΔΟΥ.

I.

Θνητοῖς οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος, οὔτ' ἄκαμπτος Ἄρης,
οὔτε πάμφθερσις στάσις·
ἀλλ' ἐπιχρίμπτει νέφος
ἄλλοτ' ἐπ' ἄλλαν γᾶν
ἁ πάνδωρος Αἶσα.

II.

Εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδὸς,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον.
ᾧ δὲ μυρία μὲν ἀμφιπολεῖ φρενὶ, τὸ δὲ
πᾶν ἦμάρ τε καὶ νύκτα μελλόντων χάριν
δάπτεται κέαρ, ἄκαρπον ἔχει πόνον.

III.

Τί γὰρ ἐλαφρὸν ἔτ' ἐστ' ἄπρα-
κτ' ὀδυρόμενον δονεῖν καρδίαν;

IV.

Λυδία μὲν γὰρ λίθος
μανύει χρυσόν·
ἀνδρῶν δ' ἀρετὰν
σοφίαν τε παγκρατὴς
ἐλέγχει ἀλήθεια.

V. T. I. p. 150.

Ὣς δ' ἅπαξ εἰπεῖν,
φρένα καὶ πυκινὰν
κέρδος ἀνθρώπω βιᾶται.

VI.

Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε
πόνους ἄλλοισιν ἄλλους.

VII.

Θνατοῖσι μὴ φῦναι φέριστον,
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

VIII.

Ὄλβιος ᾧ τινι θεὸς μοῖράν τε καλῶν ἔπορε,
σύν τ' ἐπιζήλῳ τύχᾳ
ἀφνειὸν βιοτὰν διάγειν.
οὐ γάρ τις ἐπιχθονίων πάντ' εὐδαίμων ἔφυ.

IX. Gr. J. Blund. p. 102.

Τίκτει δέ τε θνατοῖσιν Εἰρήνη μεγάλα,
πλοῦτον, καὶ μελιγλώσσων ἀοιδῶν ἄνθεα,
δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεται βοῶν
ξανθᾷ φλογὶ μηρία, εὐτρίχων τε μήλων.
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλει.
ἐν δὲ σιδαροδέτοισι πόρπαξιν αἰθᾶν ἀραχνᾶν
ἱστοὶ πέλονται· ἔγχεά τε λογχωτὰ,
ξίφεά τ' ἀμφάκεα εὐρὼς δάμναται, χαλκέων δ'
οὐκέτι σαλπίγγων κτύπος, οὐδὲ συλᾶται μελίφρων ὕπνος p. 151.

Υ. I. ἀπὸ βλεφάρων, ἅμος ὃς θάλπει κέαρ.
συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαὶ,
παιδικοί θ' ὕμνοι φλέγονται.

X.

Αἶ αἶ τέκος ἁμέτερον, μεῖζον ἢ πενθεῖν
ἐφάνη κακὸν, ἀφθέγκτοισιν ἴσον.

Holb. Gel. a. d. Gr. p. 306.

XI.

Γλυκεῖ' ἀνάγκα σευομένα κυλίκων
θάλπῃσι θυμόν· Κύπριδος
ἐλπὶς δ' αἰθύσσει φρένας,
ἀναμιγνυμένα Διονυσίοισι δώροις,
ἀνδράσι θ' ὑψοτάτω
πέμπει μερίμνας.
αὐτὸς μὲν πόλεων
κρήδεμνον λύει,
πᾶσι δ' ἀνθρώποις
μοναρχήσειν δοκεῖ.
χρυσῷ δ' ἐλέφαντί τε
μαρμαίρουσιν οἶκοι·
πυροφόροι δὲ κατ' αἰγλήεντα
νῆες ἄγουσ' ἀπ' Αἰγύπτου
μέγιστον πλοῦτον,
ὣς πίνοντος ὁρμαίνει κέαρ.

XII.

Ἔστη δ' ἐπὶ λάϊνον οὐδὸν,
(τοὶ δὲ θοίνας ἔντυνον) ὧδέ τ' ἔφασκ'·

IX. 10. Scr. ἀμὲν ὅς.

αὐτόματοι ἀγαθῶν δαῖτας εὐόχθους T. I. p. 152.
ἀπέρχονται δίκαιοι φῶτες.

XIII.

Οὐ βοῶν πάρεστι σώματ᾽, οὔτε
χρυσὸς, οὔτε πορφύρεοι τάπητες,
ἀλλὰ θυμὸς εὐμενὴς, μοῦσά τε
γλυκεῖα, καὶ Βοιωτίοισιν
ἐν σκύφοισιν οἶνος ἡδύς.

XIV.

Οὐχ ἕδρας ἔργον, οὐδ᾽ ἀμβολᾶς,
ἀλλὰ χρυσαιγίδος Ἰτωνίας
χρὴ παρ᾽ εὐδαίδαλον ναὸν
ἐλθόντας, ἁβρόν τι δεῖξαι.

XV.

Φάσωμεν πιστὸν κῦδος ἔχειν ἀρετάν·
πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ.

XVI.

Ἀκούομεν οὖν πάλιν Βακχυλίδου τοῦ μελοποιοῦ περὶ τοῦ θείου λέγοντος.

Οἱ μὲν ἀδμῆτες ἀεικελίων νούσων εἰσὶ,
καὶ ἀναίτιοι, οὐδὲν ἀνθρώποις ἴκελοι.

XVII.

Ἕτερος δ᾽ ἐξ ἑτέρου σοφὸς
τό τε πάλαι τό τε νῦν. οὐδὲ γὰρ ῥᾷστον
ἀῤῥήτων ἐπέων πύλας ἐξευρεῖν.

T. I. p. 153.

XVIII.

Παύροισι δὲ θνητῶν τὸν ἅπαντα χρόνον
ὁ δαίμων δῶκε πράσσοντας ἐν καιρῷ,
πολιοκρόταφον γῆρας ἱκνεῖσθαι,
πρὶν ἐγκύρσαι δύαις.

XIX.

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
πρόφρων Κραναίων ἱμερόεντα χορὸν
αἰὲν ἐποπτεύοις, πολέας δ' ἐν ἀθύρμασι Μοισᾶν
Κηΐῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους.

XX.

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκε
τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ.
εὐξαμένῳ γάρ οἱ ἦλθε βοαθόος, ὄφρα τάχιστα
λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

ΤΙΜΩΝΟΣ
ΤΟΥ ΜΙΣΑΝΘΡΩΠΟΥ.

Ἐνθάδ' ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
τοὔνομα δ' οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.

XIX. 2. Cod. Vat. Κρανναίων.

ΣΚΟΛΙΑ T. I. p. 154.

Η ΠΑΡΟΙΝΙΑ ΑΙΣΜΑΤΑ ΠΑΛΑΙΟΤΑΤΩΝ ΠΟΙΗΤΩΝ ΤΑ ΠΛΕΙΣΤΑ ΑΔΗΛΩΝ.

I. ΠΙΤΤΑΚΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ἔχοντα δεῖ τόξον καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν.
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος λαλεῖ,
διχόμυθον ἔχουσα κραδίῃ νόημα.

II. ΤΟΥ ΑΥΤΟΥ.

Συνετῶν ἐστὶν ἀνδρῶν,
πρὶν γενέσθαι τὰ δυσχερῆ,
προνοῆσαι ὅπως μὴ γένηται·
ἀνδρείων δὲ, γενόμενα εὖ θέσθαι.

III. ΒΙΑΝΤΟΣ ΠΡΙΗΝΕΩΣ.

Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν. αὐθάδης δὲ τρόπος
πολλάκι βλαβερὰν ἐξέλαμψεν ἄταν.

IV.

Ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο, καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ' ἐν πόντῳ γένηται, p. 155.
τῷ παρεόντι τρέχειν ἀνάγκη.

T. I.

V.

Εἴθ' ἐξῆν ὁποῖός τις
ἦν ἕκαστος, τὸ στῆθος
διελόντα γνῶναι, ἔπειτα
τὸν νοῦν ἐσιδόντα, πάλιν τε κλείσαν-
τ', ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

VI.

Αἶ αἶ Λειψύδριον προδοσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε, καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν, οἵων πατέρων κύρησαν.

Gr. d. Bluml. p. 16. Stolb. Ged. a. d. Griech. p. 305. VII. ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

Φίλταθ' Ἁρμόδι', οὔ τι που τέθνηκας·
νήσοις δ' ἐν μακάρων σε φασὶν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεὺς,
Τυδείδην τε φασὶν Διομήδεα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

p. 156. Αἐὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν,
φίλταθ' Ἁρμόδιε κ' Ἀριστόγειτον,

ὅτι τὸν τύραννον κτάνετον· T. I.
ἰσονόμυς τ' Ἀθήνας ἐποιήσατον.

VIII.

Ἰὼ Πὰν Ἀρκαδίας
μεδέων κλεεννᾶς,
ὀρχηστὰ, Βρομίαις ὀπαδὲ
Νύμφαις γελασίαις,
ἰὼ Πὰν ἐπ' ἐμαῖς
ταῖσδ' εὐφροσύναις ἀοιδαῖς
ἄειδε κεχαρημένος.
νικήσαμεν ὡς ἐβυλόμεθα,
καὶ νίκην ἔδοσαν οἱ θεοὶ,
φέροντες παρὰ Πανδρόσυ
ὡς φίλην Ἀθηνᾶν.

IX.

Παλλὰς Τριτογένεια, ἄνασσ' Ἀθηνᾶ,
ὄρθυ τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων τε, καὶ στάσεων,
καὶ θανάτων ἀώρων,
σύ τε καὶ πατήρ.

X.

Πλύτυ μητέρ' Ολυμπίαν
ἀείδω Δήμητρα,
στεφανηφόροις ἐν ὥραις·
παῖ Διὸς Περσεφόνη,
χαίρετον, εὖ δὲ τάνδ' ἀμφέπετον πόλιν.

Γ. I. p. 157.

XI.

Εν Δήλῳ ποτ᾽ ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ᾽ Απόλλωνα,
ἐλαφηβόλον τ᾽ ἀγροτέραν Αρτεμιν,
ἃ γυναικῶν μέγ᾽ ἔχει κράτος.

XII.

Παῖ Τελαμῶνος, Αἶαν αἰχμητὰ,
λέγουσί σ᾽ ἐς Τροίαν ἄριστον
ἐλθεῖν Δαναῶν μετ᾽ Αχιλλέα.
Τὸν Τελαμῶνα πρῶτον,
Αἴαντα δὲ δεύτερον
ἐς Τροίαν λέγουσιν
ἐλθεῖν Δαναῶν μετ᾽ Αχιλλέα.

XIII. ΠΡΑΞΙΛΛΗΣ ΤΗΣ ΣΙΚΥΩΝΙΑΣ.

Αδμήτου λόγον, ὦ ᾽ταῖρε, μαθὼν
τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ᾽ ἀπέχου,
γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

XIV.

Ο δὲ καρκίνος ὧδ᾽ ἔφη
χαλᾷ τὸν ὄφιν λαβών·
εὐθέα χρὴ τὸν ἑταῖρον ἔμεν,
καὶ μὴ σκολιὰ φρονεῖν.

p. 158.

XV.

Υπὸ παντὶ λίθῳ σκόρπιος,
ὦ ᾽ταῖρ᾽, ὑποδύεται· φράζευ μή σε βάλῃ.
τῷ δ᾽ ἀφανεῖ πᾶς ἕπεται δόλος.

XVI. T. I.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν,
μεγάλην ἔχει τιμὰν, ἔν τε βροτοῖς
ἔν τε θεοῖσιν, κατ' ἐμὸν νόον.

XVII.

Ἔγχει κώθωνι, διάκονε,
μηδ' ἐπιλήθου, εἰ δὴ χρὴ
τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

XVIII. forsan hi quatuor versus sunt duo tantum versus [illegible] qualis hic Alcaei μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρεον ἀμπέλω

Σύν μοι πῖνε, συνήβα,
συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο·
συνσωφρονήσω σώφρονι.

XIX.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φοροῖεν
Διονύσιον ἐς χορόν.
εἴθ' ἄπυρον καλὸν
γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη
καθαρὸν θεμένη νόον.

XX. p. 159.

Ἁ ὗς τὰν βάλανον
τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν
τὰν μὲν ἔχω, τὰν δ' ἔραμαι λαβεῖν.

T. I.

XXI.

Πόρνη καὶ βαλανεὺς
ταὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ
τόν τ' ἀγαθὸν, τόν τε κακὸν λόει.

XXII. ΥΒΡΙΟΥ ΤΟΥ ΚΡΗΤΟΣ.

Ἔστι μοι πλοῦτος, μέγα δόρυ, καὶ ξίφος,
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός.
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω, τούτῳ
πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω,
τούτῳ δεσπότας μνοίας κέκλημαι. τοὶ δὲ
μὴ τολμῶντες ἔχειν δόρυ καὶ τὸ καλὸν λαισήϊον,
πάντες γόνυ πεπτηότες ἐμοὶ, κυνέοντι
δεσπόταν, καὶ βασιλέα μέγαν φωνέοντι.

Stolb. Ged. a. d. Gr. p. 109.

XXIII. ΑΡΙΦΡΟΝΟΣ ΣΙΚΥΩΝΙΟΥ.

Ὑγίεια, πρεσβίτα μακάρων,
μετὰ σεῦ ναίοιμι
τὸ λειπόμενον βιοτᾶς.
σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις, ἢ τεκέων,
τᾶς ἰσοδαίμονός τ' ἀνθρώποις
p. 160. βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσι θηρεύομεν·
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
ἢ πόνων ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ' Ὑγίεια,

τέθηλε πάντα, καὶ λάμπει Χαρίτων ἔαρ· T. I.

σέθεν δὲ χωρὶς ὖ τις εὐδαίμων.

ΑΣΤΥΔΑΜΑΝΤΟΣ ΠΟΙΗΤΟΥ ΤΡΑΓΙΚΟΥ. T.III.p.329.

ε)ιγλ. 551

Εἰς ἑαυτόν.

Εἴθ' ἐγὼ ἐν κείνοις γενόμην, ἢ κεῖνοι ἅμ' ἡμῖν,

οἳ γλώσσης τερπνῆς πρῶτα δοκῦσι φέρειν.

ὡς ἐπ' ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος·

νῦν δὲ χρόνῳ παρέχυσ', οἷς φθόνος ὐκ ἕπεται.

ΙΩΝΟΣ ΤΟΥ ΧΙΟΥ T.I. p.161.

ΕΚ ΤΩΝ ΕΛΕΓΕΙΩΝ ΛΕΙΨΑΝΑ.

I.

Θυρσοφόροισι φίλος, μέγα πρεσβεύων Διόνυσος·

αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων.

αἵ τε Πανελλήνων ἀγοραὶ, θαλίαι τε ἀνάκτων,

ἐξ ὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον

πτόρθον ἀνασχομένη, θαλερῷ ἐπτύξατο πήχει·

αἰθέρος ὀφθαλμῶν δ' ἐξέθορον πύκινοι

παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ.

πρὶν δὲ σιωπῶσι. παυσάμενοι δὲ βοῆς

νέκταρ ἀμέλγονται, μόνον ὄλβιον ἀνθρώποισι

ξυνὸν τῦ χαίρειν φάρμακον αὐτοφυὲς,

T. I. Χαῖρε Θαλίαι φίλα τέκνα, φιλοφροσύνῃ τε, χοροί τε·
τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν·
τοῦ σὺ πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε, δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν, καὶ τὰ δίκαια φρονεῖν.

II.

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε·
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· ὁ δὲ Χρύσῃ
οἶνον ἔχων χειροῖν νιζέτω εἰς ἔδαφος.
p. 162. σπένδοντες δ' ἁγνῶς Ἡρακλεῖ τ' Ἀλκμήνῃ τε,
Προκλέϊ, Περσείδαις τ', ἐκ Διὸς ἀρχόμενοι,
πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή·
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅν τινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

III.

Ὡς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ,
καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον.
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

IV.

Ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην Οἰνοπίωνα καὶ Στάφυλον, ὧν καὶ ὁ Χῖος Ἴων ἐστὶ, περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων·

Τήν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων.

ΕΜΠΕΔΟΚΛΕΟΥΣ

T. I. p. 163.

ΑΚΡΑΓΑΝΤΙΝΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

I.

Ἄκρον ἰατρὸν Ἄκρων', Ἀκραγαντῖνον, πατρὸς ἄκρου,
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.
ἢ ἄλλως·
ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

II.

Παυσανίαν ἰατρὸν ἐπώνυμον, Ἀγχίτου υἱὸν,
φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθαψε Γέλα,
ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι
φῶτας ἀπέτρεψεν Φερσεφόνας θαλάμων.

ΣΟΦΟΚΛΕΟΥΣ.

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ' ἑτέραν
Βορρᾶς ὡμίλησε. σὺ δ' οὐ σοφὸς, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

T. II. p. 57. ΕΥΡΙΠΙΔΟΥ.

Ἐπαρχίδης Εὐριπίδην φησὶ τὸν ποιητὴν ἐπιδημῆσαι τῇ Ἰκάρῳ, καὶ γυναικός τινος μετὰ τέκνων κατὰ τοὺς ἀγροὺς, δύο μὲν ἀῤῥένων τελείων, μιᾶς δὲ παρθένου, φαγούσης θανασίμους μύκητας καὶ ἀποπνιγείσης μετὰ τῶν τέκνων, ποιῆσαι τουτὶ τὸ ἐπίγραμμα·

Ὦ τὸν ἀγήραντον πόλον αἰθέρος, Ἥλιε, τέμνων,
ἆρ' εἶδες τοιόνδ' ὄμματι πρόσθε πάθος;
μητέρα, παρθενικήν τε κόρην, δισσούς τε συναίμους,
ἐν ταυτῷ φέγγει μοιριδίῳ φθιμένους.

T. I. p. 164. ΕΥΗΝΟΥ ΠΑΡΙΟΥ

ΚΑΙ ΑΛΛΩΝ ΟΜΩΝΥΜΩΝ.

I.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

II.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν, μάλα σύμφορόν ἐστι·
χωρὶς δὲ, βλαβερὴ καὶ κακότητα φέρει.

III.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως·
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.

καὶ

καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός· T. I.
σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστὶν, ἐμοὶ δὲ τάδε.
τοὺς ξυνετοὺς δ' ἂν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾷστης εἰσὶ διδασκαλίας.

IV.

Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιηρὸν ἔφυ.

V.

Ἴσθ' ὅση λύπη παῖς πατρὶ πάντα χρόνον.

VI. p. 165.

Εἰ μισεῖν πόνος ἐστὶ, φιλεῖν πόνος, ἐκ δύ' ὀλέθρων
αἱροῦμαι χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

VII.

Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
ὅσσον ἐπισπεῖσαί σοι, τράγε, θυομένῳ.

VIII.

Εἰς τὸ ἐν Κνίδῳ Ἀφροδίτης ἄγαλμα.

Παλλὰς καὶ Κρονίδαο συνευνέτις εἶπον, ἰδοῦσαι
τὴν Κνιδίην· ἀδίκως τὸν Φρύγα μεμφόμεθα.

IX.

Πρόσθε μὲν Ἰδαίοισιν ἐν οὔρεσιν αὐτὸς ὁ βούτας
δέρξατο τὰν κάλλευς πρῶτ' ἀπενεγκαμέναν.
Πραξιτέλης Κνιδίοις δὲ πανωπήεσσαν ἔθηκε,
μάρτυρα τῆς τέχνης ψῆφον ἔχων Πάριδος.

VI. 1. Cod. Vat. ἐκ δύο λυτρῶν. unde ſcr. ἐκ δύο λυγρῶν.

T. I.

X.

Εἰς τὴν Μύρωνος βοῦν.

Ἢ τὸ δέρας χάλκειον ὅλον βοῒ τῇδ' ἐπίκειται
ἔκτοθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

XI.

Αὐτὸς ἐρεῖ τάχα τοῦτο Μύρων· οὐκ ἔπλασα ταύταν
τὰν δάμαλιν, ταύτας δ' εἰκόν' ἀπεπλασάμην.

XII.

Ἅ ποτε παρθενικαῖσιν ἱλασκομένα παλάμῃσιν
Κύπριδα σὺν πεύκαις, καὶ γάμον εὐξαμένα,
p. 166. κουριδίους ἤδη θαλάμῳ λύσασα χιτῶνας,
ἀνδρὸς ἄφαρ μηρῶν ἐξελόχευσα τύπους.
νυμφίος ἐκ νύμφης δὲ κικλήσκομαι, ἐκ δ' Ἀφροδίτης
Ἄρεα, καὶ βωμοὺς ἔστεφον Ἡρακλέους.
Θῆβαι Τειρεσίην ἔλεγόν ποτε, νῦν δέ με Χαλκὶς
τὴν πάρος ἐν μίτραις ἠσπάσατ' ἐν χλαμύδι.

XIII.

Ἀτθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
τέττιγ', ἀπτῆσιν δαῖτα φέρεις τέκεσι,
τὸν λάλον ἁ λαλόεσσα, τὸν εὔπτερον ἁ πτερόεσσα,
τὸν ξένον ἁ ξείνα, τὸν θερινὸν θερινά.
οὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις, οὐδὲ δίκαιον,
ὄλλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασι.

XII. 7. Cod. χαλκός.

XIII. 2. codd. Plan. τέττιγα, πτανοῖς.

XIV. T. I.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πτόλιν, Ἴλιον ἱρὴν,
τὴν πάρος εὐπύργοις τείχεσι κληζομένην,
αἰῶνος τέφρη κατεδήδοκεν. ἀλλ' ἐν Ὁμήρῳ
κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
οὐκ ἔτι με σκάψει Τρωοφθόρα δούρατ' Ἀχαιῶν,
πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόμασι.

XV.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ, μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος, ἢ μανίης.
χαίρει κιρνάμενος τρισὶ Νύμφαις τέτρατος αὐτός·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος.
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν Ἔρωτας,
βαπτίζει δ' ὕπνῳ γείτονι τῷ θανάτῳ.

XVI. p. 167.

Ἐχθίστη Μούσαις σελιδηφάγε, λωβήτειρα
φωλὰς, ἀεὶ σοφίης κλέμματα φερβομένη,
τίπτε κελαινόχρως ἱεραῖς ψήφοισι λοχάζῃ,
σίλφη, τὴν φθονερὴν εἰκόνα πλαττομένη;
φεῦγ' ἀπὸ Μουσάων, ἴθι τηλόσε, μηδ' ὅσον ὄψει
βάσκανον εὐψήκτῳ δῆξιν ἐπεισαγάγῃς.

XIV. 2. Cod. Vat. τὰν . . . . κληζομέναν.

XV. 3. Cod. Vat. κ. δὲ τρισὶν νύμφαισι τέταρτος.

UOFM

T.I.

ΑΝΤΙΜΑΧΟΥ

ΚΟΛΟΦΩΝΙΟΥ.

Τίπτε μόθων ἄτλητος, Ἐνυαλίοιο λέλογχας,
 Κύπρι; τίς ὁ ψεύτας συγγνὰ καθᾶψε μάταν;
ἔντεά σοι γὰρ Ἔρωτες ἐφίμεροι, ἅ τε κατ' εὐνὰν
 τέρψις, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι.
δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
 ταῦτα· σὺ δ' εὐχαίταν εἰς Ὑμέναιον ἴθι.

p. 168.

B. 497

ΣΙΜΜΙΟΥ

ΘΗΒΑΙΟΥ.

I.

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου,
 τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
 βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην,
τύμβος ἔχει, καὶ γῆς ὀλίγον μέρος. ἀλλ' ὁ περισσὸς
 αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσι.

II.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
 ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους,
καὶ πεταλὸν πάντη θάλλοι ῥόδον, ἥ τε φιλόρρωξ
 ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,

εἵνεκεν εὐμαθίης πινυτόφρονος· ἣν δ' μελιχρὸς T.I.
ἤσκησεν, Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

ΕΥΚΛΕΙΔΟΥ.

Ἡμίονος καὶ ὄνος φορέουσαι οἶνον ἔβαινον·
αὐτὰρ ὄνος στενάχιζεν ἐπ' ἄχθεϊ φόρτου ἑοῖο·
τὴν δὲ βαρυστενάχουσαν ἰδοῦσ' ἐρέεινεν ἐκείνη·
μῆτερ, τί κλαίουσ' ὀλοφύρεαι, ἠΰτε κούρη;
εἰ μέτρον ἓν μοι δοίης, διπλάσιον σέθεν ἦρα·
εἰ δὲ ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις.
εἰπὲ τὸ μέτρον, ἄριστε γεωμετρίης ἐπίιστορ.

ΦΙΛΙΣΚΟΥ T.I.p.184.

ΕΙΣ ΛΥΣΙΑΝ ΤΟΝ ΡΗΤΟΡΑ. B 502

Καλλιόπης θύγατερ πολυήγορε, φροντίδι δείξεις
εἴ τι φρονεῖς, σοφίης καί τι περισσὸν ἔχεις.
τῷ γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντι, καὶ ἄλλοις
ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον,
δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα Λυσίᾳ ὕμνον,
ζῶντα καταφθιμένου καὶ τάφον ἀθάνατον,
ὃς τό τ' ἐμῆς ψυχῆς δείξει φιλέταιρον ἅπασι,
καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

UOFM

T.II.p.236.

ΘΟΥΚΥΔΙΔΟΥ
ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

47

Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου· ὀστέα δ' ἴσχει
γῆ Μακεδών· ᾗ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσαις
τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

T.III.p.330.

ΙΠΠΩΝΟΣ
ΕΠΙΤΑΦΙΟΝ, Ο ΕΚΕΛΕΥΣΕΝ ΕΠΙΓΡΑΦΗΝΑΙ ΤΩ ΜΝΗΜΑΤΙ ΤΩ ΕΑΥΤΟΥ.

B 487

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησε Μοῖρα καταφθίμενον.

T.I. p.169.

ΠΛΑΤΩΝΟΣ
ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

B 489

I.

Ἀστέρας εἰσαθρεῖς Ἀστὴρ ἐμός. εἴθε γενοίμην
Οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

II.

Τὴν ψυχὴν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον·
ἦλθε γὰρ ἡ τλήμων, ὡς διαβησομένη.

T. I.

III.

Νῦν ὅ τὸ μηδὲν Ἀλεξις, ὅσον μόνον εἶφ' ὅτι καλὸς
ὤπται, καὶ πάντῃ πᾶς τις ἐπιςρέφεται.
θυμὲ, τί μηνύεις κυσὶν ὀςέον; εἶτ' ἀνιήσει
ὕςερον. οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

IV. Scalig. P. p. 27.

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις. ἀλλ' ἐπίνευσον,
Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

V.

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη, τῆς σῆς παρθενίης μετάδος.
εἰ δ' ἄρ' ὃ μὴ γίνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα,
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

VI. p. 170.

Ἀρχεάνασσαν ἔχω, τὴν ἐκ Κολοφῶνος ἑταίραν,
ἧς καὶ ἐπὶ ῥυτίδων ἕζετο δριμὺς Ἔρως.
ἆ δειλοὶ, νεότατος ὑπαντιάσαντες ἐκείνης
πρωτοβόλου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

VII.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐραςῶν
ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος οὐ δύναμαι.

VI. 2. reſtitue Athen. lect. πικρὸς (ſ. δριμὺς) ἕπετιν ἔρως. Verſ. 3. Vat. cod. αἳ νέον ἥβης ἄνθος ἀποδρέψαντες ἐραστοὶ πρωτοβόλου (a pr. man. πρωτοβόλοι.)

UOFM

T. I.

VIII.

Εἰς βάτραχον χαλκοῦν ἀνατεθέντα ταῖς Νύμφαις παρὰ ὁδοιπόρου.

Τὸν Νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδὸν,
τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον
χαλκῷ μορφώσας τις ὁδοιπόρος, εὖχος ἔθηκεν,
καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενον.
πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ, εὔκαιρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι·
φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων
εὗρε πόσιν γλυκερῶν ὧν ἐπόθει λιβάδων.

IX.

Εἰς τὸ ἐν Κνίδῳ τῆς Ἀφροδίτης ἄγαλμα.

v. Voſs Anth. Br. II p. 261. Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθε,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην.
πάντη δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ,
φθέγξατο· ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
p. 171. Πραξιτέλης οὐκ εἶδεν ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
ἔξεσ', Ἄρης οἵαν ἤθελε τὴν Παφίην.

X.

Οὔτε σε Πραξιτέλης τεχνάσατο, οὔθ' ὁ σίδαρος·
ἀλλ' οὕτως ἔστης ὥς ποτε κρινομένη.

XI.

Αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ οὐχὶ πεσεῖται,
ζητοῦσαι, ψυχὴν εὗρον Ἀριστοφάνους.

VIII. 3. Cod. Vat. in textu τυπώσας et ſupra correctum μορφώσας. Verſ. 8. Cod. Vat. ε. ναμάτων.

XII. T. I.

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως.
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

XIII.

Εἰς ἄγαλμα Πανός.

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκινοῖς κῶμον ὑπὸ Ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένων ἄξει κῶμα κατὰ βλεφάρων.

XIV.

Εἰς ἄγαλμα Πανὸς συρίζον.

Σιγάτω λάσιον δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
κρουνοί, καὶ βληχὴ πουλυμιγὴς τοκάδων,
αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πὰν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων·
αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες Νύμφαι, Νύμφαι Ἀμαδρυάδες.

XV. p. 172.

Εἰς Σάτυρον κρήνῃ ἐφεστῶτα, καὶ Ἔρωτα καθεύδοντα.

Τὸν Βρομίου Σάτυρον τεχνήσατο δαιδαλέη χεὶρ
κωφῷ θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
εἰμὶ δὲ ταῖς Νύμφαισιν ὁμέψιος· ἀντὶ δὲ τοῦ πρὶν
πορφυρέου μέθυος, λαρὸν ὕδωρ προχέω.
εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
κινήσῃς, ἁπαλῷ κώματι θελγόμενον.

XIII, 2. Fort. κῶνον.
XV. 2. Cod. Vat. et Planudea μούνῃ θ.

T. I.

XVI.

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν.
οὖν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

XVII.

Εἰς δακτύλιον.

Εἰκόνα πέντε βοῶν μικρὰ λίθος εἶχεν ἴασπις,
ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας.
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοΐδια· νῦν δὲ κρατεῖται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

XVIII.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

XIX.

Αἰὼν πάντα φέρει. δολιχὸς χρόνος οἶδεν ἀμείβειν
οὔνομα, καὶ μορφὴν, καὶ φύσιν, ἠδὲ τύχην.

p. 173.

XX.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης.
πάντας δ' ἀκρέμονάς τε καὶ εὐθαλέας ὀροδάμνους
κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον. ἦ γὰρ ἔγωγε
δυσδαίμων ἐπ' ἐμὴν ὕβριν ἐκαρποφόρουν.

XXI.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος·
νῦν δὲ θανὼν λάμπεις ἕσπερος ἐν φθιμένοις.

XXII.

T. I.

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις.
σοὶ δὲ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

XXIII.

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

XXIV.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικὸν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

XXV.

p. 174.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ.
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

XXVI.

Ναυηγόν με δέδορκας, ὃν οἰκτείρασα θάλαττα
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο.
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσε,
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.
κεῖνο μὲν ἐνδύσαιτο, καὶ εἰν Ἀΐδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.

XXIV. 1. Melius Suid. Εὐβοίων γ.

T. I.

XXVII.

Πλωτῆρες σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

XXVIII.

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς,
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

XXIX.

Stolb. ged. a. d. Gr. p 299.

Εἰς Ἔρωτα ἐν ἄλσει κοιμώμενον.

Ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα παῖδα Κυθήρης.
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα·
ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο·
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ
εὗδεν μειδιόων· ξουθαὶ δ' ἐφύπερθε μέλισσαι
κηροχύτοις ἐντὸς λαροῖς ἐπὶ χείλεσι βαῖνον.

p. 175.

XXX.

Ἁ Κύπρις Μοίσαισι· κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ', ἢ τὸν Ἔρων ὔμμιν ἐφοπλίσομαι.
χαὶ Μοῖσαι ποτὶ Κύπριν· Ἄρει τὰ στωμύλα ταῦτα·
ἁμῖν οὐ πέταται τοῦτο τὸ παιδάριον.

ΠΛΑΤΩΝΟΣ ΝΕΩΤΕΡΟΥ. T. I.

I.

Ἀνέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.
ἄμφω μὲν πηροὶ καὶ ἀλήμονες, ἀλλ' ὁ μὲν, ὄψεις,
ὃς δὲ, βάσεις· ἄλλῳ δ' ἄλλος ὑπηρεσίῃ·
τυφλὸς γὰρ χωλοῖο κατωμάδιον βάρος ἄρας
ἀτραπὸν ὀθνείοις ὄμμασιν ἀκροβατεῖ.
ἡ μία δ' ἀμφοτέροις ἤρκει φύσις· ἐν γὰρ ἑκάτῳ
τἀλλιπὲς ἀλλήλοις εἰς ὅλον ἠράνισαν.

II.

Εἰς Διόνυσον γεγλυμμένον ἐν ἀμεθύστῳ.

Ἁ λίθος ἔστ' ἀμέθυστος· ἐγὼ δ' ὁ πότας Διόνυσος.
ἢ πιθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

III.

Ἁ σφραγὶς ὑάκινθος· Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ
καὶ Δάφνη· ποτέρου μᾶλλον ὁ Λητοΐδας;

ΣΠΕΥΣΙΠΠΟΥ. p. 176.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος·
ψυχὴ δ' ἰσόθεων τάξιν ἔχει μακάρων.

I. 6. Fort. ὀρθοβατεῖ aut ἰθυβατεῖ.
II. Cod. in lemm. ἀμεθύστῳ. et v. 1. ἀμέθυσος.

T. I. ψ

ΑΙΣΧΙΝΟΥ

ΤΟΥ ΡΗΤΟΡΟΣ.

Θνητῶν μὲν τέχναις ἀπορούμενος, εἰς δὲ τὸ θεῖον
ἐλπίδα πᾶσαν ἔχων, προλιπὼν εὔπαιδας Ἀθήνας,
1 ἰάθην ἐλθὼν, Ἀσκλήπιε, πρὸς τὸ σὸν ἄλσος,
ἕλκος ἔχων κεφαλῆς ἐνιαύσιον, ἐν τρισὶ μησί.

p. 177.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Gr. d. Blum. p. 97. Stdl. Ged. a d. Gr. p. 303.

504

I.

Ἀρετὰ πολύμοχθε
γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν, ζηλωτὸς Ελλάδι πότμος,
καὶ πόνους τλῆναι μαλεροὺς
ἀκάμαντας· τοῖον
ἐπὶ φρένα βάλλεις
καρπόν τ' ἀθάνατον,
χρυσοῦ τε κρέσσω καὶ γονέων,
μαλακαυχητοῖό θ' ὕπνου.

1. 1, 2. Ex his duobus verſſ. unum fecit Vir doct. ap. Hurd. in Comm. ad Hor. a. p. Verſ. 5. 9. ζηλωτὸς ἐν Ε. Idem. 6. Haec ſic digeſſit: κ. π. τλ. μ. α. || τοῖον ε. φρέν' ἔρωτα βάλλεις || κ. φέρεις τ' ἀθ.

σεῦ δ' ἕνεχ' οὑκ Διὸς Ἡρακλέης, T. I.
Λήδας τε κοῦροι πόλλ' ἀνέτλασαν,
ἔργοις σὰν ἀγρεύοντες δύναμιν.
σοῖς δὲ πόθοις Ἀχιλλεὺς
Αἴας τ' Ἀΐδαο δόμους ἦλθον.
σᾶς δ' ἕνεκα φιλίου μορφᾶς
καὶ Αταρνέως ἔντροφος
ἠελίου χήρωσεν αὐγάς.
τοιγὰρ ἀοίδιμος ἔργοις,
ἀθάνατόν τε μιν αὔξουσι Μοῦσαι
Μναμοσύνας θύγατρες,
Διὸς ξενίου σέβας αὔξουσαι,
φιλίας τε γέρας βεβαίου.

II. p. 178.

Τόνδε ποτ' οὐχ ὁσίως, παραβὰς μακάρων θέμιν ἁγνὴν,
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεὺς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

III. Ar. Epitaphia, plurib. aucta. Ed. Bergefodium. ham. 1796. 8. 32. S.

ΕΙΣ ΤΟΥΣ ΠΑΡ' ΟΜΗΡΩι ΗΡΩΑΣ ΕΠΙΤΑΦΙΑ.

1. Ἐπὶ Πηνέλεω κειμένου ἐν Βοιωτίᾳ.

Τόνδ' ἐπὶ Κηφισσῷ ποταμῷ θέσαν ὠκὺ ῥέοντι
παῖδες Βοιωτῶν σώφρονα Πηνέλεων.

2. Ἐπὶ Ἀσκαλάφου καὶ Ἰαλμένου.

Ἀσκαλάφου Τροίῃ φθιμένου καὶ Ἰαλμένου ἥδε
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει.

l. 18. καὶ delet idem. 20. ἀοίδιμοι. 21. αὐξήσουσι.

T. I. 3. Επὶ Αἴαντος τȣ͂ Οἰλέως, κειμένȣ ἐν Μυκόνῳ τῇ νήσῳ.

Ενθάδε τῶν Λοκρῶν ἡγήτορα γαῖα κατέσχεν
Αἴαντ' Οἰλιάδην ἐν πελάγει φθίμενον.

4. Επὶ Ελεφήνορος κειμένȣ ἐν Τροίῃ.

Νήσȣ ἀπ' Εὐβοίης Ελεφήνορα ἀρχὸν Αβάντων
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖρα κατέσχε βίȣ.

5. Επὶ Μενεσθέως κειμένȣ ἐν Αθήναις.

Ταξίλοχος λαῶν, υἱὸς Πετεῶο Μενεσθεὺς
ἐνθάδ' ἐνὶ κλεινῇ πατρίδι μοῖραν ἔχει.

6. Επὶ Αἴαντος Τελαμωνίȣ κειμένȣ ἐν Τροίῃ.

Αδ' ἐγὼ ἁ τλάμων Αρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμȣς,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, οὕνεκ' Αχαιοῖς
ἁ δολόφρων Απάτα κρέσσον ἐμȣ͂ κέκριται.

p. 179. 7. Επὶ Τεύκρȣ κειμένȣ ἐν Σαλαμῖνι τῆς Κύπρȣ.

Ιῶν ὠκυμόρων ταμίην Τελαμώνιον ἥδε
Τεῦκρον ἀποφθίμενον γῆ Σαλαμὶς κατέχει.

8. Επὶ Διομήδȣς κειμένȣ ἐν τῇ ὁμωνύμῳ νήσῳ.

Αἰνητὸν πάντεσσιν ἐπιχθονίοις Διομήδη
ἥδ' ἱερὰ κατέχει νῆσος ὁμωνυμίη.

9. Επὶ Σθενέλȣ καὶ Εὐρυάλȣ κειμένων ἐν Αργει.

Αργεῖος Σθένελος Καπανήϊος ὧδε τέθαπται
τύμβῳ, καὶ τȣ́τȣ πλησίον Εὐρύαλος.

10. Επὶ Αγαμέμνονος κειμένȣ ἐν Μυκήναις.

Λεύσσεις Ατρείδεω Αγαμέμνονος, ὦ ξένε, τύμβον,
ὃς θάν' ὑπ' Αἰγίσθȣ κȣλομένης ἀλόχȣ.

11. Επὶ

6. Verſ. 4. Cod. Vat. δύναται.

T. I.

11. Επὶ τοῦ αὐτοῦ.

Μνῆμα τόδ' Ατρείδεω Αγαμέμνονος, ὅν ῥα κατέκτα
δῖα Κλυταιμνήστρη Τυνδαρὶς οὐχ ὁσίως.

12. Επὶ Μενελάου.

Ολβιος, ὦ Μενέλαε, σύ τ' ἀθάνατος καὶ ἀγήρως
ἐν μακάρων νήσοις, γαμβρὲ Διὸς μεγάλου.

13. Επὶ Νέστορος κειμένου ἐν Πύλῳ.

Τὸν βαθύνουν, ψυχήν τε νόημά τε θεῖον ἔχοντα,
ἄνδρ' ἀγαθὸν κατέχω, Νέστορα τὸν Πύλιον.

14. Επὶ τοῦ αὐτοῦ.

Νέστορα τὸν Πυλίων ἡγήτορα ἦδε θανόντα
γῆ κατέχει, βουλῇ φέρτατον ἡμιθέων.

15. Επὶ Αντιλόχου κειμένου ἐν Τροίῃ.

Μνῆμ' ἀρετῆς υἱοῦ τοῦ Νέστορος, Αντιλόχοιο,
ὃς θάνεν ἐν Τροίῃ ῥυσάμενος πατέρα.

16. Επὶ Αγαπήνορος. p. 180.

Αρχὸς ὅδ' ἐκ Τεγέης Αγαπήνωρ, Αγκαίου υἱὸς,
κεῖθ' ὑπ' ἐμοὶ, Ταφίων πελτοφόρων βασιλεύς.

17. Επὶ Αμφιμάχου καὶ Διώρου.

Αρχὸς τ' Αμφίμαχος Κτεάτου παῖς, ἠδὲ Διώρης
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖραν ἔχουσι βίου.

18. Επὶ Θαλπίου καὶ Πολυξείνου κειμένων ἐν Ηλιδι.

Οἵδε Πολύξεινος καὶ Θάλπιος Ηλιδι δίῃ
δμηθέντες κρυεροῦ δῶμ' Αΐδαο ἔβαν.

19. Επὶ κενοταφίου Μέγητος ἐν Δουλιχίῳ.

Μνῆμα Μέγητι θοῷ, μεγαθύμου Φυλέος υἱῷ,
Δουλίχιοι τεῦξαν· σῶμα δὲ πόντος ἔχει.

14. 2. Melius Euſtath. φ. ἡμερίων.

T. I. 20. Ἐπὶ Ὀδυσσέως κειμένου ἐν Τυῤῥηνίᾳ.

Ἀνέρα τὸν πολύμητιν, ἐπὶ χθονὶ τῇδε θανόντα,
κλεινότατον θνητῶν τύμβος ἐπεσκίασεν.

21 Ἐπὶ τοῦ αὐτοῦ.

Οὗτος Ὀδυσσῆος κείνου τάφος, ὃν διὰ πολλὰ
Ἕλληνες πολέμῳ Τρωϊκῷ εὐτύχεσαν.

22. Ἐπὶ Θόαντος.

Υἱὸν ὑπερθύμου Ἀνδραίμονος ἠδὲ θυγατρὸς
Γόργης τῆς Οἰνέως ἥδε κόνις κατέχει.

23. Ἐπὶ Ἰδομενέως καὶ Μηριόνου κειμένων ἐν Κνωσσῷ.

Κνωσσίου Ἰδομενῆος ὁρᾷς τάφον· αὐτὰρ ἐγὼ τοῦ
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.

24. Ἐπὶ Τληπολέμου κειμένου ἐν Ῥόδῳ.

Ἀδ' Ἡρακλείδην ῥηξήνορα θυμολέοντα
Τληπόλεμον κατέχει κυματόεσσα Ῥόδος.

p. 181. 25. Ἐπὶ Δηϊπύλου.

Δηϊπύλου κόρσης εὐειδέος Ὀρμενίοιο
μνῆμα τόδ' εὐκλεινόν· γείνατο Τληπόλεμος.

26. Ἐπὶ Νιρέως κειμένου ἐν Τροίᾳ.

Ἐνθάδε τὸν κάλλιστον ἐπιχθονίων ἔχε γαῖα,
Νιρέα, τὸν Χαρόπου παῖδα καὶ Ἀγλαΐης.

27. Ἐπὶ Φειδίππου καὶ Ἀντίφου.

Φείδιππον Τροίην πέρσαντ' ἠδ' Ἄντιφον ἥρω
γαῖα πατρὶς κώμη ἠδ' Ἐφύρα κατέχει.

28. Ἐπὶ Ἀχιλλέως κειμένου ἐν Τροίῃ.

Παῖδα θεᾶς Θέτιδος Πηληϊάδην Ἀχιλῆα
ἥδ' ἱερὰ Προποντὶς ἀμφὶς ἔχει πεδίῳ.

29. Επὶ τȣ͂ αὐτȣ͂. T. I.

Θεσσαλὸς ȣ̔͂τος ἀνὴρ Αχιλεὺς ἐν τῷδε τέθαπται
τύμβῳ· ἐθρήνησαν δ' ἐννέα Πιερίδες.

30. Επὶ Πατρόκλȣ κειμένȣ μετὰ Αχιλλέως.

Πατρόκλȣ τάφος ȣ̔͂τος· ὁμȣ͂ δ' Αχιλῆϊ τέθαπται,
ὃν κτάνεν ὠκὺς Αρης Εκτορος ἐν παλάμαις.

31. Επὶ Ποδάρκȣς κειμένȣ ἐν Σικυῶνι.

Γῆ μὲν Αχαιῒς ἔθρεψε Ποδάρκην Ακτορος υἱόν·
ὀςέα δ' αὖ Σικυὼν γῆ κατέχει φθιμένȣ.

32. Επὶ Φιλοκτήτȣ.

Τόξων Ηρακλέȣς ταμίην, Ποιάντιον υἱὸν,
ἧδε Φιλοκτήτην γῆ Μινυὰς κατέχει.

33. Επὶ Εὐμήλȣ.

Υἱὸς ὅδ' Αδμήτοιο Φερητιάδης Εὔμηλος
νέρθ' ὑπ' ἐμοὶ κεῖται, μοῖραν ἔχων θανάτȣ.

34. Επὶ κενοταφίȣ Ποδαλειρίȣ καὶ Μαχάονος ἐν Τρίκκῃ. p. 182.

Οἵδ' Ασκληπιάδαι Ποδαλείριος ἠδὲ Μαχάων,
πρόσθεν μὲν θνητοὶ, νῦν δὲ θεῶν μέτοχοι.

35. Επὶ Εὐρυπύλȣ κειμένȣ ἐν Ορχομενῷ.

Πάτρῃ ἐν Ορχομενῷ Εὐαίμονος ἀγλαὸν υἱὸν,
Εὐρύπυλον, κρύπτει δακρυόεσσα κόνις.

36. Επὶ Πολυποίτȣ καὶ Λεοντέως.

Αρχοντες Λαπιθῶν Πολυποίτης ἠδὲ Λεοντεὺς
ἐν γαίῃ Μήδων τέρμ' ἀφίκοντο βίȣ.

37. Επὶ Γȣνέως.

Σῆμα τὸ μὲν Γȣνῆος ὁρᾷς· ψυχὴ δὲ θανόντος
ἀέρ' ἐς ὑγρὸν ἔβη, σῶμα δὲ πόντος ἔχει.

T. I. 38. Επὶ Κενοταφίῳ Προθόυ.

Σῶμα μὲν ἐν πόντῳ Προθόυ Τενθρηδόνος υἱῦ
κεῖται· ἀνοίκτιστον δ' ὄνομα τύμβος ἔχει.

39 Επὶ Ταλθυβίου κειμένου ἐν Μυκήναις.

Ταλθύβιον θεράποντα, θεῶν κήρυκα καὶ ἀνδρῶν,
ὧδε Μυκηναίων δῆμος ἔθαψεν ἅπας.

40. Επὶ Αὐτομέδοντος κειμένου ἐν Τροίῃ.

Αὐτομέδοντ', Αχιλῆϊ ξὺν καὶ πιστὸν ἑταῖρον,
ἥδε κατεσκίασε Τρωὰς ἄρουρα τάφῳ.

41. Επὶ Εκτορος κειμένου ἐν Θήβαις.

Εκτορι τόνδε μέγαν Βοιώτιοι ἄνδρες ἔτευξαν
τύμβον ὑπὲρ γαίης, σῆμ' ἐπιγιγνομένοις.

42. Επὶ Πυραίχμου κειμένου ἐν Τροίᾳ.

Ελθὼν ἐξ Αμυδῶνος ἀπ' Αξίου ὧδε Πυραίχμης
ὠκύμορος πάντων νόσφι φίλων ἔθανε.

p. 183. ΕΙΣ ΑΛΛΟΥΣ ΗΡΩΑΣ ΕΠΙΤΑΦΙΑ.

43. Επὶ Λαομέδοντος.

Ενθάδε Περγαμίδην κεύθει χθὼν Λαομέδοντα,
ἵππων ὠκυπόδων εἵνεκ' ἀποφθίμενον.

44. Επὶ Αἰήτου κειμένου ἐν Κολχίδι.

Αἰήτην Κόλχοισι πολυχρύσοισιν ἄνακτα
ἐνθάδε πανδαμάτωρ Μοῖρα θεῶν κτέρισε.

45. Επὶ Ζήθου κειμένου ἐν Θήβαις.

Επταπύλων Θηβῶν βασιλεὺς ὅδε κεῖται ὑπόχθων
Ζῆθος, ὃν Αντιόπη γείνατο παῖδ' ἀγαθόν.

38. 2. Scr. videtur: κεῖται ἀνοίκτιστον· πνεῦμα δ' ἀὴρ ἐπέχει.

46. Ἐπὶ Ὀρφέως κειμένου ἐν Κικονίᾳ. T. I.

Θρήϊκα χρυσολύρην Οἰάγρου παῖδα θανόντα
Ὀρφέα ἐν χώρῃ τῷδε θέσαν Κίκονες.

47. Ἐπὶ Πυλάδου κειμένου ἐν Φωκίδι.

Υἱὸς ὅδε Στροφίου Πυλάδης ἐν Φωκίδι γαίῃ
κεῖται, ἐπεὶ παντὸς μοῖραν ἔπλησε βίου.

48. Ἐπὶ Ἀταλάντης ἐν Ἀρκαδίᾳ.

Κούρης Ἰασίοιο πολυκλείτης Ἀταλάντης
σῆμα, πέλας τείχων, ἀτρεκές ἐστι τόδε.

ΘΕΟΚΡΙΤΟΥ p. 184.
ΤΟΥ ΧΙΟΥ.

Ἑρμείου εὐνούχου τε, καὶ Εὐβούλου τόδε δούλου
μνῆμα κενὸν κενόφρων θῆκεν Ἀριστοτέλης,
ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν, εἵλετο ναίειν,
ἀντ' Ἀκαδημείας, Βορβόρου ἐν προχοαῖς.

ΦΙΛΙΣΚΟΥ
vide p. 101.

ΧΟΙΡΙΛΟΥ p. 185.
ΕΙΣ ΤΟΝ ΣΑΡΔΑΝΑΠΑΛΟΥ ΤΑΦΟΝ.

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι· θανόντι τοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.

T. I. ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισι.

ΑΓΙΔΟΣ.

Καὶ τάλικας καὶ πτηνὰ λαγωβόλα σοὶ τάδε Μείδων,
Φοῖβε, σὺν ἰξευταῖς ἐκρέμασεν καλάμοις,
ἔργων ἐξ ὀλίγων ὀλίγην δόσιν· ἢν δέ τι μεῖζον
δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

---

p. 186.

ΚΡΑΤΗΤΟΣ
ΘΗΒΑΙΟΥ.

I.

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.
ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεραπεία σοι τολοιπὸν ἠρτήσθω βρόχος.

II.

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
καλὴ καὶ πίειρα, περίρρυπος, οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
οὔτε λίχνος πόρνης, ἐπαγαλλόμενος πυγῇσιν·
ἀλλὰ θύμον καὶ σκόρδα φέρει, καὶ σῦκα, καὶ ἄρτους,
ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους· ἐπὶ τούτοις
οὐχ ὅπλα κέκτηνται, ἐπὶ κέρματι δ', ἢ ἐπὶ δόξῃ.

III. T. I.

Τίθει μαγείρῳ μνᾶς δέκ', ἰατρῷ δραχμήν·
κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν·
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

IV.

Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔκγονε Σωφροσύνης·
σὴν ἀρετὴν τιμῶσιν ὅσοι τὰ δίκαι' ἀσκοῦσι.

V. p. 187.

Ταῦτ' ἔχω ὅσσ' ἔμαθον, καὶ ἐφρόντισα, καὶ μετὰ Μουσῶν
σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψε.

VI.

Μνημοσύνης καὶ Ζηνὸς Ολυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
χόρτον ἐμῇ συνεχῶς δότε γαστέρι, ἥ τε μοι αἰεὶ
χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.

ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτὰ, κανθάρου οἶτον,
μύρμηκός τ' ἄφενος, χρήματα μαιόμενος·
ἀλλὰ δικαιοσύνης μετέχειν, καὶ πλοῦτον ἀγινεῖν
εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
τῶν δὲ τυχὼν Ερμῆν καὶ Μούσας ἱλάσομ' ἁγνὰς,
οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

VII.

Κράτητός ἐστι καὶ τόδε, ὅτι ἐκ φιλοσοφίας αὐτῷ περιγίνοιτο.

Θέρμων τε χοῖνιξ, καὶ τὸ μηδενὸς μέλειν.

T. I. VIII.

Συναισθόμενος ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων·

Στείχεις δὴ, φίλε κύρτων,
βαίνεις τ' εἰς Ἀΐδαο δόμους, κυφὸς διὰ γῆρας.

p. 188. IX.

Πρὸς Ἀλέξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη· καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει·

Ἔχειν δὲ πατρίδα,
ἀδοξίαν τε καὶ πενίαν, ἀνάλωτα τῇ Τύχῃ.

καὶ
Διογένους
εἶναι πολίτης, ἀνεπιβουλεύτου φθόνῳ.

X.

Καὶ θυγατέρα ἐξέδωκε, ὡς αὐτὸς ἔφη,
Κυνὶ, ἐπὶ πείρᾳ δοὺς τριήκονθ' ἡμέρας.

---

p. 189. ## ΑΙΣΧΡΙΩΝΟΣ.

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
μή μ', ὦ μάταιε ναῦτα τὴν ἄκραν κάμπτων,
χλεύην τε ποιεῦ, καὶ γέλωτα καὶ λάσθην.
οὐ γὰρ, μὰ τὸν Ζεῦν, οὐ μὰ τοὺς κάτω κούρους,
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
Πολυκράτης δὲ τὴν γονὴν Ἀθηναῖος,
λόγων τι παιπάλημα, καὶ κακὴ γλῶσσα,
ἔγραψεν ὅσσ' ἔγραψ'· ἐγὼ γὰρ οὐκ οἶδα.

Φ Ι Λ Η Τ Α. T. I.

I.

Πεντηκονταέτις καὶ ἔτι πλέον ἡ φιλέραστος
  Νικιὰς εἰς νηὸν Κύπριδος ἐκρέμασε
σάνδαλα, καὶ χαίτης ἀνελίγματα, τόν τε διαυγῆ
  χαλκὸν, ἀκριβείης ὐκ ἀπολειπόμενον,
καὶ ζώνην πολύτιμον, ἅ τ' ὐ φωνητὰ πρὸς ἄνδρας,
  ἀλλὰ ὁρεῖ πάσης Κύπριδος ὀπτασίην.

II.

Α ςάλα βαρύθυσα λέγει τάδε· τὰν μινύωρον,
  τὰν μικκὰν Αΐδας ἅρπασε Θειοδόταν.
χἀ μικκὰ τάδε πατρὶ λέγει πάλιν· ἴσχεο λύπας,
  Θειόδοτε, θνατοὶ πολλάκι δυςυχέες.

III. T. II. p. 523.

Γαῖαν μὲν φανέυσι θεοί ποτε· νῦν δὲ πάρεςιν
  αἰψηρῶν ἀνέμων μῦνον ὁρᾶν τέμενος.

IV.

Οὔ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης
  αἱρήσει κλήθρην, αἱρόμενος μακέλην·
ἀλλ' ἐπέων εἰδώς κόσμον, καὶ πολλὰ μογήσας
  μύθων παντοίων οἶμον ἐπιςάμενος.

V. T. II. p. 524.

Ατραπὸν εἰς Αΐδεω
  ἤνυσα; τὴν ὔπω τις ἐναντίον ἦλθεν ὁδίτης.

VI.

Εκ θυμοῦ κλαῦσαι μάλα μέτρια, καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαί τ' οὐκ ἔτ' ἐόντος ὁμῶς.

VII.

Οὐ κλαίω ξείνων σε φιλαίτατε. πολλὰ γὰρ ἔγνως
καλά· κακῶν δ' αὖ σοι μοῖραν ἔνειμε θεός.

VIII.

Αλλ' ὅτ' ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν
ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.
καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο,
κήδεα δειλαίων εἶλεν ἀπὸ πραπίδων.

IX.

Φλιοῦς ἡ πόλις ἐστὶ, Διωνύσου φίλος υἱὸς
Φλιᾶς ἣν αὐτὸς δείματο λευκόλοφος.

X.

Γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ψυχὴν ὀλέσασα,
ὀξείης κάκτου τύμμα φυλαξαμένη.

XI.

Εστηκ' ἀμφὶ κόμαις, εὐώδεος ἀγχόθι πατρὸς,
καλὸν Ιακχαῖον θηκαμένη στέφανον.

XII.

Lect. p. 234.

Ισχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς ἀνάγκη,
ἣ ῥ' οὐδ' ἀθανάτους ὑποδείδιεν, οἵ τ' ἐν Ολύμπῳ
ἔκτοσθεν χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο.

XIII.

Νῦν δ' αἰεὶ πέσσω· τὸ δ' ἀέξεται ἄλλο νεωρὲς
πῆμα, κακοῦ δ' οὔπω γίνεται ἡσυχίη.

XIV.

Τά οἱ ποτὶ Κύπρις ἐλοῖσα
μᾶλα Διονύσου δῶκεν ἀπὸ κροτάφων.

XV.

Λευγαλέος δὲ χιτὼν πεπινωμένος, ἀμφὶ δ' ἀραιὴν
ἰξὺν εἰλεῖται ἅμμα μελαγκράνιον.

XVI.

Τῷ οὔ μοι πολέων γαίης ὕπερ, οὐδὲ θαλάσσης,
ἐκ Διὸς ὡραίων ἔσχομεν ἂν ἐτέων.
οὐδ' ἀπὸ Μοῖρα τέλος τι κακῶν φέρει· ἀλλὰ μένουσιν
ἔμπεδα, καὶ τοῖσιν ἄλλα προσαυξάνεται.

ΜΝΑΣΑΛΚΟΥ

T.I. p. 193.

ΣΙΚΥΩΝΙΟΥ.

I.

Ἄμπελ', ἐπεί τοι φύλλα χαμαὶ σπεύδουσα βαλέσθαι
δείδιας ἑσπέριον Πλειάδα δυομέναν,
μεῖνον ἐπ' Ἀντιλέοντι πεσεῖν ὑπὸ τὸν γλυκὺν ὕπνον,
ἔσθ' ὅτε τοῖς καλοῖς πάντα χαριζομένα.

II.

Ἧσο κατ' ἠγάθεον τόδ' ἀνάκτορον, ἀσπὶ φαεννὰ,
ἄνθεμα Λατώᾳ δήϊον Ἀρτέμιδι.
πολλάκι γὰρ κατὰ δῆριν Ἀλεξάνδρου μετὰ χερσὶν
μαρναμένα, χρυσέαν οὐκ ἐκόνισσας ἴτυν.

T. I. III.

Ἀσπὶς Ἀλεξάνδρου τοῦ Φυλλέος ἱερὸν ἅδε
δῶρον Ἀπόλλωνι χρυσοκόμᾳ δέδομαι,
γηραλέα μὲν ἴτυν πολέμων ὕπο, γηραλέα δὲ
ὀμφαλόν· ἀλλ' ἀρετᾷ λάμπομαι, ἅς ἔκιχον
ἀνδρὶ κορυσσαμένα σὺν ἀριστεῖ, ὅς μ' ἀνέθηκεν.
ἐμμὶ δ' ἀήσσατος πάμπαν ἀφ' οὗ γενόμαν.

IV.

Ἤδη τοῦδε μένω πολέμου δίχα, καλὸν ἄνακτος
τέρνον ἐμῷ νώτῳ πολλάκι ῥυσαμένα.
p. 191. καίπερ τηλεβόλους ἰούς, καὶ χερμάδι' αἰνὰ
μυρία, καὶ δολιχὰς δεξαμένα κάμακας,
οὐδέποτε Κλειτοῖο λιπεῖν περιμάκεα πᾶχυν
φαμὶ κατὰ βλοσυρὸν φλοῖσβον Ἐνυαλίου.

V.

Τοῦτό σοι, Ἄρτεμι δῖα, Κλεώνυμος εἶσατ' ἄγαλμα·
τοῦτο σύ γ' εὐθήρου τοῦδ' ὑπέρισχε βίου,
εἴτε κατ' εἰνοσίφυλλον ὄρος ποσὶ πότνια βαίνεις,
δεινὸν μαιμώσαις ἐγκονέουσα κυσίν,

VI.

Σοὶ μὲν καμπύλα τόξα, καὶ ἰοχέαιρα φαρέτρα,
δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται·
ἰοὺς δὲ πτερόεντας ἀνὰ κλόνον ἄνδρες ἔχουσιν
ἐν κραδίαις, ὀλοὰ ξείνια, δυσμενέες.

III. 4. Fort. ἂν ἴκ.
V. 2. Scr. τ. σὺ δ' ε. χεῖρ' ὑπέρισχε βίου.

VII. T. I.

Ἀ σύριγξ, τί τοι ὧδε παρ' Ἀφρογένειαν ὄρουσας;
τίπτ' ἀπὸ ποιμενίου χείλεος ὧδε πάρει;
οὔ τοι κρῶνες ἔθ' ὧδ', οὐδ' ἄγκεα· πάντα δ' Ἔρωτες
καὶ Πόθος· ἁ δ' ἀγρία Μοῦσ' ἐν ὄρει μενέτω.

VIII.

Στᾶμεν ἁλιῤῥάντοιο παρὰ χθαμαλὰν χθόνα πόντου,
δερκόμενοι τέμενος Κύπριδος Εἰναλίας,
κράναν τ' αἰγείροισι κατάσκιον, ἇς ἄπο νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

IX. p. 192.

Τραυλὰ μινυρομένα, Πανδιονὶ παρθένε, φωνᾷ,
Τηρέος οὐ θεμίταν ἀψαμένα λεχέων,
τίπτε παναμέριος γοάεις ἀνὰ δῶμα χελιδόν;
παῦσαι, ἐπεί σε μένει δάκρυα καὶ κατόπιν.

X.

Οὐκέτι δὴ πτερύγεσσι λιγυφθόγγοισιν ἀείσεις,
ἀκρί, κατ' εὐκάρπους αὔλακας ἑζομένα,
οὐδ' ἐμὲ κεκλιμένον σκιερὴν ὑπὸ φυλλάδα τέρψεις,
ξουθᾶν ἐκ πτερύγων ἁδὺ κρέκουσα μέλος.

XI.

Ἀκρίδα Δημοκρίτου μελεσίπτερον ἅδε θανοῦσαν
ἄργιλλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει,
ἇς καί, ὅτ' ἰθύσειε πανέσπερον ὕμνον ἀείδειν,
πᾶν μέλαθρον μολπᾶς ἴαχ' ὑπ' εὐκελάδου.

IX. 4. Cod. Vat. μένει καὶ κατόπιν δάκρυα.
XI. 2. Cod. ἄργειλος. Fort. ἅδε (ex Cod.) θανοῦσαν Ἄργιλος —

T. I.

XII.

Αμπαύσει καὶ τῇδε θοὸν πτερὸν ἱερὸς ὄρνις,
τᾶσδ' ὑπὲρ ἀδείας ἑζόμενος πλατάνου.
ὤλετο γὰρ Ποίμανδρος ὁ Μάλλιος, οὐδ' ἔτι νεῖται
ἰξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις.

XIII.

Αἰθυίας, ξένε, τόνδε ποδηνέμου ἔννεπε τύμβον,
τᾶς ποτ' ἐλαφρότατον χέρσος ἔθρεψε γόνυ.
πολλαῖς γὰρ νάεσσιν ἰσόδρομον ἄνυσε μᾶκος,
ὄρνις ὅπως, δολιχὰν ἐκπονέουσα τρίβον.

p. 193.

XIV.

Αδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῇδε κάθημαι
Ἡδονῇ, αἰσχίστως κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἴπερ ἅπασιν
ἁ κακόφρων Τέρψις κρεῖσσον ἐμοῦ κέκριται.

XV.

Ασκρη μὲν πατρὶς πολυλήϊος· ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν Ἑλλάδι κῦδος ὀρεῖται
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

XVI.

Οἵδε πάτραν, πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν,
ῥυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν·
ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
τούσδ' ἐσιδὼν, θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

XVII.

Αἶ αἶ παρθενίας ὀλοόφρονος, ἅς ἀπὸ φαιδρὰν
ἔκλασας ἁλικίαν ἱμερόεσσα Κλεοῖ,
κᾳδδέ σε ἀμυξάμεναι περὶ δάκρυσιν αἶψ' ἐπὶ τύμβῳ
λᾶες Σειρήνων ἕσταμες εἰδάλιμοι.

XVIII.

Αἶ αἶ Ἀριστοκράτεια, σὺ μὲν βαθὺν εἰς Ἀχέροντα
οἴχεαι, ὡραίου κεκλιμένα πρὸ γάμου·
ματρὶ δὲ δάκρυα σεῦ καταλείπεται, ἅ σ' ἐπὶ τύμβῳ
πολλάκι κεκλιμένα κωκύει ἐκ κεφαλᾶς.

ΝΟΣΣΙΔΟΣ.

p. 194.

I.

Ἅδιον οὐδὲν ἔρωτος, ἔρωτος δεύτερα πάντα
ἐστίν· ἀπὸ στόματος δ' ἔπτυσα καὶ τὸ μέλι.
τοῦτο λέγει Νοσσίς· τινὰ δ' ἁ Κύπρις οὐκ ἐφίλασεν,
οὐκ οἶδεν τήνας ἄνθεα ποῖα ῥόδα.

II.

Ἥρα τιμήεσσα, Λακίνιον ἃ τὸ θυῶδες
πολλάκις οὐρανόθεν νεισομένα κοθορῆς,
δέξαι βύσσινον εἷμα, τό τοι μετὰ παιδὸς ἀγαυᾶς
Νοσσίδος ὕφανεν Θευφιλὶς ἁ Κλεόχας.

XVIII. 2. Fort. [illegible] π. γ.

II. 2. Cod. κοθορῆς. Scr. ποθορῇς.

T. I.

III.

Artemis, die in der schönen Ortygia wohnst und Delos

Ἄρτεμι Δᾶλον ἔχοισα καὶ Ὀρτυγίαν ἐρόεσσαν,
τόξα μὲν ἐς κόλπως ἁγν᾽ ἀπόθυ Χαρίτων,
λῦσαι δ᾽ Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ᾽ ἐς οἴκως
λύσυσ᾽ ὠδίνων Αλκέτιν ἐκ χαλεπῶν.

IV.

Ελθοῖσαι ποτὶ ναὸν, ἰδοίμεθα τᾶς Αφροδίτας
τὸ βρέτας, ὃ χρυσῷ δαιδαλόεν τελέθει.
εἵσατό μιν Πολυαρχὶς, ἐπαυρομένα μάλα πολλὰν
κτῆσιν ἀπ᾽ οἰκείυ σώματος ἀγλαΐας.

p. 195.

V.

Χαίροισάν τοι ἔοικε κομᾶν ἄπο τὰν Αφροδίταν
ἄνθεμα κεκρύφαλον τόνδε λαβεῖν Σαμύθας·
δαιδάλεος τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὔζει,
τῷ, τῷ καὶ τήνα καλὸν Αδωνα χρίει.

VI.

Εντεα Βρέττιοι ἄνδρες ἀπ᾽ αἰνομόρων βάλον ὤμων,
θεινόμενοι Λοκρῶν χερσὶν ὑπ᾽ ὠκυμάχων,
ὧν ἀρετὰν ὑμνεῦντα, θεῶν ὑπ᾽ ἀνάκτορα κεῖνται,
ὐδὲ ποθεῦντι κακῶν πάχεας, ὓς ἔλιπον.

VII.

Αὐτομέλιννα τέτυκται· ἴδ᾽ ὡς ἀγανὸν τὸ πρόσωπον
ἁμὲ ποτοπτάζειν μειλιχίως δοκέει·
ὡς ἐτύμως θυγάτηρ τᾷ ματέρι πάντα ποτῴκει.
ἦ καλὸν ὅκκα πέλει τέκνα γονεῦσιν ἴσα.

VIII.

VIII.

T.I.

Γνωτὰ καὶ τηνῶθε Σαβαιθίδος εἴδετ' ὀπωπά·
ἁ δ' εἰκὼν μορφᾷ καὶ μεγαλοφροσύναν.
θάεο τὰν πινυτὰν, τό τε μείλιχον αὐτόθι τήνας
ἔλπομ' ὁρῆν· χαίροις πολλὰ, μάκαιρα γύναι.

IX.

Θυμαρέτας μορφὰν ὁ πίναξ ἔχει· εὖ γε τὸ γαῦρον
τεῦξε, τό θ' ὡραῖον τᾶς ἀγανοβλεφάρου.
σαίνοι κέν σ' ἐσιδοῖσα καὶ οἰκοφύλαξ σκυλάκαινα
δέσποιναν μελάθρων οἰομένα ποθορῆν.

X.

p. 196.

Τὸν πίνακα ξανθᾶς Καλλὼ δόμον εἰς Ἀφροδίτας,
εἰκόνα γραψαμένα πάντ' ἀνέθηκεν ἴσαν.
ὡς ἀγανῶς ἕστακεν· ἴδ' ἁ χάρις ἁλίκον ἀνθεῖ.
χαιρέτω· οὔ τινα γὰρ μέμψιν ἔχει βιοτᾶς.

XI.

Ὦ ξεῖν', εἰ τύ γε πλεῖς ποτὶ καλλίχορον Μιτυλάναν,
τᾶν Σαπφῶ Χαρίτων ἄνθος ἐνοψόμενος,
εἰπεῖν ὡς Μούσαισι φίλαν, τήνα τε Λοκρὶς γᾶ
τίκτεν ἴσαν, ὅτι θ' οἱ τοὔνομα Νοσσίς. ἴθι.

XII.

Καὶ καπυρὸν γελάσας παραμείβεο, καὶ φίλον εἰπὼν
ῥῆμ' ἐπ' ἐμοί. Ῥίνθων εἰμ' ὁ Συρακόσιος,
Μουσάων ὀλίγη τις ἀηδονίς· ἀλλὰ φλυάκων
ἐκ τραγικῶν ἴδιον κισσὸν ἐδρεψάμεθα.

T. I. p. 197.

ΑΝΥΤΗΣ.

I.

Ἕσταθι τῇδε κράνεια βροτοκτόνε, μηδ' ἔτι λυγρὸν
χάλκεον ἀμφ' ὄνυχα στάζε φόνον δαΐων.
ἀλλ' ἀνὰ μαρμάρεον δόμον ἡμένα αἰπὺν Ἀθάνας
ἄγγελλ' ἀνορέαν Κρητὸς Ἐχεκρατίδα.

II.

Βουχάνδης ὁ λέβης· ὁ δὲ θεὶς Ἐριασπίδα υἱὸς,
Κλεύβοτος· ἁ πάτρα δ' εὐρύχορος Τεγέα·
τ' Ἀθάνᾳ δὲ τὸ δῶρον· Ἀριστοτέλης δ' ἐποίησε
Κλειτόριος, γενέτᾳ ταὐτὸ λαχὼν ὄνομα.

III.

Φριξοκόμᾳ τόδε Πανὶ, καὶ Αὐλιάσιν θέτο Νύμφαις
δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος,
οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

IV.

Ἡνία δή τοι παῖδες ἔνι, τράγε, φοινικόεντα
θέντες, καὶ λασίῳ φιμὰ περὶ στόματι,
ἵππια παιδεύουσι θεοῦ περὶ ναὸν ἄεθλα,
ὄφρ' αὐτοὺς φορέῃς ἤπια τερπομένους.

II. 3. Cod. Vat. ἐβόησεν. Scr. ἐπόησε.

V.

T. I. p. 198

Εἰς Ἀφροδίτης ἄγαλμα ἑστὼς ἐπ' αἰγιαλῷ καὶ ἀποσκοποῦν πρὸς τὸ πέλαγος.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρῆν πέλαγος,
ὄφρα φίλον ναύταισι τελῇ πλόον· ἀμφὶ δὲ πόντος
δειμαίνει, λιπαρὸν δερκόμενος ξόανον.

VI.

Ἷζευ ἅπας ὑπὸ τᾶσδε δάφνας εὐθαλέα φύλλα,
ὡραίου τ' ἄρυσαι νάματος ἁδὺ πόμα,
ὄφρα τοι ἀσθμαίνοντα πόνοις θέρεος φίλα γυῖα
ἀμπαύσῃς, πνοιῇ τυπτόμενα Ζεφύρου.

VII.

Ξεῖν', ὑπὸ τὰν πέτραν τετρυμένα γυῖ' ἀνάπαυσον·
ἁδύ τι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
πίδακά τ' ἐκ παγᾶς ψυχρὸν πίε· δὴ γὰρ ὁδίταις
ἄμπαυμ' ἐν θερμῷ καύματι τοῦτο φίλον.

VIII.

Εἰς ἄγαλμα Πανός.

Τίπτε κατ' οἰόβατον, Πὰν ἀγρότα, δάσκιον ὕλαν
ἥμενος, ἁδυβόᾳ τῷδε κρέκεις δόνακι;
β ὄφρα μοι ἑρσήεντα κατ' οὔρεα ταῦτα νέμοιντο
πόρτιες, ἠϋτόκων δρεπτόμεναι σταχύων.

IX.

Ἑρμᾶς τᾷδ' ἕστακα παρ' ὄρχατον ἠνεμόεντα
ἐν τριόδοις, πολιᾶς ἔγγυθεν ἀϊόνος,
ἀνδράσι κεκμηῶσιν ἔχων ἄμπαυσιν ὁδοῖο· p 199.
ψυχρὸν δ' ἀχραὲς κράνα ὑποϊάχει.

T. I.

X.

Θάεο τὸν Βρομίου κεραὸν τράγον, ὡς ἀγερώχως
ὄμμα κατὰ λασίαν γαῦρον ἔχει γενύων,
κυδιόων ὅτι οἱ θάμ' ἐν οὔρεσιν ἀμφὶ παρῇδα
βόστρυχον ἐς ῥοδέαν Ναῒς ἔδεκτο χέρα.

XI.

Οὐκ ἔτι μ' ὡς τοπάρος πυκιναῖς πτερύγεσσιν ἐρέσσων
ὄρσεις ἐξ εὐνῆς, ὄρθριος ἐγρόμενος.
ἦ γάρ σ' ὑπνώοντα σίνις λαθρηδὸν ἐπελθὼν
ἔκτεινεν, λαιμῷ ῥίμφα καθεὶς ὄνυχα.

XII.

Εἰς δελφῖνα ἐκβρασθέντα ἐκ θαλάσσης ἐν τῇ χέρσῳ.

Οὐκέτι δὴ πλωτοῖσιν ἀγαλλόμενος πελάγεσσιν
αὐχέν' ἀναῤῥίψω βυσσόθεν ὀρνύμενος,
οὐδὲ παρ' εὐσκάλμοιο νεὼς περικάλλεα χεῖλη
ποιφύξω, τἀμᾷ τερπόμενος προτομᾷ.
ἀλλά με πορφυρέα πόντου νοτὶς ὦσ' ἐπὶ χερσὸν,
κεῖμαι δὲ ῥαδινὰν τάνδε παρ' ἠϊόνα.

XIII.

Ηβα μέν συ, Πρόαρχε, τεσῶν παίδων, τά γε ματρὸς
τήθεα ἐν δνοφερῷ πένθει ἔθου φθίμενος.
ἀλλὰ καλόν τοι ὕπερθεν ἔπος τόδε πέτρος ἀείδει,
ὡς ἔθανες πρὸ φίλας μαρνάμενος πατρίδος.

XII. 1. Fort. πλωτῇσιν — πτερύγεσσιν. 6. Fort. κ. δὲ περικαλλὰν τ. π.

T. I. p. 200.

XIV.

Ἀκρίδι τᾷ κατ᾽ ἄρουραν ἀηδόνι, καὶ δρυοκοίτᾳ
τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ,
παρθένιον στάξασα κόρα δάκρυ· δισσὰ γὰρ αὐτᾶς
παίγνι᾽ ὁ δυσπειθὴς ᾤχετ᾽ ἔχων Ἀΐδας.

XV.

Μνᾶμα τόδε. φθιμένου μενεδαΐου εἵσατο Δᾶμις
ἵππου, ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης
τύψε· μέλαν δέ οἱ αἷμα ταλαυρίνου διὰ χρωτὸς
ζέσσ᾽, ἐπὶ δ᾽ ἀργαλέαν βῶλον ἔδευσε φόνῳ.

XVI.

Ἀντί τοι εὐλεχέος θαλάμου, σεμνῶν θ᾽ ὑμεναίων
μάτηρ στῆσε τάφῳ τῷδ᾽ ἐπὶ μαρμαρίνῳ
παρθενικὰν, μέτρον τε τεὸν καὶ κάλλος ἐχοῖσαν,
Θέρσι· ποτιφθέγκτα δ᾽ ἔπλεο καὶ φθιμένα.

XVII.

Ὠιχόμεθ᾽, ὦ Μίλητε, φίλη πατρὶ, τὰν ἀθέμιστον
τῶν ἀνόμων Γαλατᾶν ὕβριν ἀναινόμεναι,
παρθενικαὶ τρισσαὶ πολιήτιδες, ἃς ὁ βίαιος
Κελτῶν εἰς ταύτην μοῖραν ἔτρεψεν Ἄρης.
οὐ γὰρ ἐμείναμεν αἷμα τὸ δυσσεβὲς, οὐδ᾽ Ὑμέναιον
νυμφίον, ἀλλ᾽ Ἀΐδην κηδεμὸν᾽ εὑρόμεθα.

XVIII.

Λοίσθια δὴ τάδε πατρὶ φίλῳ, περὶ χεῖρε βαλοῦσα,
εἶπ᾽ Ἐρατὼ, χλωροῖς δάκρυσι λειβομένα·

XV. 1. Fort. Μενεδαΐε ε. Δᾶμις, ἵππε.

T. I. p. 201. ὦ πάτερ, ὔ τοι ἔτ' εἰμὶ, μέλαν δ' ἐμὸν ὄμμα καλύπτει
ἤδη ἀποφθιμένης κυάνεος θάνατος.

XIX.

Πολλάκι τῷδ' ὀλοφυδνὰ κόρας ἐπὶ σάματι Κλεινὼ
μάτηρ ὠκυμόρυ, παῖδ' ἐβόασε φίλαν,
ψυχὰν ἀγκαλέυσα Φιλαινίδος, ἃ πρὸ γάμοιο
χλωρὸν ὑπὲρ ποταμῦ χεῦμ' Ἀχέροντος ἔβα.

XX.

Λύδιον ὖδας ἔχει τόδ' Ἀμύντορα, παῖδα Φιλίππυ,
πολλὰ σιδαρείας χερσὶ θιγόντα μάχας·
ὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἄγαγε Νυκτὸς,
ἀλλ' ὄλετ' ἀμφ' ἑτάρῳ σχὼν κυκλόεσσαν ἴτυν.

XXI.

Μάνης ὗτος ἀνὴρ ἦν ζῶν ποτε. νῦν δὲ τεθνηκὼς
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

XXII.

Παρθένον Ἀντιβίαν κατοδύρομαι, ἇς ἔπι πολλοὶ
νυμφίοι ἵεμενοι πατρὸς ἵκοντο δόμον,
κάλλευς καὶ πινυτᾶτος ἀνὰ κλέος. ἀλλ' ἐπὶ πάντων
ἐλπίδας ὐλομένα Μοῖρ' ἐκύλισσε πρόσω.

XXIII.

Ὦλεο δήποτε καὶ σὺ πολύῤῥιζον παρὰ θάμνον,
Λοκρὶ, φιλοφθόγγων ὠκυτάτη σκυλάκων,
τοῖον ἐλαφρίζοντι τεῷ ἐγκάτθετο κώλῳ
ἰὸν ἀμείλικτον ποικιλόδειρος ἔχις.

XXIII, 1. Scr. ω. δήποτε, Μαῖρα, (in cod. μαῖα) πολύριζον.

ΜΥΡΟΥΣ, T. I. p. 202.

ΒΥΖΑΝΤΙΑΣ.

I.

Κεῖσαι δὴ χρυσέαν ὑπὸ παστάδα τὰν Ἀφροδίτας
βότρυ, Διωνύσου πληθόμενος σταγόνι·
οὐδ' ἔτι τοι μάτηρ ἐρατὸν περὶ κλῆμα βαλοῦσα
φύσει ὑπὲρ κρατὸς νεκτάρεον πέταλον.

II.

Νύμφαι Ἀμαδρυάδες, ποταμοῦ κόραι, αἳ τάδε βένθη
ἀμβρόσια ῥοδέοις στείβετε ποσσὶν ἀεί,
χαίρετε καὶ σώζοιτε Κλεώνυμον, ὃς τάδε καλὰ
εἵσαθ' ὑπαὶ πιτύων ὔμμι θεαὶ ξόανα.

III.

Ἀποσπασμάτιον ἐκ τῆς ἐπιγραφομένης Μνημοσύνης.

Ζεὺς δ' ἄρ' ἐνὶ Κρήτῃ τρέφετο μέγας, οὐδ' ἄρα τίς νιν
ἠΐδει μακάρων· ὁ δ' ἀέξετο πᾶσι μέλεσσι.
τὸν μὲν ἄρα τρήρωνες ὑπὸ ζαθέῳ τρέφον ἄντρῳ,
ἀμβροσίην φορέουσαι ἀπ' Ὠκεανοῖο ῥοάων·
νέκταρ δ' ἐκ πέτρης μέγας αἰετὸς αἰὲν ἀφύσσων,
γαμφηλῇ φορέεσκε ποτὸν Διῒ μητιόεντι.
τὸν καὶ, νικήσας πατέρα Κρόνον, εὐρυόπα Ζεὺς
ἀθάνατον ποίησε, καὶ οὐρανῷ ἐγκατένασσεν· p. 203.
ὣς δ' αὔτως τρήρωσι πελειάσιν ὤπασε τιμὴν,
αἳ δή τοι θέρεος καὶ χείματος ἄγγελοί εἰσι

T. L. # ΜΕΝΑΝΔΡΟΥ.

/3 529

Εἰς Θεμιστοκλέα καὶ Επίκυρον.

Χαῖρε Νεοκλείδα δίδυμον γένος· ὧν ὁ μὲν ὑμῶν
πατρίδα δυλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

p. 204. # ΣΙΜΜΙΟΥ

ψ

ΡΟΔΙΟΥ.

I.

Πρέσθε μὲν ἀγραύλοιο δασύτριχος ἰξάλυ αἰγὸς
δισσὸν ἐπὶ χλωροῖς ἐστεφόμην πετάλοις·
νῦν δέ με Νικομάχῳ κεραοξόος ἥρμοσε τέκτων,
ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.

II. Scalig. l. p. 6.

Σωφροσύνη προφέρων θνητῶν, ἤθει τε δικαίῳ
ἐνθάδε κεῖται ἀνὴρ δῖος Αριςοκλέης·
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
ὗτος ἔχει πλεῖςον, καὶ φθόνος ὐχ ἕπεται.

I. 2. Cod. Vat. δοιόν.

III. T. I.

Ὕστατα δὴ τάδ᾽ ἔειπε φίλαν ποτὶ ματέρα Γοργὼ
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα·
αὖθι μένοις παρὰ πατρὶ, τέκοις δ᾽ ἐπὶ λώονι μοίρᾳ
ἄλλαν, σῷ πολιῷ γήραϊ καδεμόνα.

IV.

Οὐκέτ᾽ ἀν᾽ ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ,
ἠχήεσσαν ἱεὶς γῆρυν ἀπὸ στομάτων,
θηρεύσεις βαλιὰς συνομήλικας ἐν νομῷ ὕλης· v. Suid. s. v.
ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.

V. T. II. p. 525.

Τηλυγέτων δ᾽ ἀφνειὸν Ὑπερβορέων ἀνὰ δῆμον,
τοῖς δὴ καί ποτ᾽ ἄναξ ἥρως παρεδαίσατο Περσεὺς,
ἔνθα δὲ Μασσαγέται ταχέων ἐπιβήτορες ἵππων
ναίουσιν, τόξοισι πεποιθότες ὠκυβόλοισι,
θεσπέσιόν τε περὶ ῥόον ἤλυθον ἀενάοιο
Καμπάσου, ὅς ῥ᾽ ἅλα δῖαν ἐς ἀθανάτην φέρει ὕδωρ.
ἐκ δ᾽ ἱκόμην ἐλάαισι περὶ χλωρῇσιν ἐρυμνὰς
νήσους, ὑψικόμοισιν ἐπηρεφέας δονάκεσσιν.
ἡμικύνων τ᾽ ἐνόησα γένος περιώσιον ἀνδρῶν,
τοῖς ὤμων καθύπερθεν ἐϋτρεφέων κύνεον κρὰς
τέτραφε, γαμφηλῇσι περικρατέεσσιν ἐρυμνόν.
τῶν μέν θ᾽ ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τοίγε
ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν.

III. 4. Codd. καδεμόναν.
IV. 1. Cod. Vat. ὄρος a pr. man. 2. ἠχήεις ἀνὰ. in marg. ἠχήεσσαν ἱεὶς γ, α. στόματος. In textu τομάτων. 3. θηρεύων. in marg. θηρεύσεις.

Notae in Aeſchyli VII. c. Th. p. 346.

VI.

Τάνδε κατ' εὐδένδρου στείβων δρυὸς εἴρυσα χειρὶ
πτώσσουσαν βρομίης οἰνάδος ἐν πετάλοις.
Ὄφρα μοι εὐέρκει καναχὰν δόμῳ ἔνδοθι θείη,
τερπνὰ δι' ἀγλώσσου φθεγγομένα στόματος.

ΠΤΕΡΥΓΕΣ. T. I. p. 205.

Λεῦσσέ με τὸν Γᾶς τε βαθυστέρνου ἄνακτ', Ἀκμονίδαν τ' ἄλλυδις ἑδράσαντα,

μηδὲ τρέσῃς· εἰ τόσος ὢν δάσκια βέβριθα λάχνᾳ γένεια.

τᾶμος ἐγὼ γὰρ γενόμαν, ἁνίκ' ἔκραιν' Ἀνάγκα,

πάντα δὲ Γᾶς εἶκε φραδαῖσι λυγραῖς

ἑρπετὰ, πάνθ' ὅσ' ἕρπει

δι' αἴθρας

χάους τε.

οὔτι γε Κύπριδος παῖς,

ὠκυπέτας τ' ἀέριος καλεῦμαι·

οὔτι γὰρ ἔκρανα βίᾳ, πᾶν δ' ἐπράϋνα πειθοῖ.

εἶκε δ' ἐμοὶ Γαῖα, Θαλάσσας τε μυχοὶ, χάλκεος Οὐρανός τε,

τῶν ἐγὼ ἐκνοσφισάμαν ὠγύγιον σκᾶπτρον, ἔκρινον δὲ θεοῖς θέμιστας.

T. I. p. 207.

ΩΟΝ

Κωτιλας

ματερος

τη τυτ' ωον νεον

προφρων δε θυμῳ δεξο δη γαρ ἁγνας

το μεν θεων εριβοας Ἑρμας εκιξε καρυξ

ανωγε δ' ἐκ μετρυ μονοβαμονος μεγαν παροιθ' αεξειν

θοως δ' ὑπερ λεχριον φερων νευμα ποδων σποραδων πιφαυσκε

θοαισι τ' αιολαις νεβροις κωλ' αλλασσων ορσιποδων ελαφων τεκεσσι

παλιγκραιπνοις ὑπερ ακρων ιεμεναι ποσι λοφων κατ' αρθμιας ιχνος τιθηνας

και τις ωμοθυμος αμφιπαλτον αιψ' αυδαν θηρ εν κολπῳ δεξαμενος θαλαμων πυκινωτατων

και τοδ' ωκυβοας μεθεπων αφαρ ὁσγε το λασιον νιφοβολων ἀν' ορεων εσσυται αγκος

ταισι δη δαιμων κλυτας ισα θεαισι ποσι δονεων τα πολυπλοκα μετιει μετρα μολπας

ῥιμφα πετροκοιτον εκλιπων ορυς ευναν ματρος πλαγκτον μαιομενος βαλιας ἑλειν τεκος

βλαχαι δ' οιων πολυβοτων αν' ορεων νομον εβαν τανυσφυρων τ' αν αντρα Νυμφων

ται δ' αμβροτῳ ποθῳ φιλας ματρος ῥωοντ' αιψα μεθ' ἱμεροεντα μαζον

ιχνει θενων ταν παναιολον Πιεριδων μονοδουπον αυδαν

αριθμον εις ακραν δεκαδ' ιχνιων κομμενον τε ῥυθμῳ

φυλ' ες βροτων ὑπο φιλας ἐλθων πτεροισι ματρος

λιγεια μιν [illegible] [illegible] ματρος ωδις

ἁγνας αηδονος

Δωριας

ατριον

In his duobus poëmatiis, Ovo et Securi, verſus eo legendi ſunt ordine, quo eos in adverſa pagina collocatos vides.

ΩΟΝ

T. I. p. 208.

Κωτίλας
ἄτριον
ματέρος
Δωρίας,
τῆ τοῦτ' ὠὸν νέον
ἁγνᾶς ἀηδόνος·
πρόφρων δὲ θυμῷ δέξο· δὴ γὰρ ἁγνᾶς
λίγειά μιν κάμ' ἀμφὶ ματρὸς ὠδίς.
τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔδιξε κᾶρυξ
φῦλ' ἐς βροτῶν, ὑπὸ φίλας ἑλὼν πτεροῖσι ματρός.
ἄνωγε δ' ἐκ μέτρου μονοβάμονος μέγαν πάροιθ' ἀέξειν
ἀριθμὸν, εἰς ἄκραν δεκάδ' ἰχνίων, κοσμούμενόν τε ῥυθμῷ.
θοῶς δ' ὑπὲρ λέχριον φέρων νεῦμα ποδῶν σποράδων πίφαυσκε,
ἴχνει θένων τὰν παναίολον Πιερίδων μονόδουπον αὐδὰν,
θοαῖσι τ' αἰόλαις νεβροῖς κῶλ' ἀλλάσσων, ὀρσιπέδων ἐλάφων τέκεσσι·
ταὶ δ' ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ' αἶψα μεθ' ἱμερόεντα μαζὸν,
παλιγκραίπνοις ὑπὲρ ἄκρων ἵεμεναι ποσὶ λόφων, κατ' ἀρθμίας ἴχνος τιθήνας·
βλαχαὶ δ' οἴων πολυβότων ἀν' ὀρέων νόμον ἔβαν, τανυσφύρων τ' ἀν' ἄντρα Νυμφῶν·
καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ' αὐδὰν θὴρ ἐν κόλπῳ δεξάμενος θαλάμων πυκωτάτων,
ῥίμφα πετρόκοιτον ἐκλιπὼν ὄρους εὐνὰν, ματρὸς πλαγκτὸν μαιόμενος βαλίας ἑλεῖν τέκος,
καὶ τόδ' ὠκυβόας μεθέρπων, ἄφαρ ὅσγε τὸ λάσιον νιφοβόλων ἀν' ὀρέων ἔσσυται ἄγκος.
ταῖσι δὴ δαίμων κλυτᾶς ἶσα θέουσι ποσὶ δονέων τὰ πολύπλοκα μετίει μέτρα μολπᾶς.

T. I. p. 209.

ΠΕΛΕΚΥΣ.

Ανδροθεᾳ δωρον ὁ Φωκευς κρατερας μηδοσυνας ηρα τινων Αθανᾳ
ταμος επει ταν ἱεραν κηρι 'πυριπνῳ πολιν ηθαλωσεν
ουκ εναριθμος γεγαως εν προμαχοις Αχαιων
νυν δ' ες Ομηρειον εβα κελευθον
τρις μακαρ ὁν συ θυμῳ
ὁδ' ολβος

αει πνει
ἱλαος αμφιδερχθῃς
σαν χαριν ἁγνα πολυβουλε Παλλας
αλλ' απο κρανᾶν ιθαραν ναμα κομιζε δυσκλης
Δαρδανιδαν χρυσοβαφεις τ' εστυφελιξ' εκ θεμεθλων ανακτας
ωπασ' Επειος πελεκυν τῳ ποκα πυργων θεοτευκτων - κατηρειψεν αιπος

ΠΕΛΕΚΥΣ. T.I p.210.

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
ὤπασ' Ἐπειὸς πέλεκυν, τῷ πόκα πύργων θεοτεύκτων κατέρειψεν αἶπος,
τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ᾐθάλωσεν
Δαρδανιδᾶν, χρυσοβαφεῖς τ' ἐστυφέλιξ' ἐκ θεμέθλων ἄνακτας,
οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν,
ἀλλ' ἀπὸ κρανᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής·
νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον,
σὰν χάριν, ἁγνὰ πολύβουλε Παλλάς.
τρὶς μάκαρ ὃν σὺ θυμῷ
ἵλαος ἀμφιδερχθῇς.
ὅδ' ὄλβος
ἀεὶ πνεῖ.

T. I. p. 211.

ΑΣΚΛΗΠΙΑΔΟΥ
ΤΟΥ ΣΑΜΙΟΥ
ΚΑΙ ΑΛΛΩΝ ΟΜΩΝΥΜΩΝ.

I.

Νῦν αἰτεῖς, ὅτε λεπτὸς ὑπὸ κροτάφοισιν ἴουλος
 ἕρπει, καὶ μηροῖς ὀξὺς ἔπεστι χνόος·
εἶτα λέγεις· ἥδιον ἐμοὶ τόδε. καί τις ἂν εἴποι
 κρείσσονας αὐχμηρὰς ἀσταχύων καλάμας;

II.

Εἰ πτέρα σοι προσέκειτο, καὶ ἐν χερὶ τόξα καὶ ἰοὶ,
 οὐκ ἂν Ερως ἐγράφη Κύπριδος, ἀλλὰ σὺ, παῖ.

III.

Εἰ καθύπερθε λάβοις χρύσεα πτερὰ, καί σευ ἀπ' ὤμων
 τείνοιτ' ἀργυρέων ἰοδόκος φαρέτρη,
καὶ σταίης παρ' Ερωτα, φιλάγλαον οὐ, μὰ τὸν Ερμῆν,
 οὐδ' αὐτὴ Κύπρις γνώσεται ὃν τέτοκεν.

IV.

Αὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
 μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
οὓς δακρύοις κατέβρεξα, κάτομβρα γὰρ ὄμματ' ἐρώντων·
 ἀλλ' ὅτ' ἀνοιγομένης αὐτὸν ἴδητε θύρης,
στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετὸν, ὡς ἂν ἄμεινον
 ἡ ξανθή γε κόμη δάκρυα τἀμὰ πίῃ.

IV. 6. τἀμὰ πίῃ δάκρυα. Cod. Vat.

V. T. I. p. 212.

Μικρὸς Ἔρως ἐκ μητρὸς ἔτ' εὐθήρατος ἀποπτὰς
ἐξ οἴκων, φησὶν, Δάμιδος οὐ πέταμαι.
ἀλλ' αὐτὸν φιλέω τε, καὶ ἀζήλωτα φιληθεὶς,
οὐ πολλοῖς εὐκρὰς, τῷδ' ἑνὶ προσφέρομαι.

VI.

Οὔπω τοξοφόρων οὐράγιος, ἀλλὰ νεογνὸς
οὑμὸς Ἔρως παρὰ τὴν Κύπριν ἐπιστρέφεται,
δέλτον ἔχων χρύσεον· τὰ Φιλοκρατέως δὲ Διαύλου
τραυλίζει ψυχῆς φίλτρα κατ' Ἀντιγένους.

VII.

Εὗρεν Ἔρως τι καλὸν, μίξιν καλῷ, οὐχὶ μάραγδον
χρυσῷ, ὃ μήτ' ἀνθεῖ, μήτε γένοιτ' ἐν ἴσῳ,
οὐδ' ἐλέφαντ' ἔβενον λευκῷ μέλαν· ἀλλὰ Κλέανδρον
Εὐβιότῳ, πειθοῦς ἄνθεα καὶ φιλίης.

VIII.

Οὐκ εἴμ' οὐδ' ἐτέων δύο κ' εἴκοσι, καὶ κοπιῶ ζῶν.
ὦ Ἔρωτες, τί κακὸν τοῦτο; τί με φλέγετε;
ἢν γὰρ ἐγώ τι πάθω, τί ποιήσετε; δῆλον, Ἔρωτες,
ὡς τοπάρος παίξεσθ' ἄφρονες ἀστραγάλοις.

IX.

Πῖν' Ἀσκληπιάδη· τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληΐσατο,
οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα καὶ ἰοὺς
πικρὸς Ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
πίνωμεν Βάκχου ζωρὸν πόμα. δάκτυλος ἀώς. p. 213.
ἢ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν;

T. I. πίνωμεν γαλερῶς. μετά τοι χρόνον οὐκέτι πουλὺν,
σχέτλιε, τὴν μακρὰν νύκτ' ἀναπαυσόμεθα.

X.

Οἶνος ἔρωτος ἔλεγχος. ἐρᾷν ἀρνεύμενον ἡμῖν
ἤνυσαν αἱ πολλαὶ Νικαγόρην προπόσεις.
καὶ γὰρ ἐδάκρυσεν καὶ ἐνύστασε, καί τι κατηφὲς
ἔβλεπε, χὠ σφιγχθεὶς οὐκ ἔμενε στέφανος.

XI.

Πρόσθε μοι Ἀρχεάδης ἐθλίβετο· νῦν δὲ τάλαιναν
οὐδ' ὅσσον παίζων εἰς ἔμ' ἐπιστρέφεται.
οὐδ' ὁ μελιχρὸς Ἔρως αἰεὶ γλυκύς· ἀλλ' ἀνιήσας,
πολλάκις ἡδίων γίνετ' ἐρῶσι θεός.

XII.

Δόρκιον ἡ φιλέφηβος ἐπίσταται, ὡς ἁπαλὸς παῖς,
ἔσθαι πανδήμου Κύπριδος ὠκὺ βέλος,
ἵμερον ἀστράπτουσα κατ' ὄμματος, ἧς ὑπὲρ ὤμων
ἐν πετάσῳ, γυμνὸν μηρὸν ἔφαινε χλαμύς.

XIII.

Τοῦθ' ὅ τι μοι λοιπὸν ψυχῆς, ὅ τι δή ποτ', Ἔρωτες,
τοῦτό γ' ἔχειν πρὸς θεῶν ἡσυχίην ἄφετε.
εἰ καὶ μὴ, τόξοις μὴ βάλλετέ μ', ἀλλὰ κεραυνοῖς,
καὶ πάντως τέφρην θέσθε με κἀνθρακίην.
ναὶ ναὶ βάλλετ' Ἔρωτες· ἐνεσκληκὼς γὰρ ἀνίαις,
εἰ μεῖζον τούτων ἔστ' ἔτι, βούλομ' ἔχειν.

XII. 4. alia apogr. σὺν πετ.
XIII. 3. Cod. εἰ μὴ καί. 4. Cod. ναὶ πάντως. 6. Cod. ἐξ ὑμέων τούτων εἰσέτι β. ε.

XIV. T.I. p.214.

Ωμολόγησ' ἥξειν εἰς νύκτα μοι ἡ 'πιβόητος
Νικὼ, καὶ σεμνὴν ὤμοσε Θεσμοφόρον·
οὐχ ἥκει, φυλακὴ δὲ παροίχεται. ἆρ' ἐπιορκεῖν
ἤθελε; τὸν λύχνον παῖδες ἀποσβέσατε.

XV.

Νικαρέτης τὸ Πόθοις μεμελημένον ἡδὺ πρόσωπον,
πυκνὰ δι' ὑψιλέφων φαινόμενον θυρίδων,
αἱ χαροπαὶ Κλεοφῶντος ἐπὶ προθύροις ἐμάραναν,
Κύπρι φίλη, γλυκεροῦ βλέμματος ἀστεροπαί.

XVI.

Ερμιόνῃ ποτ' ἐγὼ πιθανῇ συνέπαιζον, ἐχούσῃ
ζώνιον ἐξ ἀνθέων ποικίλον, ὦ Παφίη,
χρύσεα γράμματ' ἔχον. διόλου δ' ἐγέγραπτο· Φίλει με,
καὶ μὴ λυπηθῇς, ἤν τις ἔχῃ μ' ἕτερος.

XVII.

Η λαμυρή μ' ἔτρωσε Φιλαίνιον· εἰ δὲ τὸ τραῦμα
μὴ σαφὲς, ἀλλ' ὁ πόνος δύεται εἰς ὄνυχα.
οἴχομ', Ερωτες, ὄλωλα, διοίχομαι· εἰς γὰρ ἑταίραν
νυστάζων ἐπέβην, ἠδ' ἔθιγον τ' Αΐδα.

XVIII.

Νὺξ, σὲ γὰρ, οὐκ ἄλλην μαρτύρομαι, οἷά μ' ὑβρίζει
Πυθιὰς ἡ Νικοῦς, οὖσα φίλη, 'ξ ἀπάτης.
κληθεὶς, οὐκ ἄκλητος ἐλήλυθα. ταῦτα παθοῦσα
σοὶ μέμψαιτ' ἐπ' ἐμοῖς στᾶσά ποτε προθύροις.

T. I. p. 215.

XIX.

Ὑετὸς ἦν καὶ νὺξ, καὶ τὸ τρίτον ἄλγος ἔρωτι,
οἶνος, καὶ Βορέης ψυχρὸς, ἐγὼ δὲ μόνος.
ἀλλ' ὁ καλὸς μόσχος πλέον ἴσχυε, καὶ σὺ γὰρ οὕτως
ἤλυθες, οὐδὲ θύρην πρὸς μίαν ἡσύχασας.
τῇ δὲ τοσοῦτ' ἐβόησα βεβρεγμένος· ἄχρι τίνος, Ζεῦ;
Ζεῦ φίλε, σίγησον, καὐτὸς ἐρᾶν ἔμαθες.

XX.

Ἡδὺ θέρευς διψῶντι χιὼν ποτὸν, ἡδὺ δὲ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν στέφανον·
ἥδιστον δ' ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
χλαῖνα, καὶ αἰνῆται Κύπρις ὑπ' ἀμφοτέρων.

XXI.

Φείδῃ παρθενίης· καὶ τί πλέον; οὐ γὰρ ἐς Ἀιδην
ἐλθοῦσ' εὑρήσεις τὸν φιλέοντα, κόρη.
ἐν ζωοῖσι τὰ τερπνὰ τὰ Κύπριδος· ἐν δ' Ἀχέροντι
ὀστέα καὶ σποδιὴ, παρθένε, κεισόμεθα.

XXII.

Αἱ Σάμιαι Βιττὼ καὶ Νάννιον εἰς Ἀφροδίτης
φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις·
εἰς δ' ἕτερ' αὐτομολοῦσιν, ἃ μὴ καλά. δεσπότι Κύπρι,
μίσει τὰς κοίτης τῆς παρὰ σοὶ φυγάδας.

XXIII. Salm. P. p. 12

Νὺξ μακρὴ καὶ χεῖμα, μέσην δ' ἐπὶ Πλειάδα δύνει,
κἀγὼ πὰρ προθύροις νείσσομαι ὑόμενος,

XIX. Inter primum et ſecundum diſtichon, ſicut inter hoc et tertium quaedam deeſſe videntur.

τρωθεὶς τῆς δολίης Ἑλένης πόθῳ· οὐ γὰρ ἔρωτα T. I. p. 216.
Κύπρις, ἀνιηρὸν δ' ἐκ πυρὸς ἧκε βέλος.

XXIV. Scalig. P. p. 16.

Τῷ θαλλῷ Διδύμη με συνήρπασεν· ὤ μοι, ἐγὼ δὲ
τήκομαι, ὡς κηρὸς πὰρ πυρὶ, κάλλος ὁρῶν.
εἰ δὲ μέλαινα, τί τοῦτο; καὶ ἄνθρακες· ἀλλ' ἂν ἐκείνους
θάλψωμεν, λάμπουσ' ὡς ῥόδεαι κάλυκες.

XXV.

Λύχνε, σὲ γὰρ παρεοῦσα τρὶς ὤμοσεν Ἡράκλεια
ἥξειν, κοὐχ ἥκει· λύχνε, σὺ δ', εἰ θεὸς εἶ,
τὴν δολίην ἐπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα
παίζῃ, ἀποσβεσθεὶς μηκέτι φῶς πάρεχε.

XXVI.

Νῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου,
πάντα τὰ πορφύροντ' ἐν χθονὶ σεῖε νέφη.
ἢν γάρ με κτείνῃς, τότε παύσομαι· ἢν δέ μ' ἀφῇς ζῆν
καὶ διαθεὶς τούτων χείρονα, κωμάσομαι.
ἕλκει γάρ μ' ὁ κρατῶν καὶ σοῦ θεὸς, ᾧ ποτε πεισθεὶς,
Ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.

XXVII.

Τῶν Καρίων ἡμῖν λάβε κωλάδας· ἀλλὰ πόθ' ἥξει;
καὶ πέντε στεφάνους, τῶν ῥοδίνων δ' ἀπόπαξ.
οὐ φὴς κέρματ' ἔχειν· διολώλαμεν. οὐ τροχιεῖ τις
τὸν Λαπίθην; λῃστὴν, οὐ θεράποντ' ἔχομεν.

XXV. 3. Vat. cod. ἀπάμυνον.

XXVII. 1. Cod. τῶν χαρίων. 2. Cod. τ. ρ. δὲ τόπαξ.

T.I. οὐκ ἀδικεῖς; οὐδέν· φέρε τὸν λόγον. ἐλθὲ λαβοῦσα,
    Φρύνη, τὰς ψήφους. ὢ μεγάλου κινάδους.
p. 217. πέντ' οἶνος δραχμῶν· ἄλλος δύο . . . . .
    ὦτα λέγεις. σκόμβροι θεοῦ μυκέες σχαδόνες.
αὔριον αὐτὰ καλῶς λογιούμεθα· νῦν δὲ πρὸς Αἴσχραν
    τὴν μυρόπωλιν ἰὼν, πέντε λάβ' ἀργυρέας.
εἰπὲ δὲ σημεῖον, Βακχῶν ὅτι πέντ' ἐφίλησα
    ἑξῆς, ὧν κλίνη μάρτυς ἐπεγράφετο.

XXVIII.

Εἰς ἀγορὰν βαδίσας, Δημήτριε, τρεῖς παρ' Ἀμύντου
    γλαυκίσκους αἴτει, καὶ δέκα φυκίδια,
καὶ κυφὰς καρίδας (ἀριθμήσει δέ σοι αὐτός)
    εἴκοσι καὶ τέτορας δεῦρο λαβὼν ἄπιθι.
καὶ παρὰ Θαυβορίου ῥοδίνους ἓξ πρόσλαβε [δεσμούς,]
    καὶ Τρυφέραν ταχέως ἐν παρόδῳ κάλεσον.

XXIX.

Πορφυρέην μάστιγα, καὶ ἡνία σιγαλόεντα
    Πλαγγὼν εὐίππων θῆκεν ἐπὶ προθύρων,
νικήσασα κέλητι Φιλαινίδα τὴν πολύχαρμον,
    ἑσπερίων πώλων ἄρτι φρυασσομένων.
Κύπρι φίλη, σὺ δὲ τῇδε πόροις νημερτέα νίκης
    δόξαν, ἀείμνηστον τήνδ' ἐπιθεῖσα χάριν.

XXX.

Λυσιδίκη σοι, Κύπρι, τὸν ἱππαστῆρα μύωπα,
    χρύσεον εὐκνήμου κέντρον ἔθηκε ποδός,

XXVII. 7. Scr. ἄλλος δ. 11. ἐφίλησεν ε. ὧν καινὴ μ.
XXVIII. 5. δεσμοὺς abeſt a cod.

ᾧ πολὺ ὕπτιον ἵππον ἐγύμνασεν, οὗ ποτε δ' αὐτῆς T. I.
μηρὸς ἐφοινίχθη κῦφα τιναστομένης·
ἦν γὰρ ἀκέντητος τελεόδρομος· οὕνεκεν ὅπλον
σοὶ κατὰ μεσσοπύλης χρύσεον ἐκρέμασε.

XXXI. p. 218.

Νικήσας τοὺς παῖδας, ἐπεὶ καλὰ γράμματ' ἔγραψε,
Κόνναρος ὀγδώκοντ' ἀστραγάλους ἔλαβε,
κἀμὲ, χάριν Μούσαις, τὸν κωμικὸν ὧδε Χάρητα
πρεσβύτην θορύβῳ θήκατο παιδαρίων.

XXXII.

Κύπριδος ἅδ' εἰκών· φέρ' ἰδώμεθα μὴ Βερενίκας.
διστάζω ποτέρᾳ φῇ τις ὁμοιοτέραν.

XXXIII.

Ε[illegible] Μέθη τὸ γλύμμα σοφῆς χερὸς, ἐν δ' ἀμεθύστῳ
γέγλυμμαι· τέχνης δ' ἡ λίθος ἀλλοτρίη.
ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ· ἐν γὰρ ἀνάσσης
χειρὶ θεὸν νήφειν καὶ μεθύουσαν ἔδει.

XXXIV.

Αὐταὶ ποιμαίνοντα μεσαμβρινὰ μῆλά σε Μοῦσαι
ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,
καί σοι καλλιπέτηλον, ἐρυσσάμεναι περὶ πᾶσαι,
ὤρεξαν δάφνας ἱερὸν ἀκρέμονα,
δῶκαν δὲ κράνας Ελικωνίδος ἔνθεον ὕδωρ,
τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ,

XXX. 3. Cod. πολὺν ὑ.
XXXIII. 1. Cod. ἀμεθύσῳ.

T. I. οὗ σὺ κορεσσάμενος, μακάρων γένος, ἔργα τε μολπαῖς
καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

XXXV.

Ὁ γλυκὺς Ἠρίννης οὗτος πόνος, οὐχὶ πολὺς μὲν,
ὡς ἂν παρθενικᾶς ἐννεακαιδεκέτευς,
p. 219. ἀλλ' ἑτέρων πολλῶν δυνατώτερος· εἰ δ' Ἀΐδας μοι
μὴ ταχὺς ἦλθε, τίς ἂν ταλίκον ἔσχ' ὄνομα;

XXXVI.

Λύδη καὶ γένος εἰμὶ καὶ οὔνομα· τῶν δ' ἀπὸ Κόδρου
σεμνοτέρη πασῶν εἰμὶ δι' Ἀντίμαχον.
τίς γάρ ἔμ' οὐκ ᾔεισε; τίς οὐκ ἀνελέξατο Λύδην,
τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

XXXVII.

Ἰω παρέρπων, μικρὸν, εἴ τι χαρτὸν, εἰσάκουσον,
τὰ Βότρυος περισσὰ δῆτα κήδη,
ὃς πρέσβυς ὀγδώκοντ' ἐτῶν τὸν ἐκ νέων ἔθαψεν,
ἤδη τι τέχνᾳ καὶ σοφὸν λέγοντα.
φεῦ τὸν τεκόντα, φεῦ δὲ καὶ σε, Βότρυος φίλος παῖ,
ὅσων ἄμοιρος ἡδονῶν ἀπώλου.

XXXVIII.

Ὀκτώ μευ πήχεις ἄπεχε τρηχεῖα θάλασσα,
καὶ κύμαινε βόα θ', ἡλίκα σοι δύναμις·
ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
κρήγυον, εὑρήσεις δ' ὀστέα καὶ σποδιήν.

XXXIX. T. I.

Ὦ παρ' ἐμὸν τείχων κενὸν ἠρίον, εἰπὸν ὁδῖτα,
εἰς Χίον εὖτ' ἂν ἵκῃ, πατρὶ Μελησαγόρῃ,
ὡς ἐμὲ μὲν καὶ νῆα καὶ ἐμπορίην κακὸς Εὖρος
ὤλεσεν, Εὐίππου δ' αὐτὸ λέλειπτ' ὄνομα.

ΛΕΩΝΙΔΑ p. 220.

ΤΑΡΑΝΤΙΝΟΥ.

I.

Μηλὼ καὶ Σατύρη τανυήλικες, Ἀντιγενείδεω
παῖδες, καὶ Μουσέων εὔκολοι ἐργάτιδες·
Μηλὼ μὲν Μούσαις Πιμπληΐσι τοὺς ταχυχειλεῖς
αὐλοὺς, καὶ ταύτην πύξινον αὐλοδόκην·
ἡ φίλερως Σατύρη δὲ τὸν ἔσπερον οἰνοποτήρων
σύγκωμον, κηρῷ τευξαμένη, δόνακα,
ἡδὺν συρικτῆρα, σὺν ᾧ πανεπόρφνιος ἠῶ
ηὔγασεν, αὐλείοις ἐγκροτέουσα θύραις.

II.

Εὐθύσανον ζώνην τοι ὁμοῦ καὶ τόνδε κύπασσιν
Ατθὶς παρθενίων θῆκεν ὕπερθε θυρῶν,
ἐκ τόκου, ὦ Λητῷα, βαρυνομένης ὅτι νηδὺν
ζωὸν ἀπ' ὠδίνων λύσαο τῆσδε βρέφος.

I. 2. Cod. παῖδές θ' αἱ M. Scr. π. ταὶ M.

T. I. III.

Ἐκ τόκου, Εἰλήθυια, πικρὰν ὠδῖνα φυγοῦσα
Ἀμβροσίη, κλεινῶν θήκατό σοι πρὸ ποδῶν
δέσμα κόμας καὶ πέπλον, ἐν ᾧ δεκάτῳ ἐπὶ μηνὶ
δισσὸν ἀπὸ ζώνης κῦμ' ἐλόχευσε τέκνων.

p. 221. IV.

Τέκτονος ἄρμενα ταῦτα Λεοντίχου, αἵ τε χαρακταὶ
ῥῖναι, καὶ κάλων οἱ ταχινοὶ τορέες,
στάθμαι καὶ μιλτεῖα, καὶ αἱ σχεδὸν ἀμφιπλῆγες
σφῦραι, καὶ μίλτῳ φυρόμενοι κανόνες,
αἵ τ' ἀρίδες, ξυστήρ τε, καὶ ἐστελεωμένος οὗτος
ἐμβριθὴς, τέχνας ὁ πρύτανις, πέλεκυς,
τρύπανά τ' εὐδίνητα, καὶ ὠκήεντα τέρετρα,
καὶ γόμφων οὗτοι τοὶ πίσυρες τορέες,
ἀμφίξουν τε σκέπαρνον· ἃ δὴ χαριέργῳ Ἀθάνᾳ
ὡνὴρ ἐκ τέχνας θήκατο παυόμενος.

V.

Τὸν ἀργυροῦν Ἔρωτα, καὶ περίσφυρον
πέζαν, τὸ πορφυροῦν τε Λεσβίδος κόμης
ἕλιγμα, καὶ μηλοῦχον ὑαλόχροα,
τὸ χάλκεόν τ' ἔσοπτρον, ἠδὲ τὸν πλατὺν
τριχῶν σαγηνευτῆρα, πύξινον κτένα,
ὧν ἤθελεν τυχοῦσα, Κτησία Κύπρι,
ἐν σαῖς τίθησι Καλλίκλεια παστάσι.

IV. 10. Cod. Ἀνὴρ ἐκ.

T. I.

VI.

Τὸν μόνιον καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας
σινόμενον, κλαγγᾶν τ' οὐχὶ τρέσαντα κυνῶν,
Εὐάλκης ὁ Κρὴς ἐπινύκτια μῆλα νομεύων
πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασε πίτυος.

VII.

Δίνδυμα καὶ Φρυγίης πυρικαίεος ἀμφιπολεῦσα
πρῶνας, τὴν μικρὴν, μῆτερ, Ἀριςοδίκην,
κούρην Σειλήνης, παμπότνια, κεὶς ὑμέναιον, p. 222.
κεὶς γάμον ἁβρύναις, πείρατα κουροσύνας,
ἀνθ' ὧν σοι καὶ πολλὰ προνήϊα, καὶ παρὰ βωμῶν
παρθενικὴν ἐτίναξ' ἔνθα καὶ ἔνθα κόμην.

VIII.

Αἱ Λυκομήδους παῖδες, Ἀθηνὼ, καὶ Μελίτεια,
καὶ Φιντὼ, Γληνίς θ', αἱ φιλοεργόταται,
ἔργων ἐκ δεκάτας ποτιθύμια τόν τε πρόσεργον
ἄτρακτον, καὶ τὰν ἄτρια κρινομέναν
κερκίδα, τὰν ἱςῶν μολπάτιδα, καὶ τὰ τροχαῖα
πανία, κἐργαςὰς τούσδε περιῤῥαγέας,
καὶ σπάθας ἐμβριθεῖς, πολυέργους, τῇδε πενιχραὶ
ἐξ ὀλίγων ὀλίγην μοῖραν ἀπαρχόμεθα.

IX.

Αὐτονόμα, Μελίτεια, Βοίσκιον, αἱ Φιλομήδευ
καὶ Νίκους Κρῆσσαι τρεῖς, ξένε, θυγατέρες·

VI. 1. Cod. τὸν νομίων κ.
VII. 5. Scr. παρὰ βωμόν.
VIII. 6. κερταςὰς τ. Cod. Vat. Fort. π. καὶ καλάθους τούσδε λυγοπλεκέας. 7. Cod. ε. πολυέργυρα.

T. I. ἁ μὲν τὸν μιτόεργον ἀειδίνητον ἄτρακτον,
ἁ δὲ τὸν ὀρφνίταν εἰροκόμον τάλαρον,
ἁ δ' ἅμα τὰν πέπλων εὐάτριον ἐργάτιν, ἱστῶν
κερκίδα, τὰν λεχέων Πανελόπας φύλακα,
δῶρον Ἀθαναίᾳ Πιτανάτιδι τᾷδ' ἐνὶ ναῷ
θῆκαν, Ἀθαναίας παυσάμεναι καμάτων.
ὧν χέρας αἲ σὺ, Ἀθάνα, ἐπιπλήσαις, ἐσσαίεσσα
θείης δ' εὐσιπύους ἐξ ὀλιγησιπύων.

X.

Ο σκίπων καὶ ταῦτα τὰ βλαύτια, πότνια Κύπρι,
ἄγκειται κυνικοῦ σκῦλα Ποσωχάρεος,
p. 223. ὄλπη τε ῥυπόεσσα, πολυτρήτοιό τε πήρας
λείψανον, ἀρχαίης πληθόμενον σοφίης·
σοὶ δὲ Ῥόδων ὁ καλὸς, τὸν πάνσοφον ἡνίκα πρέσβυν
ἤγρευσεν, στεπτοῖς θῆκατ' ἐπὶ προθύροις.

XI.

Πήρην, κἀδέψητον ἀπεσκληρυμμένον αἰγὸς
τέρφος, καὶ βάκτρον τοῦτο τὸ λοιπόρινον,
ὄλπαν τ' ἀστλέγγιστον, ἀχάλκωτόν τε κυνοῦχον,
καὶ πῖλον κεφαλᾶς οὐχ' ὁσίας σκέπανον·
ταῦτα καταφθιμένοιο μυριλίνεον περὶ θάμνον
σκῦλα Ποσωχάρεος Λιμὸς ἀπεκρέμασεν.

IX. 9. χ' ὧν χ. αἲ σοι Ἀ. ἐπιπλήσαιο μὲν ἴσως θ. δ' εὐσυπύας. e. o. Cod. in quo hoc diſtichon non ultimum eſt, ſed penultimum.

XII. T. I.

Ἀστεμφῆ ποδάγρην, καὶ δούνακας αἰθυκτῆρας,
καὶ λίνα, καὶ γυρὸν τοῦτο λαγωοβόλον,
ἰοδόκην, καὶ τοῦτον ἐπ' ὄρτυγι τετρανθέντα
αὐλὸν, καὶ πλωτῶν εὐπλεκὲς ἀμφιβόλον
Ερμείῃ Σώσιππος, ἐπεὶ παρενήξατο τὸν πλοῦν
ἥβης, ἐκ γήρως δ' ἀδρανίῃ δέδεται.

XIII.

Λαθρίη, ἐκ πενίης ταύτην χάριν, ἔκ τε πενέστεω
χὴξ ὀλιγησιπύω δέξο Λεωνίδεω,
ψαιστά τε πιήεντα καὶ εὐθήσαυρον ἐλαίαν,
καὶ τοῦτο χλωρὸν σῦκον ἀποκράδιον,
κεὐοίνου σταφυλῆς ἔχ' ἀποσπάδα πεντάῤῥαγον,
πότνια, καὶ σπονδὴν τήνδ' ὑποπυθμίδιον.
ἢν δ' ἐμέ γ', ὡς ἐκ νούσου ἀνειρύσω, ὧδε καὶ ἐχθρᾶς
ἐκ πενίης ῥύσῃ, δέξο χιμαιροθύτην.

XIV. p. 224.

Λαβροσύνᾳ τάδε δῶρα, φιλευλείχῳ τε Λαφυγμῷ
θήκατο Δηϊσόου Δωριέως κεφαλὰ,
τὼς Λαρισσαίως κυογάστορας ἑψητῆρας,
καὶ χύτρως, καὶ τὰν εὐρυχαδῆ κύλικα,
καὶ τὰν εὐχάλκωτον εὔγναμπτόν τε κρεάγραν,
καὶ κνῆστιν, καὶ τὰν ἐτνοδόνον τορύναν.

XII. 5. Cod. τὸ πλεῦν.
XIII. 1. Cod. Ἐκ πλάνης. 2. Cod. ὀλιγησιπύου δ. 4. Cod. ἀποκρίδιον.
XIV. 6. Cod. ἐτνοδόκον.

Υ. I. Λαβροσύνα, σὺ δὲ ταῦτα κακῶ κακὰ δωρητῆρος
δεξαμένα, νεύσαις μή ποκα σαφροσύναν.

XV.

Α μάτηρ ζωὰν τὸν Μίκυθον, οἷα πενιχρὰ,
Βάκχῳ δωρεῖται, ῥωπικὰ γραψαμένα.
Βάκχε, σὺ δ' ὑψώσης τὸν Μίκυθον· εἰ δὲ τὸ δῶρον
ῥωπικὸν, ἁ λιτὰ ταῦτα φέρει πενία.

XVI.

Υλοφόρε τόδ' ἄγαλμα, ὁδοιπόρε, Μικκαλίωνος·
ἀλλ' ἴδε τόνδ' Ἑρμῆς κρήγυον ὑλοφόρον,
ὡς ἀπ' ὀϊζυρῆς ἠπίςατο δωροδοκῆσαι
ἐργασίης· αἰὲν δ' ὡ 'γαθὸς ἐς' ἀγαθός.

XVII.

Εὐάγρει λαγόθηρα, καὶ εἰ πετεηνὰ διώκων
ἰξευτὴς ἥκεις τῶθ' ὑπὸ δισσὸν ὄρος,
κἀμὲ τὸν ὑληωρὸν ἀπὸ κρημνοῖο βόασον
Πᾶνα· συναγρεύσω καὶ κυσὶ καὶ καλάμοις.

p. 225. XVIII.

Γλευκοπόταις Σατύροισι, καὶ ἀμπελοφύτορι Βάκχῳ
Ἡρῶναξ πρώτης δράγματα φυταλιῆς,
τρισσῶν οἰνοπέδων τρισσὰς ἱερώσατο τούσδε,
ἐμπλήσας οἴνε πρωτοχύτοιο, κάδες·
ὧν ἡμεῖς σπείσαντες, ὅσον θέμις, οἴνοπι Βάκχῳ
καὶ Σατύροις, Σατύρων πλείονα πιόμεθα.

XVIII. 2. Recte ap. Suid. πρῶτα δ.

XIX.

T. I.

Οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι,
ἀγρότα Πὰν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης.
ὃς μὲν ἀπὸ πτηνῶν, Πίγρης τάδε· ταῦτα δὲ Δᾶμις,
τετραπόδων· Κλείτωρ δ' ὁ τρίτος, εἰναλίων.
ἀνθ' ὧν τῷ μὲν πέμπε δι' ἠέρος εὔστοχον ἄγρην·
τῷ δὲ, διὰ δρυμῶν· τῷ δὲ, δι' ἠϊόνων.

XX.

Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς
καὶ σπιθάμης ὅλης Βίττιον εἰργάσατο·
θάτερα δ' Ἀντιάνειρα προσήρμοσε· τὸν δὲ μεταξὺ
Μαίανδρον καὶ τὰς παρθενικὰς, Βιτίη.
κουρᾶν καλλίστη Διὸς, Ἄρτεμι, τοῦτο τὸ νῆμα
πρὸς ψυχῆς θείης, τὴν τριπόνητον ἔριν.

XXI.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασε Γαλατᾶν,
πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα·
αἰχμηταὶ καὶ νῦν, καὶ πάρος Αἰακίδαι.

XXII.

p. 226.

Αἵδε ποτ' Ἀσίδα γαῖαν ἐπόρθησαν πολύχρυσον,
αἵδε καὶ Ἑλλάδι τὰν δουλοσύναν ἔπορον·
νῦν δὲ Διὸς ναῶ ποτὶ κίονας ὀρφανὰ κεῖται,
τᾶς μεγαλαυχήτου σκῦλα Μακηδονίας.

XXIII.

Ὀκτώ τοι θυρεοὺς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς
θώρηκας, τόσσας θ' αἱμαλέας κοπίδας,

T.I. ταῦτ' ἀπὸ Λευκανῶν Κορυφασίᾳ ἔντε' Ἀθάνᾳ
Ἄγνων Οἰανθεὺς θῆχ' ὁ βιαιομάχας.

XXIV.

Οἵδ' ἀπὸ Λευκανῶν θυρεάσπιδες, οἵ τε χαλινοὶ
στοιχηδὸν, ξεσταί τ' ἀμφίβολοι κάμακες
δέδμηνται, ποθέουσαι ὁμῶς ἵππους τε καὶ ἄνδρας,
Παλλάδι· τοὺς δ' ὁ μέλας ἀμφέχανεν θάνατος.

XXV.

Εὐκαμπὲς ἄγκιστρον, καὶ δούρατα δουλιχόεντα,
χὠρμιὴν, καὶ τὰς ἰχθυδόκους σπυρίδας,
καὶ τοῦτον νηκτοῖσιν ἐπ' ἰχθύσι τεχνασθέντα
κύρτον, ἁλιπλάγκτων ἅρμενα δικτυβόλων,
τρηχύν τε τριόδοντα, Ποσειδαώνιον ἔγχος,
καὶ τοὺς ἐξ ἀκάτων διχθαδίους ἐρετμοὺς
ὁ γριπεὺς Διόφαντος ἀνάκτορι θήκατο τέχνης,
ὡς θέμις, ἀρχαίης λείψανα τεχνοσύνης.

XXVI.

Ἀμφοτέραις παρ' ὁδοῖσι φύλαξ ἕστηκα Πρίηπος
ἰθυτενὲς μηρῶν ὀρθιάσας ῥόπαλον·
εἵσατο γάρ πιστόν με Θεόκριτος. ἀλλ' ἀποτηλοῦ
φὼρ ἴθι, μὴ κλαύσῃς τὴν φλέβα δεξάμενος.

p. 227. XXVII.

Τᾶν αἰγᾶν ὁ νομεὺς Μόριχος τὸν ἐπίσκοπον Ἑρμᾶν
ἔστασ' αἰπολίων εὐδόκιμον φύλακα.
ἀλλά μοι αἵ τ' ἀν' ὄρη χλωρᾶς κεκορεσμέναι ὕλας,
τῶν ἀρπακτήρων μή τι μέλεσθε λύκων.

XXV. 7. Cod. Vat. τέχνας. ἀρχαίας. τεχνοσύνας.

XXVIII.

T. I.

Θῆρις ὁ δαιδαλόχειρ τᾷ Παλλάδι πῆχυν ἀκαμπῆ,
καὶ τετανὸν, νώτῳ καμπτόμενον, πρίονα,
καὶ πέλεκυν, ῥυκάναν τ' εὐαγέα, καὶ περιαγὲς
τρύπανον, ἐκ τέχνας ἄνθετο παυσάμενος.

XXIX.

Ὦ τάνδε στείχοντες ἀταρπιτὸν, αἴτε ποτ' ἀγροὺς
δαμόθεν, αἴτ' ἀπ' ἀγρῶν νεῖσθε ποτ' ἀκρόπολιν,
ἄμμες ὅρων φύλακες, δισσοὶ θεοὶ, ὧν ὁ μὲν, Ἑρμᾶς,
οἷον ὁρῇς μ', οὗτος δ' ἅτερος, Ἡρακλέης.
ἄμφω μὲν θνατοῖς εὐάκοοι, ἀλλὰ ποθ' αὐτοὺς
αἴκ' ὠμὰς παραθῇς ἀχράδας, ἐγκέκαφεν·
ναὶ μὰν ὡσαύτως τὼς βότρυας, αἴτε πέλονται
ὥριμοι, αἴτε χύδαν ὄμφακες, εὐτρέπικεν.
μισέω τὰν μετοχὰν, οὐδ' ἥδομαι· ἀλλ' ὁ φέρων τι,
ἄμφω, μὴ κοινᾷ, τοῖς δυσὶ παρτιθέτω,
καὶ λεγέτω· τῇ τοῦθ', Ἡράκλεες· ἄλλο τὸ τοῦτο, p. 228.
Ἑρμᾶ· καὶ λύοι τὰν ἔριν ἀμφοτέρων.

XXX.

Ἀγρονόμῳ τάδε Πανὶ, καὶ εὐαστῆρι Λυαίῳ
πρέσβυς, καὶ Νύμφαις Ἀρκὰς ἔθηκε Βίτων.
Πανὶ μὲν ἀρτίτοκον χίμαρον συμπαίκτορα ματρὸς,
κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος,
Νύμφαις δὲ σκιερᾶς εὐποίκιλον ἄνθος ὀπώρας,
φύλλα τε πεπταμένων αἱματόεντα ῥόδων.
ἀνθ' ὧν εὔυδρον, Νύμφαι, τόδε δῶμα γέροντος
αὔξετε· Πὰν, γλαγερόν· Βάκχε, πολυστάφυλον.

T. I.

XXXI.

Ὁ Κρὴς Θηρίμαχος τὰ λαγωβόλα Πανὶ Λυκαίῳ
ταῦτα πρὸς Ἀρκαδικοῖς ἐκρέμασε σκοπέλοις.
ἀλλὰ σὺ Θηριμάχῳ δώρων χάριν, ἀγρότα δαῖμον,
χεῖρα κατιθύνοις τοξότιν ἐν πολέμῳ,
ἔν τε συναγκείαισι παρίστασο, δεξιτερῇ σῇ
πρῶτα διδοὺς ἄγρης δῶρα κατ' ἀντιπάλων.

XXXII.

Τὰν ἔλαφον Κλείδαμος ὑπὸ κναμοῖσι λοχήσας,
ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ,
θηκτῷ σαυρωτῆρι· τὰ δ' ὀκτάῤῥιζα μετώπων
φράγμαθ' ὑπὲρ κραναὰν ἄλλος ἔπαξε πίτυν.

XXXIII.

Εὔφημόν τοι σφαῖραν, ἐϋκρόταλόν τε Φιλοκλῆς
Ἑρμείῃ ταύτην πυξινέην πλατάγην,
p. 229. ἀστραγάλους θ' οἷς πόλλ' ἐπεμήνατο, καὶ τὸν ἑλικτὸν
ῥόμβον, κουροσύνης παίγνι' ἀνεκρέμασεν.

XXXIV.

Τοῦτο χιμαιροβάτᾳ Τελέσων αἰγώνυχι Πανὶ
τὸ σκύλος ἀγρείης τεῖνε κατὰ πλατάνου,
καὶ τὰν ῥαιβόκρανον ἐϋστόρθυγγα κορύναν,
ᾇ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους,
γαυλούς τε γλαγοπῆγας, ἀγωγαῖόν τε κυνάγχαν,
καὶ τῶν εὐρίνων λαιμοπέδαν σκυλάκων.

XXXIV, 6. Scr. καὶ τὰν εὐρ.

XXXV.

T. I.

Αὔλια, καὶ Νυμφέων ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ
  πίδακες, ἥ θ' ὕδασιν γειτονέουσα πίτυς,
καὶ σὺ τετράγλωχιν, μηλοσσόε, Μαιάδος Ἑρμῆ,
  ὅς τε τὸν αἰγιβότην Πὰν κατέχεις σκόπελον,
ἵλαοι τὰ ψαιστά, τό τε σκύφος ἔμπλεον οἴνης
  δέξασθ', Αἰακίδεω δῶρα Νεοπτολέμου.

XXXVI.

Αὐτοῦ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
  ἔστησεν λαχάνων Δεινομένης φύλακα.
ἀλλ' ὡς ἐντέταμαι, φώρ, ἔμβλεπε. τοῦτο δ', ἐρωτᾷς,
  τῶν ὀλίγων λαχάνων εἵνεκα; τῶν ὀλίγων.

XXXVII.

Πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ
  θάεο, δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,
ὡς ὁ γέρων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκὼς
  ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν·
δισσῶν δ' ἀρβυλίδων τὰν μὲν μίαν, οἷα μεθυπλήξ, p. 230.
  ὤλεσεν· ἐν δ' ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα.
μέλπει δ' ἠὲ Βάθυλλον ἐφίμερον, ἠὲ Μεγιστέα,
  αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν.
ἀλλὰ πάτερ Διόνυσε, φύλασσέ μιν· οὐ γὰρ ἔοικεν
  ἐκ Βάκχου πίπτειν Βακχιακὸν θέραπα.

XXXVIII.

Ἴδ' ὡς ὁ πρέσβυς ἐκ μέθας Ἀνακρέων
  ὑποσκέλισται, καὶ τὸ λῶπος ἕλκεται

XXXV. 2. Recte Suid. ed. pr. ὕδασι.

T. I. ἰσάχρι γυίων· τῶν δὲ βλαυτίων τὸ μὲν
ὅμως φυλάσσει, θἄτερον δ' ἀπώλεσεν.
μελίσδεται δὲ τὰν χέλυν διακρέκων
ἤτοι Βάθυλλον, ἢ καλὸν Μεγιστέα.
φύλασσε, Βάκχε, τὸν γέροντα, μὴ πέσῃ.

XXXIX.

Μὴ σύ γ' ἐπ' οἰονόμοιο περιπλέον ἰλύος ὧδε
τοῦτο χαραδραίης θερμὸν, ὁδῖτα, πίῃς·
ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλήβοτον ἄκραν,
κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ,
εὑρήσεις κελαρύζον ἐϋκρήνου διὰ πέτρης
νᾶμα, Βορειαίης ψυχρότερον νιφάδος.

XL.

Θεσπιέες τὸν Ἔρωτα μόνον θεὸν ἐκ Κυθερείης
ἅζοντ', οὐχ ἑτέρου γραπτὸν ἀπ' ἀρχετύπου,
ἀλλ' ὃν Πραξιτέλης ἔγνω θεὸν, ὃν περὶ Φρύνῃ
δερκόμενος, σφετέρων λύτρον ἔδωκε πόθων.

p. 231. XLI.

Τὰν ἐκφυγοῦσαν ματρὸς ἐκ κόλπων ἔτι,
ἀφρῷ τε μορμύρουσαν εὐλεχῆ Κύπριν
ἰδὼν Ἀπελλῆς, κάλλος ἱμερώτατον,
οὐ γραπτὸν, ἀλλ' ἔμψυχον ἐξεμάξατο.
εὖ μὲν γὰρ ἄκραις χερσὶν ἐκθλίβει κόμαν,
εὖ δ' ὀμμάτων γαληνὸς ἐκλάμπει πόθος,
καὶ μαζὸς, ἀκμῆς ἄγγελος, κυδωνιᾷ.

XL. 3. Scr. ὃν περὶ Φρύνης αἰθόμενος.
XLI. 1. Fort. πλημμύρουσαν.

αὐτὰ δ' Ἀθάνα, καὶ Διὸς συνευνέτις T.I.
φάσκειν· ὦ Ζεῦ, λειπόμεσθα τῇ κρίσει.

XLII.

Εἰς τὴν Μύρωνος βοῦν.

Οὐκ ἔπλασέν με Μύρων, ἐψεύσατο· βοσκομέναν δὲ
ἐξ ἀγέλας ἐλάσας, δῆσε βάσει λιθίνᾳ.

XLIII.

Τοξοβόλον τὸν Ἔρωτα τίς ἔξεσεν ἐκ λιβανωτοῦ,
τὸν ποτὲ μηδ' αὐτοῦ Ζηνὸς ἀποσχόμενον;
ὀψὲ ποθ' Ἡφαίστῳ κεῖται σκοπὸς, ὃν καθορᾶσθαι
ἔπρεπεν οὐκ ἄλλως, ἢ πυρὶ τυφόμενον.

XLIV.

Μὴ μέμψῃ μ' ἀπέπειρον καὶ θάλλουσαν ὀπώρην
ἀχράδα, τὴν καρποῖς πάντοτε βριθομένην.
ὁππόσα γὰρ κλάδοισι πεπαίνομαι, ἄλλος ἀφέλκει·
ὁππόσα δ' ὠμὰ μένει, μητρὶ περικρέμαται.

XLV. p.232

Τὸν φιλοπωριστὴν Δημόκριτον ἤν που ἀφεύρῃς,
ὤνθρωπ', ἄγγειλον τοῦτο τὸ κοῦφον ἔπος,
ὡς ἡ λευκόπωρος ἐγὼ καὶ ἐφώριος ἤδη
κείνῳ συκοφορῶ τὰς ἀπύρους ἀκόλους·
στευσάτω, οὐκ ὀχυρὴν γὰρ ἔχω στάσιν, εἴπερ ὀπώρην
ἀχράντου χρῄζει δρέψαι ἀπ' ἀκρέμονος.

XLVI.

Αὐτοθελὴς καρποὺς ἀποτέμνομαι, ἀλλὰ πεπείρους
πάντοτε· μὴ σκληροῖς τύπτε με χερμαδίοις.

T. I. μηνίσει καὶ Βάκχος ἐνυβρίζοντι τὰ κείνου
ἔργα· Λυκούργειος μὴ λαθέτω σε τύχη.

XLVII.

Οὐκ ἐμὰ ταῦτα λάφυρα· τίς ὁ θριγκοῖσιν ἀνάψας
Αρηος ταύταν τὰν ἄχαριν χάριτα;
ἄκλαστοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γανῶσαι
ἀσπίδες, ἄκλαστοι δ' αἱ κλαδαραὶ κάμακες.
αἰδοῖ πάντα πρόσωπ' ἐρυθαίνομαι, ἐκ δὲ μετώπου
ἱδρὼς πιδύων στῆθος ἐπισταλάει.
παστάδα τις τοιοῖσδε, καὶ ἀνδρειῶνα, καὶ αὐλὰν
κοσμείτω, καὶ τὸν νυμφίδιον θάλαμον·
Αρευς δ' αἱματόεντα διωξίπποιο λάφυρα
νηὸν κοσμοίη· τοῖς γὰρ ἀρεσκόμεθα.

XLVIII.

Τὴν μικρήν με λέγουσι, καὶ οὐκ ἴσα ποντοπορεύσαις
νουσὶ διιθύνειν ἄτρομον εὔπλοΐην·
p. 233. οὐκ ἀπόφημι δ' ἐγώ. βραχὺ μὲν σκάφος· ἀλλὰ θαλάσσῃ
πᾶν ἴσον· οὐ μέτρων ἡ κρίσις, ἀλλὰ τύχης.
ἔστω πηδαλίοις ἑτέρῃ πλέον· ἄλλο γὰρ ἄλλῃ
θάρσος· ἐγὼ δ' εἴην δαίμοσι σωζομένη.

XLIX.

Αστρα μὲν ἠμαύρωσε καὶ ἱερὰ κύκλα σελήνης
ἄξονα δινήσας ἔμπυρος ἠέλιος·
ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ομηρος,
λαμπρότατον Μουσῶν φέγγος ἀνασχόμενος.

L. T. I.

Εἶπέ ποκ' Εὐρώτας ποττὰν Κύπριν· ἢ λάβε τεύχη,
ἢ 'ξιθι τᾶς Σπάρτας, ἁ πόλις ὁπλομανεῖ.
ἁ δ' ἁπαλὸν γελάσασα, καὶ ἔσσομαι αἰὲν ἀτευχής,
εἶπε, καὶ οἰκήσω τὰν Λακεδαιμονίαν.
χἁ μὲν Κύπρις ἄνοπλος· ἀναιδέες οἱ δὲ λέγουσιν
ἵστορες, ὡς ἁμῖν χἁ θεὸς ὁπλοφορεῖ.

LI.

Πυρσοῦ τοῦτο λέοντος ἀπεφλοιώσατο δέρμα
Σῶσος ὁ βουπαλίων, δουρὶ φονευσάμενος,
ἄρτι καταβρύκοντα τὸν εὐθηλήμονα μόσχον,
οὐδ' ἵκετ' ἐκ μάνδρας αὖτις ἐπὶ ξυλόχους.
μοσχείου δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα,
βληθείς· ἀχθεινὰν δ' οἶδε βοοκτασίαν.

LII.

Οὐκ ἀδικῶ τὸν Ἔρωτα, γλυκύς· μαρτύρομαι αὐτὴν
Κύπριν, βέβλημαι δ' ἐκ δολίου κέραος,
καὶ πᾶς τεφροῦμαι· θερμὸν δ' ἐπὶ θερμῷ ἰάλλει p. 234
ἄτρακτον, λωφᾷ δ' οὐδ' ὅσον ἰοβολῶν.
χὼ θνητὸς τὸν ἀλιτρὸν ἐσώκει· θνητὸς ὁ δαίμων;
τίσομαι· ἐγκλήμων δ' ἔσσομ' ἀλεξάμενος.

LI. 3. verba εὐθ. μόσχον. deſunt in Planud. et cod. Vat. v. Suid. voc. βρύκοντα. 6. duo cod. reg. οἶδε, Suid. εἶδε.

LII. 5. 6. Scr. καὶ θ. τ. α. ε. δαίμον' ἀλέξειν, τισαίμαν. τί πλέον ἔσσετ' ἀλευομένῳ.

T. I. LIII.

Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται,
καὶ Σκυθικῶν τόξων ἀκροβολεῦς ἀκίδας,
φεύξομ', Ἔρως, ὑπὸ γᾶν σε. τί δὲ πλέον; οὐδὲ γὰρ αὐτὸς
σὰν ἔφυγε ῥώμαν πανδαμάτωρ Ἀΐδας.

LIV.

Τοῦτο τὸ τοῦ Κλείτωνος ἐπαύλιον, ἥ τ' ὀλιγῶλαξ
σπείρεσθαι, λιτὸς δ' ὁ σχεδὸν ἀμπελεών,
τοῦτό τε ῥωπεῖον ὀλιγόξυλον· ἀλλ' ἐπὶ τούτοις
Κλείτων ὀγδώκοντ' ἐξεπέρησ' ἔτεα.

LV.

Μὴ φθείρευ, ὤνθρωπε, περιπλάνιον βίον ἕλκων,
ἄλλην ἐξ ἄλλης εἰς χθόν' ἀλινδόμενος,
μὴ φθείρευ. κενεή σε περιστέψαιτο καλιή,
ἣν θάλποι μικκὸν πῦρ ἀνακαιόμενον,
εἰ καί σοι λιτή γε καὶ οὐκ εὐάλφιτος εἴη
φύστη ἐνὶ γρώνῃ μασσομένη παλάμαις,
εἰ καί σοι γλήχων, ἢ καὶ θύμον, ἢ καὶ ὁ πικρὸς
ἀδυμιγὴς εἴη χόνδρος ἐποψίδιος.

LVI.

Εὐμάραθον πρηῶνα καὶ εὐσκάνδικα λελογχὼς
Ἑρμῆ, καὶ ταύταν, ὦ φίλος, αἰγίβοσιν,
p. 235. καὶ λαχανηλόγῳ ἔσσο καὶ αἰγινομῆϊ προσηνής·
ἕξεις καὶ λαχάνων καὶ γλάγεος μερίδα.

LVII.

Ὁ πλόος ὡραῖος· καὶ γὰρ λαλαγεῦσα χελιδὼν
ἤδη μέμβλωκεν, χὠ χαρίεις Ζέφυρος·

λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκεν δὲ θάλασσα T.I.
κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
ἀγκύρας ἀνέλοιο, καὶ ἐκλύσαιο γύαια,
ναυτίλε, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην.
ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι, ὁ λιμενίτας,
ὤνθρωφ', ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην.

LVIII.

Πέτρης ἐκ δισσῆς ψυχρὸν καταπάλμενον ὕδωρ,
χαίροις, καὶ Νυμφέων ποιμενικὰ ξόανα,
πέτραι τε κρηνέων, καὶ ἐν ὕδασι κόσμια ταῦτα
ὑμέων, ὦ κοῦραι, μυρία τεγγόμεναι,
χαίρετ'. Ἀριστοκλέης δέ σ', ὁδοιπόρε, ᾧπερ ἀπῶσα
δίψαν βαψάμενος, τοῦτο δίδωμι κέρας.

LIX.

Αΐδεω λυπηρὲ διηκόνε, τοῦτ' Ἀχέροντος
ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
δέξαι μ', εἰ καί σοι μέγα βρίθεται ὀκρυόεσσα
βᾶρις ἀποφθιμένων, τὸν κύνα Διογένην.
ὄλπη μοι καὶ πήρα ἐφόλκια, καὶ τὸ παλαιὸν
ἕσθος, χὠ φθιμένους ναυστολέων ὀβολός.
πάνθ' ὅσα κὴν ζωοῖς ἐπεπάμεθα, ταῦτα παρ' Ἀΐδαν
ἔρχομ' ἔχων· λείπω δ' οὐδὲν ὑπ' ἠελίῳ.

LX. p. 236.

Οὐ μόνον ὑψηλοῖς ὑπὸ δένδρεσιν οἶδα καθίζων
ἀείδειν, ζαθερεῖ καύματι θαλπόμενος,

LVIII. 5. Cod. χ. Ἀριστοκλέη σε δ' ὁδοιπόρος.
LIX. 4. Scr. β. ὑπὸ φθιμ. Praec. verſ. ſcr. ex Suida: ὁ κρυόεσσα.

Τ. Ι. προίκιος ἀνθρώποισι κελευθήτῃσιν ἀοιδὸς,
θηλείης ἔρσης ἰκμάδα γευόμενος·
ἀλλὰ καὶ εὐπήληκος Αθηναίης ἐπὶ δουρὶ
τὸν τέττιγ' ὄψει μ', ὦ 'νερ, ἐφεζόμενον.
ὅσσον γὰρ Μούσαις ἐτέργμεθα, τόσσον Αθήνη
ἐξ ἡμέων· ἡ γὰρ παρθένος αὐλοθετεῖ.

LXI.

Ιξαλος εὐπώγων αἰγὸς πόσις ἔν ποτ' ἀλωῇ
οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους.
τῷ δ' ἔπος ἐκ γαίης τόσον ἄπυε· κεῖρε, κάκιστε,
γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον·
ῥίζα γὰρ ἔμπεδος οὖσα πάλιν γλυκὺ νέκταρ ἀνήσει,
ὅσσον ἐπισπεῖσαί σοι, τράγε, θυομένῳ.

LXII.

Ολκάδα πῦρ μ' ἀνέφλεξε, τόσην ἅλα μετρήσασαν,
ἐν χθονὶ, τῇ πεύκας εἰς ἐμὲ κειραμένῃ,
ἥν πέλαγος διέσωσεν ἐπ' ᾐόνος· ἀλλὰ θαλάσσης
τὴν ἐμὲ γειναμένην εὗρον ἀπιστοτέρην.

LXIII.

Εὔθυμος ὢν ἔρεσσε τὴν ἐπ' Αΐδος
ἀταρπὸν ἕρπων· οὐ γάρ ἐστι δύσβατος,
οὐδὲ σκαληνὸς, οὐδενὸς πλέως πλάνης,
ἰθεῖα δὴ μάλιστα, καὶ κατακλινὴς
ἅπασα, κηκμεμυκότων ὁδεύεται.

LXIV.

p. 237. Εσθλὸς Αριστοκράτης, ὅτ' ἀπέπλεεν εἰς Αχέροντα,
εἶπ' ὀλιγοχρονίης ἁψάμενος κεφαλῆς·

παίδων τις μνήσαιτο, καὶ ἐδνώσαιτο γυναῖκα, T. I.
εἰ καί μιν δάκνει δυσβίοτος πενίη.
ζωὴν συλήσαιτο· κακὸν δ᾽ ἄστυλος ἰδέσθαι
οἶκος· ὁ δ᾽ αὖ λῷστος πάντρος ἐσχαρεὼν
εὐκίων φαίνοιτο, καὶ ἐν πολυκαέϊ ὄγκῳ
ἐνστῇ, αὐγάζων φαλὸν ἐπεσχάριον.
ᾔδει Ἀριστοκράτης τὸ κρήγυον· ἀλλὰ γυναικῶν,
ὤνθρωπ᾽, ἤχθαιρε τὴν ἀλιτοφροσύνην.

LXV.

Εἰ καὶ μικρὸς ἰδεῖν καὶ ἐπώδειος, ὦ παροδῖτα,
λᾶας ὁ τυμβίτης ἄμμιν ἐπικρέμαται,
αἰνοίης, ὤνθρωπε, Φιλαινίδα· τὴν γὰρ ἀοιδὸν
ἀκρίδα, τὴν οὖσαν τοπρὶν ἀκανθοβάτιν,
δισσοὺς ἐς λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν,
καὶ θέτ᾽ ἐφ᾽ ὑπνιδίῳ χηραμένη πατάγῳ·
καί μ᾽ οὐδὲ φθιμένην ἀπανήνατο· τοῦτο δ᾽ ἐφ᾽ ἡμῖν
τοὐλίγον ὤρθωσε σᾶμα πολυστροφίης.

LXVI.

Μνήμην Εὐβούλοιο σαόφρονος, ὦ παριόντες,
πίνωμεν· κοινὸς πᾶσι λιμὴν Ἀΐδης.

LXVII.

Τίς ποτ᾽ ἄρ᾽, ἢ τίνος ἆρα παρὰ τρίβον ὀστέα ταῦτα,
τλῆμον, ἐν ἡμιφαεῖ λάρνακι γυμνὰ μένει;
μνῆμα δὲ καὶ τάφος αἰὲν, ἁμαξεύοντος ὁδίτεω, p. 238.
ἄξονι καὶ τροχιῇ λιτὰ παραξέεται·

LXIV. 7. Scr. καὶ ἢν π.
LXV. 6. Cod, ἐφυμνιδίῳ χρυσαμένην π, correctum χηραμένην.

V. 1. ἤδη σου καὶ πλευρὰ παρατρίψουσιν ἄμαξαι,
σχέτλιε, σοὶ δ' οὐδεὶς οὐδ' ἐπὶ δάκρυ βαλεῖ.

LXVIII.

Εἰς ἀνωνύμου τινὸς τάφον ἐν ὁδῷ κείμενον καὶ παρὰ τῶν ὁδιτῶν καταπατούμενον.

Ἤδη μευ τέτριπται ὑπεκκεκαλυμμένον ὀστεῦν,
ἁρμονίη τ', ὦ 'νερ, πλὰξ ἐπικεκλιμένη·
ἤδη καὶ σκώληκες ὑπὲκ σοροῦ αὐγάζονται
ἡμετέρης. τί πλέον γῆν ἐπιεννύμεθα;
ἦ γὰρ τὴν οὔπω πάρος ἀτραπὸν ἐτμήξαντο
ἄνθρωποι, κατ' ἐμῆς νισσόμενοι κεφαλῆς.
ἀλλὰ πρὸς ἐγγαίων, Ἀϊδωνέος, Ἑρμεία τε,
καὶ Νυκτὸς, ταύτης ἐκτὸς ἴτ' ἀτραπιτοῦ.

LXIX.

Αὕτα ἐπὶ Κρήθωνος ἐγὼ λίθος, οὔνομα κείνου
δηλοῦσα· Κρήθων δ' ἐν χθονίοις σποδιά.
ὁ πρὶν καὶ Γύγῃ παρισεύμενος ὄλβον, ὁ τοπρὶν
βουπάμων, ὁ πρὶν πλούσιος αἰπολίοις,
ὁ πρὶν . . . τί πλείω μυθεῦμαι; ὁ πᾶσι μακαρτὸς,
φεῦ, τόσσης γαίης οὔσσον ἔχει μόριον.

LXX.

Μυρίος ἦν, ἄνθρωπε, χρόνος προτοῦ, ἄχρι πρὸς ἠῶ
ἦλθες, χὠ λοιπὸς μυρίος εἰς Ἀΐδην.
τίς μοῖρα ζωῆς ὑπολείπεται, ἢ ὅσον ὅσσον
στιγμὴ, καὶ στιγμῆς εἴ τι χαμηλότερον;

LXIX. 1, 2. Scr. ex cod. Plan. Κρήθωνος et Κρήθων.

μικρή σευ ζωὴ τεθλιμμένη· ὐδὲ γὰρ αὐτὴ T.I.p.239.
ἡδεῖ', ἀλλ' ἐχθρῦ στυγνοτέρη θανάτυ.
χειμέριον ζωὴν ὑπαλεύεο, νεῖο δ' ἐς ὅρμον,
ὡς κἠγὼ Φείδων ὁ Κρίτυ, εἰς Ἀΐδην.

LXXI.

α Τίς, τίνος ἐσσα, γύναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
β Πρηξὼ Καλλιτέλευς. α καὶ ποδαπή; β Σαμίη.
α τίς δέ σε καὶ κτερέϊξε; β Θεόκριτος, ᾧ με γονῆες
ἐξέδοσαν. α θνήσκεις δ' ἐκ τίνος; β ἐκ τοκετῦ.
α εὖσα πόσων ἐτέων; β δύο κεἴκοσιν. α ἦ ῥά γ' ἄτεκνος;
β ὔκ· ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
α ζώοι σοι κεῖνός γε, καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
β καὶ σοὶ, ξεῖνε, πόροι πάντα Τύχη τὰ καλά.

LXXII.

Πρατάλιδα τὸ μνᾶμα Λυκαστίω, ἄκρον ἐρώτων
εἰδότος, ἄκρα μάχας, ἄκρα λινοστασίας,
ἄκρα χοροιτυπίης, χθόνιοι — — — —·
τῦτον Κρηταιεῖς Κρῆτα παρῳκίσατε.

LXXIII.

Πραταλίδα παιδεῖον Ερως πόθον, Αρτεμις ἄγραν,
Μῦσα χορὺς, Αρης ἐγγυάλιξε μάχαν.
πῶς ὐκ εὐαίων ὁ Λυκάστιος, ὃς καὶ ἔρωτι
ἄρχε, καὶ ἐν μολπᾷ, καὶ δορὶ καὶ σταλίκι.

LXXIV.

Ηχήεσσα θάλασσα, τί τὸν Τιμάρεος ὕτως
πλώοντ' ὐ πολλῇ νηὶ Τελευταγόρην,

LXXII. 3. Fort. ſupplendum: χθονίῳ Μίνωϊ πάρεδρον.

T. I. p.240. ἄγρια χειμήνασα, κατεπρήνωσαο πόντῳ
σὺν φόρτῳ, λάβρον κῦμ' ἐπιχευαμένη;
χὠ μέν που καύηξι καὶ ἰχθυβόροις λαρίδεσσι
τεθρήνητ' ἄπνους εὑρεῖ ἐν αἰγιαλῷ·
Τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένου ἀθρῶν
τύμβον, δακρύει παῖδα Τελευταγόρην.

LXXV.

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὀρθων,
χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴοις·
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω μόρον, ἀντὶ δὲ γαίης
πατρίδος, ὀθνείην κεῖμαι ἐφεσσάμενος.

LXXVI.

Μήτε μακρῇ θαρσέων ναυτίλλεο, μήτε βαθείῃ
νηΐ· κρατεῖ παντὸς δούρατος εἷς ἄνεμος.
ὤλεσε καὶ Πρόμαχον πνοιὴ μία, κῦμα δὲ ναύτας
ἀθρόον εἰς πολιὴν ἐστυφέλιξεν ἅλα.
οὐ μήν οἱ δαίμων πάντη κακός· ἀλλ' ἐνὶ γαίῃ
πατρίδι καὶ τύμβου καὶ κτερέων ἔλαχε
κηδεμόνων ἐν χερσὶν, ἐπεὶ τρηχεῖα θάλασσα
νεκρὸν πεπταμένους θῆκεν ἐπ' αἰγιαλούς.

LXXVII.

Τέλληνος ὅδε τύμβος· ἔχω δ' ὑπὸ βωλεῖ πρέσβυν
τῆνον, τὸν πρᾶτον γνόντα γελοιομελεῖν.

LXXVIII.

Ἑσπέριον κ' ἠῷον ἀπώσατο πολλάκις ὕπνον
ἡ γρηὺς πενίην Πλατθὶς ἀμυνομένη·

LXXVI. 3. Cod. πνοιὴ μία ἅρα.

καί τι πρὸς ἠλακάτην καὶ τὸν συνέριθον ἄτρακτον T. I. p. 241.
ᾔεισεν, πολιῶ γήραος ἄγχι θυρῶν,
καί τι παριςίδιος δινευμένη ἄχρις ἐπ᾽ ἠῶς
κεῖνον Ἀθηναίης σὺν Χάρισιν δολιχὸν,
ἢ ῥικνὴν, ῥικνῶ περὶ γούνατος, ἄρκιον ἱςῷ,
χειρὶ ςρογγύλλεσ᾽ ἱμερόεσσα κρόκην.
ὀγδωκονταέτις δ᾽ Ἀχερούσιον ηὔγασεν ὕδωρ
ἡ καλὰ καὶ καλῶς Πλατθὶς ὑφηναμένη.

LXXIX.

Ἄμπελος ὡς ἤδη κάμακι ςηρίζομαι αὐτῷ
σκηπανίῳ· καλέει μ᾽ εἰς Ἀΐδην θάνατος.
δυσκώφει μή, Γόργε· τί τοι χαριέςερον, εἰ τρεῖς
ἢ πίσυρας ποίας θάλψῃ ὑπ᾽ ἠελίῳ;
ὧδ᾽ εἴπας ὁ κόμπῳ, ἀπὸ ζωὴν ὁ παλαιὸς
ὤσατο, κεἰς πλεόνων ἦλθε μετοικεσίην.

LXXX.

Τὸν χαρίεντ᾽ Ἀλκμᾶνα, τὸν ὑμνητῆρ᾽ ὑμεναίων
κύκνον, τὸν Μουσῶν ἄξια μελψάμενον,
τύμβος ἔχει, Σπάρτας μεγάλαν χάριν, εἶθ᾽ ὅ γε Λυδὸς
ἄχθος ἀποῤῥίψας οἴχεται εἰς Ἀΐδην.

LXXXI.

Παρθενικὰν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν
Ἤρινναν, Μουσῶν ἄνθεα δρεπτομέναν,
Ἀΐδας εἰς ὑμέναιον ἀνάρπασεν. ἦ ῥα τόδ᾽ ἔμφρων
εἶπ᾽ ἐτύμως ἁ παῖς· Βάσκανος ἐσσ᾽ Ἀΐδα.

T.I.p.242.

LXXXII.

Αἰεὶ λῃσταὶ καὶ ἁλιφθόροι, οὐδὲ δίκαιοι
  Κρῆτες· τίς Κρητῶν οἶδε δικαιοσύνην;
ὡς καὶ ἐμὲ πλώοντα σὺν οὐκ εὐπίονι φόρτῳ
  Κρηταίης ὦσαν Τιμόλυτον καθ' ἁλός,
δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσι
  κέκλαυμαι, τύμβῳ δ' οὐχ ὕπο Τιμόλυτος.

LXXXIII.

Τὴν ὀλίγην βῶλον, καὶ τοῦτ' ὀλιγήριον, ὦ 'νερ,
  σῆμα ποτιφθέγξαι τλάμονος Ἀλκιμένευς,
εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου
  καὶ βάτου, αἷς ποτ' ἐγὼ δήϊος Ἀλκιμένης.

LXXXIV.

Τί στοχασώμεθά σου, Πεισίστρατε, χῖον ὁρῶντες
  γλυπτὸν ὑπὲρ τύμβου κείμενον ἀστράγαλον;
ἦ ῥά γε μὴν ὅτι Χῖος; ἔοικε γάρ. ἦ ῥ' ὅτι παίκτας
  ἦσθά τις, οὐ λίην δ', ὦ 'γαθὲ, πλειστοβόλος;
ἢ τὰ μὲν οὐδὲ σύνεγγυς, ἐν ἀκρήτῳ δὲ κατέσβης
  Χίῳ; ναὶ δοκέω, τῷδε προσηγγίσαμεν.

LXXXV.

Ἠρίον, οἷον νυκτὶ καταφθιμένοιο καλύπτεις
  ὀστέον, οἵην, γαῖ', ἀμφέχανες κεφαλήν;
οὐ πολλὸν μὲν ξανθαῖσιν ἀρεσκόμενον Χαρίτεσσι,
  πολλὸν δ' ἐν μνήμῃ πᾶσιν Ἀριστοκράτη.

ᾔδει

LXXXIII. 4. Cod. Vat. ἣν ποτ' ἐγὼ δ. Ἀντιπάτρου. Planudea: ἣν — Ἀλκιμένης.

ᾔδει Ἀριστοκράτης καὶ μείλιχα δημολογῆσαι, T. I.
στρεβλὴν οὐκ ὀφρὺν ἐσθλὸς ἐφελκόμενος·
ᾔδει καὶ Βάκχοιο παρὰ κρητῆρας ἄδηριν p. 243.
ἰθῦναι κοινὴν εὐκυλίκην λαλιήν·
ᾔδει καὶ ξείνοισι καὶ ἐνδήμοισι προσηνέα
ἔρδειν. ὦ γαῖ' ἱερὴ τοῖον ἔχοις φθίμενον.

LXXXVI.

Αὗται Τιμόκλει', αὗται Φιλώ, αὗται Ἀριστώ,
αὗται Τιμαιθώ, παῖδες Ἀριστοδίκου,
πᾶσαι ὑπ' ὠδῖνος πεφονευμέναι· αἷς ἔπι τοῦτο
σᾶμα πατὴρ στάσας κάτθαν' Ἀριστόδικος.

LXXXVII. Scalig. Poem. p. 7.

Μαρωνὶς ἡ φίλοινος, ἡ πίθων σποδὸς,
ἐνταῦθα κεῖται γρηῦς, ἧς ὑπὲρ τάφου
γνωστὴ πρόκειται πᾶσιν Ἀττικὴ κύλιξ.
στένει δὲ καὶ γᾶς νέρθεν, οὐχ ὑπὲρ τέκνων,
οὐκ ἀνδρὸς, οὓς λέλοιπεν ἐνδεεῖς βίου·
ἓν δ' ἀντὶ πάντων, οὕνεχ' ἡ κύλιξ κενή.

LXXXVIII.

Εἴη ποντοπόρῳ πλόος οὔριος· ἢν δ' ἄρ' ἀήτης,
ὡς ἐμὲ, τοῖς Ἀΐδεω προσπελάσῃ λιμέσι,
μεμφέσθω μὴ λαῖτμα κακόξενον, ἀλλ' ἕο τόλμαν,
ὅστις ἀφ' ἡμετέρου πείσματ' ἔλυσε τάφου.

LXXXIX.

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος· οἱ δ' ἀνάγονται,
φεῦ τόλμης, ἀπ' ἐμοῦ πείσματα λυσάμενοι.

V. p. 244.

XC.

Εὔρου με τρηχεῖα καὶ αἰπήεσσα καταιγὶς,
καὶ νὺξ, καὶ δνοφερῆς κύματα πανδυσίης
ἔβλαψ' Ὠρίωνος· ἀπώλισθον δὲ βίοιο
Κάλλαισχρος, Λιβυκοῦ μέσσα θέων πελάγευς.
κἀγὼ μὲν πόντῳ δινεύμενος, ἰχθύσι κύρμα,
οἰχεῦμαι· ψεύστης δ' οὗτος ἔπεστι λίθος.

XCI.

Θῆριν τὸν τριγέροντα, τὸν εὐάγρων ἀπὸ κύρτων
ζῶντα, τὸν αἰθυίης πλείονα νηξάμενον,
ἰχθυσιληϊστῆρα, σαγηνέα, χηραμοδύτην,
οὐχὶ πολυσκάλμου πλώτορα ναυτιλίης,
ἔμπης οὔτ' Ἀρκτοῦρος ἀπώλεσεν, οὔτε καταιγὶς
ἤλασε τὰς πολλὰς τῶν ἐτέων δεκάδας·
ἀλλ' ἔθαν' ἐν καλύβῃ σχοινίτιδι, λύχνος ὁποῖα,
τῷ μακρῷ σβεσθεὶς ἐν χρόνῳ αὐτόματος.
σῆμα δὲ τοῦδ' οὐ παῖδες ἐφήρμοσαν, οὐδ' ὁμόλεκτρος,
ἀλλὰ συνεργατίνης ἰχθυβόλων θίασος.

XCII.

α Ἀρχαίας ὦ θινὸς ἐπεστηλωμένον ἄχθος,
εἴποις ὅντιν' ἔχεις, ἢ τίνος, ἢ ποδαπόν.
β Φίντων' Ἑρμιονῆα Βαθυκλέος, ὃν πολὺ κῦμα
ὤλεσεν, Ἀρκτούρου λαίλαπι χρησάμενον.

XCIII.

Πάρμις ὁ Καλλιγνώτου ἐπακταῖος καλαμευτὴς
ἄκρος, καὶ κίχλης καὶ σκάρου ἰχθυβολεύς,

καὶ λάβρυ πέρκης δελεάρπαγος, ὅσσα τε κοίλας T. I. p. 245.
 σήραγγας, πέτρας τ' ἐμβυθίυς νέμεται,
ἄγρης: ἐκ πρώτης ποτ' ἰυλίδα πετρήεσσαν
 δακνάζων, ὀλοὴν ἐξ ἁλὸς ἀράμενος,
ἔφθιτ'· ὀλισθηρὴ γὰρ ὑπ' ἐκ χερὸς ἀΐξασα
 ᾤχετ' ἐπὶ στεινὸν παλλομένη φάρυγα.
χὼ μὲν μηρίνθων καὶ δόνακος ἀγκίστρων τε
 ἐγγὺς ἀπὸ πνοιὴν ἧκε κυλινδόμενος,
νήματ' ἀναπλήσας ἐπιμοίρια· τῷ δὲ θανόντος
 γρίπωνος γριπεὺς τῦτον ἔχωσε τάφον.

XCIV.

Ναυηγὸς γλαυκοῖο φυγὼν Τρίτωνος ἀπειλὰς
 Ανθεὺς, Φθιώτην ὐ φύγεν αἰνόλυκον.
Πηνειῦ παρὰ χεῦμα γὰρ ὤλετο. φεῦ τάλαν, ὅστις
 Νηρείδων Νύμφας ἔσχες ἀπιστοτέρας.

XCV.

Κὴν γῇ κὴν πόντῳ κεκρύμμεθα· τῦτο περισσὸν
 ἐκ Μοιρέων Θρᾶσις Χαρμίδυ ἠνυσάμην.
ἤ γὰρ ἐπ' ἀγκύρης ἔνοχον βάρος εἰς ἅλα δύνων,
 Ἰόνιόν θ' ὑγρὸν κῦμα κατερχόμενος,
τὴν μὲν ἔσωσ'· αὐτὸς δὲ μετάτροπος ἐκ βυθῦ ἔῤῥων,
 ἤδη καὶ ναύταις χεῖρας ὀρεγνύμενος,
ἐβρώθην· τοῖόν μοι ἐπ' ἄγριον εὔμεγα κῆτος
 ἦλθεν, ἀπέβρυξε δ' ἄχρις ἐπ' ὀμφαλίυ.
χἤμισυ μὲν ναῦται, ψυχρὸν βάρος, ἐξ ἁλὸς ἡμῶν
 ἤραν θ', ἥμισυ δὲ πρίστις ἀπεκλάσατο.

XCV. 10. Scr. πρῆστις.

T. I. χθόνι δ' ἐν ταύτῃ κακὰ λείψανα Θράσιδος, ὦ 'νερ,
ἔκρυψαν· πάτρην δ' οὐ πάλιν ἱκόμεθα.

XCVI.

p. 246. Τετρηχυῖα θάλασσα, τί μ' οὐκ, ὀϊζυρὰ παθόντα,
τηλόσ' ἀπὸ ψιλῆς ἔπτυσας ἠϊόνος,
ὡς σεῦ μηδ' Ἀΐδαο κακὴν ἐπιειμένος ἀχλὺν
Φιλλεὺς Ἀμφιμένευς ἆσσον ἐγειτόνεον;

XCVII.

Ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ
πικρὸν ἐγείρητε σφῆκ' ἀναπαυόμενον.
ἄρτι γὰρ Ἱππώνακτος ὁ καὶ τοκέων καταβαΰξας
ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
ἀλλὰ προμηθήσασθε· τὰ γὰρ πεπυρωμένα κείνου
ῥήματα πημαίνειν οἶδε καὶ εἰν Ἀΐδῃ.

XCVIII.

Ποιμένες, οἳ ταύτην ὄρεος ῥάχιν οἰοπολεῖτε,
αἶγας κεὐείρους ἐμβατέοντες ὄϊς,
Κλειταγόρῃ, πρὸς Γῆς, ὀλίγην χάριν, ἀλλὰ προσηνῆ
τίνοιτε, χθονίης εἵνεκα Φερσεφόνης.
βληχήσαιντ' ὄϊές μοι, ἐπ' ἀξέστοιο δὲ ποιμὴν
πέτρης συρίζοι πρηέα βοσκομέναις,
εἴαρι δὲ πρώτῳ λειμώνιον ἄνθος ἀμέρσας
χωρίτης στεφέτω τύμβον ἐμὸν στεφάνῳ,
καί τις ἀπ' εὐάρνοιο καταχραίνοιτο γάλακτι
οἰὸς, ἀμολγαῖον μαστὸν ἀνασχόμενος,

XCVII. 3. Cod. Vat. καὶ τεκέων.
XCVIII. 7. Fort. ἀμέρξας.

κρηπῖδ' ὑγραίνων ἐπιτύμβιον· εἰσὶ θανόντων, T. I.
εἰσὶν ἀμοιβαῖαι κἀν φθιμένοις χάριτες.

XCIX.

p. 247.

Α δειλ' Ἀντίκλεις, δειλὴ δ' ἐγὼ ἡ τὸν ἐν ἥβης
ἀκμῇ καὶ μοῦνον παῖδα πυρωσαμένη,
ὀκτωκαιδεκέτης ὃς ἀπώλεο, τέκνον· ἐγὼ δὲ
ὀρφάνιον κλαίω γῆρας ὀδυρομένη.
βαίην εἰς Ἀΐδος σκιερὸν δόμον· οὔτε μοι ἠὼς
ἡδεῖ', οὔτ' ἀκτὶς ὠκέος ἠελίου.
ἆ δειλ' Ἀντίκλεις, μεμορημένε, πένθεος εἴης
ἰητὴρ, ζωῆς ἔκ με κομισσάμενος.

C.

Πολλὸν ἀπ' Ἰταλίης κεῖμαι χθονὸς, ἔκ τε Τάραντος
πάτρης· τοῦτο δ' ἐμοὶ πικρότερον θανάτου.
τοιοῦτος πλανίων ἄβιος βίος· ἀλλά με Μοῦσαι
ἔστερξαν, λυγρῶν δ' ἄντι, μελιχρὸν ἔχω.
οὔνομα δ' οὐκ ἤμυσε Λεωνίδου· αὐτά με δῶρα
κηρύσσει Μουσέων πάντας ἐπ' ἠελίους.

ΝΙΚΙΟΥ

p. 248.

ΜΙΛΗΣΙΟΥ.

I.

Μαινὰς Ἐνυαλίου, πολεμαδόκε, θοῦρι κράνεια,
τίς νύ σε θῆκε θεᾷ δῶρον ἐγερσιμάχᾳ;
Μήνιος· ἦ γὰρ τοῦ παλάμας ἄπο ῥίμφα θοροῦσα
ἴθυσ' ἐν προμάχοις δήϊον ἀμπεδίον.

T. I.

II.

Μέλλον ἄρα στυγερὰν κἠγώ ποτε δῆριν Ἄρηος
 ἐκπρολιποῦσα, χορῶν παρθενίων ἀΐειν
Ἀρτέμιδος περὶ ναὸν, Ἐπίξενος ἔνθα μ' ἔθηκε,
 λευκὸν ἐπεὶ κείνου γῆρας ἔτειρε μέλη.

III.

Δαμαρέτας κρήδεμνα, καὶ ὑδατόεσσα καλύπτρη,
 Εἰλήθυια, τεᾶς κεῖται ὑπὲρ κεφαλᾶς,
ἥ σε μετ' εὐχωλᾶς ἐκαλέσσατο, λευγαλέας οἱ
 κῆρας ἀπ' ὠδίνων τῆλε βαλεῖν λοχίων.

IV.

Iacobs Tempe T. 2. p. 188. Ἵζευ ὑπ' αἰγείροισιν, ἐπεὶ κάμες, ἐνθάδ' ὁδῖτα,
 καὶ πίε θᾶσσον ἰὼν πίδακος ἁμετέρας·
μνᾶσαι δὲ κράναν καὶ ἀπόπροθεν, ἃν ἐπὶ Γίλλῳ
 Σιμὸς ἀποφθιμένῳ παιδὶ παριδρύεται.

p. 249.

V.

Εἰνοσίφυλλον ὄρος Κυλλήνιον αἰπὺ λελογχὼς,
 τῇδ' ἕστηκ' ἐρατοῦ γυμνασίου μεδέων,
Ἑρμῆς· ᾧ ἔπι παῖδες ἀμάρακον ἠδ' ὑάκινθον
 πολλάκι, καὶ θαλεροὺς θῆκαν ἴων στεφάνους.

VI.

Φρουρὸς ἐπὶ σμήνεσσι, Περιστράτου εἵνεκα, μίμνω
 ἐνθάδε, Μαιναλίαν κλιτὺν ἀποπρολιπὼν,
κλῶπα μελισσάων δεδοκημένος. ἀλλ' ἀλέασθε
 χεῖρα, καὶ ἀγροτέρου κοῦφον ὄρεγμα ποδός.

VII. T. I.

Αἰόλε, ἡμεροθαλὲς ἔαρ φαίνουσα, μέλισσα,
ξουθά, ἐφ' ὡραίοις ἄνθεσι μαινομένα,
χῶρον ἐφ' ἡδύπνοον πωτωμένα, ἔργα τίθεσσο,
ὄφρα τεὸς πλήθῃ κηροπαγὴς θάλαμος.

VIII.

Οὐκέτι δὴ τανύφυλλον ὑπὸ πλάκα κλωνὸς ἑλιχθεὶς
τέρψομ', ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς πτερύγων.
χεῖρα γὰρ εἰς ἀραιὰν παιδὸς πέσον, ὅς με λαθραίως
μάρψεν, ἐπὶ χλοερῶν ἑζόμενον πετάλων.

IX.

Τὴν κεφαλὴν βάπτων τις ἀπώλεσε τὰς τρίχας αὐτὰς,
καὶ δασὺς ὢν λίαν, ὠὸν ἅπας γέγονε.
τοῦτο βαφεὺς ἐπόησε, τὸ μηκέτι κουρέα τέμνειν
μήτε κόμην λευκὴν, μήτε μελαινομένην.

ΔΙΟΤΙΜΟΥ. p. 250.

I.

Γραῖα, φίλη θρέπτειρα, τί μου προσιόντος ὑλακτεῖς,
καὶ χαλεπὰς βάλλεις δὶς τόσον εἰς ὀδύνας;
παρθενικὴν γὰρ ἄγεις περικαλλέα, τῆς ἐπιβαίνων
ἴχνεσι, τὴν ἰδίην οἶμον ἴδ' ὡς φέρομαι,
εἶδος ἐσαυγάζων μοῦνον γλυκύ. τίς φθόνος ὄσσων,
δύσμορε; καὶ μορφὰς ἀθανάτων βλέπομεν.

T. I.

II.

Φωσφόρος, ὦ σώτειρ', ἐπὶ Παλλάδος ἵσταθι κλήρων,
Ἄρτεμι, καὶ χαρίεν φῶς ἐὸν ἀνδρὶ δίδου,
αὐτῷ, καὶ γενεῇ τε ποτ' εὐμαρές· οὐ γὰρ ἀφαυρῶς
ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης.
ἄλσος δ', Ἄρτεμι, τοῦτο καὶ ἂν Χαρίτεσσι θεύσαις
εἴη ἐπ' ἀνθεμίδων σύμβαλα κοῦφα βαλεῖν.

III.

Χαῖρέ μοι, ἁβρὲ κύπασσι, τὸν Ομφάλη, ἥ ποτε Λυδή,
λυσαμένη, φιλότητ' ἦλθεν ἐς Ἡρακλέους.
ὄλβιος ἦσθα, Κύπασσι, καὶ ὡς τότε καὶ πάλιν, ὃς νῦν
χρύσεον Ἀρτέμιδος τοῦτ' ἐπέβης μέλαθρον.

IV.

Εἰς ἄγαλμα Ἀρτέμιδος.

Ὡς πρέπει, Ἄρτεμις εἰμ'· εἶδ' Ἄρτεμιν αὐτὸς ὁ χαλκεὺς,
μηνύει Ζηνὸς, κοὐχ ἑτέρου θυγατέρα.
p. 251. τεκμαίρου τὸ θράσος τᾶς παρθένου. ἦ ῥά κεν εἴποις·
πᾶσα χθὼν ὀλίγον τᾷδε κυναγέσιον.

V.

Τὰν ἥβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
ἅδε Ποσειδᾶνος, καὶ Διὸς ἁ γενεά.
κεῖται δὲ σφιν ἀγὼν οὐ χαλκέου ἀμφὶ λέβητος,
ἀλλ' ὅστις ζωὰν οἴσεται ἢ θάνατον.
Ανταίου δὲ τὸ πτῶμα. πρέπει Ἡρακλέα νικᾶν
τὸν Διός. Ἀργείων ἁ πάλα, οὐ Λιβύων.

VI. T. I.

Αἱ νόμιμοι δύο γρῆες ὁμήλικες ἦμεν, Ἀναξὼ
καὶ Κλεινὼ, δίδυμοι παῖδες Ἐπικράτεω·
Κλεινὼ μὲν Χαρίτων ἱερὴ, Δημητρὸς Ἀναξὼ
ἐν ζωῇ πρόπολος· ἐννέα δ' ἠελίων
ὀγδωκονταέτεις ἐπιλείπομεν ἐς τόδ' ἱκέσθαι
τῆς μοίρης· ἐτέων δ' οὐ φθόνος ἰσοβίοις·
καὶ πόσιας καὶ τέκνα φιλήσαμεν· αἱ δὲ παλαιαὶ
πρῶθ' ἡμεῖς Ἀΐδην πρηῢν ἀφικόμεθα.

VII.

Νυμφίον Εὐαγόρην πολυπένθιμον ἡ Πολυαίνου
Σκυλλὶς ἀν' εὐρείας ἦλθε βοῶσα πύλας,
παῖδα τὸν Ἡγεμάχειον ἐφέστιον· οὐδ' ἄρ' ἐκείνη
χήρη πατρῴους αὖθις ἐσῆλθε δόμους,
δαιμονίη· τριτάτῳ δὲ κατέφθιτο μηνὶ δυσαίων
οὐλομένη ψυχῆς δύσφρονι τηκεδόνι.
τοῦτο δ' ἐπ' ἀμφοτέροισι πολύκλαυτον φιλότητος
ἕστηκεν λαίῃ μνᾶμα παρὰ τριόδῳ.

VIII. p. 252.

Ἐλπίδες ἀνθρώπων, ἐλαφραὶ θεαί· οὐ γὰρ ἂν ὧδε
Λέσβον ὁ λυσιμελὴς ἀμφεκάλυψ' Ἀΐδης,
ὅς ποτε καὶ βασιλῆϊ συνέδραμε, καὶ μετ' Ἐρώτων.
χαίρετε κυφόταται δαίμονες ἀθανάτων.
αὐλοὶ δ' ἄφθεγκτοι καὶ ἀπευθέες, οἵ σ' ἐνέπνει
κεῖσθ', ἐπεὶ οὐκ ᾠδὰς, οὐ χορὸν οἶδ' Ἀχέρων.

VI. 5. Scr. ἐλλείπομεν.

T. I.

IX.

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ Μίκωνος
υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.
εἰ δὲ κάλυμμ' ὀλίγον, μὴ μέμφεο· μικρὸς ὁ χῶρος,
ἀλλ' ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.

X.

Αὐτόματοι δείλης ποτὶ ταὔλιον αἱ βόες ἦλθον
ἐξ ὄρεος, πολλῇ νιφόμεναι χιόνι.
αἶ αἶ, Θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.

XI.

Τί πλέον εἰς ὠδῖνα πονεῖν; τί δὲ τέκνα τεκέσθαι;
μὴ τέκοι ᾗ μέλλει παιδὸς ὁρᾶν θάνατον.
ἠϊθέῳ γὰρ σῆμα Βιάνορι χεύατο μήτηρ·
ἔπρεπε δ' ἐκ παιδὸς μητέρα τοῦδε τυχεῖν.

---

p. 253.

ΑΡΑΤΟΥ.

I.

Ἀργεῖος Φιλοκλῆς Ἄργει καλός· αἱ δὲ Κορίνθου
στῆλαι, καὶ Μεγαρέων ταὐτὸ βοῶσι τάφοι·
γέγραπται καὶ μέχρι λοετρῶν Ἀμφιαράου,
ὡς καλός. ἀλλ' ὀλίγοις γράμμασι λειπόμεθα.
τῷδ' οὐ γὰρ πέτραι ἐπιμάρτυρες, ἀλλὰ Πριηνεὺς
αὐτὸς ἰδών· ἑτέρου δ' ἐστὶ περισσότερος.

II. T.I.

Αἰάζω Διότιμον, ὃς ἐν πέτραισι κάθηται,
Γαργαρέων παισὶ Βῆτα καὶ Ἄλφα λέγων.

Η Γ Η Σ Ι Π Π Ο Υ. P. 254.

I.

Δέξαι μ' Ἡράκλεις, Ἀρχεστράτου ἱερὸν ὅπλον,
ὄφρα ποτὶ στεπτὰν παστάδα κεκλιμένα
γηραλέα τελέθοιμι, χορῶν ἀΐουσα καὶ ὕμνων·
ἀρκείτω στυγερὰ δῆρις Ἐνυαλίου.

II.

Τάνδε παρὰ τριόδοις τὰν Ἄρτεμιν Ἀγελόχεια,
ἔτ' ἐν πατρὸς μένουσα παρθένος δόμοις,
ἕσσατο, Δαμαρέτου θυγάτηρ· ἐφάνη γάρ οἱ αὐτὰ
ἱστοῦ παρὰ κρόκαισιν, ὡς αὐγὰ πυρός.

III.

Ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἧμαι
ναῷ ὑπωροφίας Παλλάδος ἀλκιμάχας,
πολλὰ σιδαρείου κεκονιμένα ἐκ πολέμοιο,
τὸν δὲ φέροντά μ' ἀεὶ ῥυομένα θανάτου.

IV.

Ἐξ ἁλὸς ἡμίβρωτον ἀνηνέγκαντο σαγηνεῖς
ἄνδρα, πολύκλαυστον ναυτιλίης σκύβαλον·

I. 2. Cod. π. τρεπτάν.

III. 2. Cod. Vat. ὑποῤῥοφίας. Scr. ὑπωροφία. 3. Cod. κεκρυνημένα.

T. I. κέρδεα δ' οὐκ ἐδίωξαν ἃ μὴ θέμις· ἀλλὰ σὺν αὐτοῖς
ἰχθύσι τοῦδ' ὀλίγῃ θῆκαν ὑπὸ ψαμάθῳ.
ὦ χθὼν, τὸν ναυηγὸν ἔχεις ὅλον· ἀντὶ δὲ λοιπῆς
σαρκὸς, τοὺς σαρκῶν γευσαμένους ἐπέχεις.

V.

p. 255. Ερμιονεὺς ὁ ξεῖνος, ἐν ἀλλοδαπῶν δὲ τέθαπται,
Ζωΐλος, Αργείαν γαῖαν ἐπεσσάμενος,
ὧν ἐπί οἱ βαθύκολπος ἀμάσατο δάκρυσι νύμφα
λειβομένα, παῖδές τ' εἰς χρόα κειράμενοι.

VI.

Ερρέτω ἦμαρ ἐκεῖνο, καὶ οὐλομένη σκοτόμαινα,
βρόμος τε δεινὸς ἠνεμωμένης ἁλὸς,
οἵ ποτε νῆ' ἐκύλισσαν, ἐφ' ἧς ὁ τὰ πολλὰ μελίφρων
Αβδηρίων ἄπρηκτα θεοῖσιν εὔχετο·
ῥαίσθη γὰρ διάπαντα, προσηνέχθη δὲ κλύδωνι
τρηχεῖαν εἰς Σέριφον, αἰδοίων ὅθι
πρὸς ξείνων, ὑπὸ χερσὶ λαχὼν πυρὸς, ἵκετο πάτρην
Αβδηρα, κρυσσῷ χαλκέῳ περισταλείς.

VII.

Τὴν ἐπὶ πυρκαϊῆς ἐνδέξια φασὶ κέλευθον
Ερμῆν τοὺς ἀγαθοὺς ἐς Ραδάμανθυν ἄγειν,
ᾗ καὶ Αριστόνοος, Χαιρεστράτου οὐκ ἀδάκρυτος
παῖς, ἡγησίλεω δῶμ' Αΐδος κατέβη.

VI. 7. Scr. προξείνων ὑπὸ χ.

VIII. T. I.

Ὀξεῖαι πάντη περὶ τὸν τάφον εἰσὶν ἄκανθαι
καὶ σκόλοπες· βλάψεις τοὺς πόδας, ἢν προσίῃς,
Τίμων μισάνθρωπος ἐνοικέω· ἀλλὰ πάρελθε.
οἰμώζειν εἴπας πολλά; πάρελθε μόνον.

ΕΥΦΟΡΙΩΝΟΣ. p. 256.

I.

Πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας,
Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην.
ἀντὶ δέ οἱ πλοκαμῖδος, Ἑκηβόλε, κάλλος ἐπείη
ὡς Χαρνῆθεν ἀεὶ κισσὸς ἀεξόμενον.

II.

Οὐ τρηχὺς λιθιαῖος ἐπ' ὀστέα κεῖνα καλύπτει,
οὐδ' ἡ κυάνεον γράμμα λαβοῦσα πέτρη·
ἀλλὰ τὰ μὲν δολιχῆς τε καὶ αἰπεινῆς Δρακάνοιο
Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις·
ἀντὶ δ' ἐγὼ ξενίης πολυκήδεος ἡ κενεὴ χθὼν
ὀγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.

I. 4. Cod. ὡ 'χαρνῆθεν.

T. I. p. 257. **ΦΑΕΝΝΟΥ.**

ψ

I.

Οὐκ ἔτλας, ὤριςε Λεωνίδα αὖτις ἱκέσθαι
  Εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ·
ἀλλ' ἐπὶ Θερμοπύλαισι τὸ Περσικὸν ἔθνος ἀμύνων
  ἐδμάθης, πατέρων ἀζόμενος νόμιμα.

II.

Δαμοκρίτῳ μὲν ἐγὼ λιγυρὰν ὅκα μῶσαν ἐνίην
  ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ὕπνον ἄγον·
Δαμόκριτος δ' ἐπ' ἐμοὶ τὸν ἐοικότα τύμβον, ὁδῖτα,
  ἐγγύθεν Ωρωπῶ χεῦεν ἀποφθιμένᾳ.

p. 258. **ΠΑΜΦΙΛΟΥ.**

ψ

I.

Τίπτε πανημέριος, Πανδιονὶ κάμμορε κώρα,
  μυρομένα κελαδεῖς τραυλὰ διὰ τομάτων;
ἦτοι Παρθενίας πόθος ἵκετο, τάν τοι ἀπηύρα
  Θρηΐκιος Τηρεὺς αἰνὰ βιησάμενος;

II.

Οὐκέτι δὴ χλωροῖσιν ἐφεζόμενος πετάλοισιν
  ἁδεῖαν μέλπων ἐκπροχέεις ἰαχάν·
ἀλλά σε γαρύοντα κατήναρεν, ἀχέτα τέττιξ,
  ἠϊθέω παιδὸς χεὶρ ἀναπεπταμένα.

ΠΑΓΚΡΑΤΟΥΣ. T. I. p. 259.

I.

Κλειοῦς αἱ δύο παῖδες Αριστοδίκη καὶ Αμεινὼ.
Κρῆσσαι, πότνια σῆς Αρτεμι νειοκόρου
τετραετεῖς ἀπὸ μητρός· ἴδοις, ὤνασσα, τὰ τῆσδε
εὔτεκνα, κἀντὶ μιῆς θὲς δύο νειοκόρους.

II.

Εκ πυρὸς ὁ ῥαιστὴρ, καὶ ὁ καρκίνος, ἥ τε πυράγρη
ἄγκεινθ' Ηφαίστῳ, δῶρα Πολυκράτεος,
ᾧ πυκνὰ κροτέων ὑπὲρ ἄκμονος εὕρετο παισὶν
ὄλβον, ὀϊζυρὴν ὠσάμενος πενίην.

III.

Ωλεσεν Αἰγαίου διὰ κύματος ἄγριος ἀρθεὶς
Λὶψ Επιηρείδην Τάσι δυομέναις,
αὐτῇ σὺν νηῒ καὶ ἀνδράσιν· ᾧ τόδε σῆμα
δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμε.

ΑΝΤΑΓΟΡΑ. p. 260

I.

Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα
ἔννεπε κρύπτεσθαι, ξεῖνε, παρερχόμενος,

III. 3. Codd. αὐτῇ οἱ σύν. aut αὐτῇ οἱ.

T. I. ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἄπο μῦθοι
ἱεροὶ ἤεισαν δαιμονίου στόματος,
καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει
αἰῶνα, σεμνοῖς δόγμασι πειθόμενος.

II.

Λέγεται δὲ καὶ Ἀνταγόρου τοῦ ποιητοῦ ὡς Κράντορος εἰς Ἔρωτα πεποιημένα φέρεσθαι ταυτί.

Ἐν δοιῇ μοι θυμός, ὅ τοι γένος ἀμφιβόητον
ἤ σε θεῶν τὸν πρῶτον ἀειγενέων, Ἔρος, εἴπω,
τῶν ὅσσους Ἔρεβός τε πάλαι βασίλειά τε παῖδας
γείνατο Νύξ, πελάγεσσιν ὑπ' εὐρέος Ὠκεανοῖο·
ἤ σέ γε Κύπριδος υἷα περίφρονος, ἠέ σε Γαίης,
ἢ Ἀνέμων· τοῖος σὺ κακὰ φρονέων ἀλάλησαι
ἀνθρώποις ἠδ' ἐσθλά, τὸ καὶ σέο σῶμα διφυές.

p. 261.

ΦΑΙΔΙΜΟΥ.

I.

Τόξον μὲν ᾧ Γίγαντος ὤλεσας σθένος
ἴσχε βίης, ἑκάεργ' Ἀπολλον.
οὐ σοι φαρέτρη λύεται λυκοκτόνος,
τὸν δ' ἐπ' ἠϊθέοισιν οἶστρον
στρέψεις Ἔρωτος, ὄφρ' ἀλέξωνται πάτρη,
θαρσαλέοι φιλότατι κούρων;
Ἔρως γὰρ ἀλκή, καὶ θεῶν ὑπέρτατος
οἶδεν καὶ προμάχους ἀέξειν.
Μελιστίωνος δὸς πατρῷον σέβας
Σχοινιέων ἐπίηρα δέχθαι.

T. I.

II.

Καλλίστρατός σοι, Ζηνὸς ὦ διάκτορε,
ἔθηκε μορφῆς ξυνὸν ἥλικος τύπον·
Κηφισιεὺς ὁ κοῦρος· ὦ χαρεὶς ἄναξ,
Απολλοδώρου παῖδα, καὶ πάτρην σάω.

III.

Ἄρτεμι, σοὶ τὰ πέδιλα Κιχησίου εἵσατο υἱός,
καὶ πέπλων ὀλίγον πτύγμα Θεμιστοδίκη,
οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερέσχες
χεῖρας, ἄτερ τόξου, πότνια, νισσομένη.
Ἄρτεμι, νηπίαχον δὲ καὶ εἰσέτι παῖδα, Λέοντος — p. 262.
νεῦσον ἰδεῖν κοῦρον υἱέ' ἀεξόμενον.

IV.

Αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμεῖβων,
νυμφίον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη,
δεξαμένη σποδιήν τε καὶ ὀστέα, (τὸν δὲ δυσαὴς
ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον)
δύσμορον ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
ξεῖνε, Τορωναίων εἵλκυσαν εἰς λιμένα.

ΕΡΜΟΔΩΡΟΥ.

Τὰν Κνιδίαν Κυθέρειαν ἰδών, ξένε, τοῦτό κεν εἴποις·
αὐτὰ καὶ θνατῶν ἄρχε καὶ ἀθανάτων.
τὰν δ' ἐνὶ Κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων,
αὐδάσεις· ὄντως βουκόλος ἦν ὁ Πάρις.

T.I. p.263.

ΑΡΤΕΜΙΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΕΙΣ ΘΕΟΚΡΙΤΟΝ.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,
  εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκοσίων,
υἱὸς Πραξαγόραο, περικλειτῆς τε Φιλίννης·
  Μοῦσαν δ' ὀθνείην οὔ ποτ' ἐφελκυσάμην.

ΤΟΥ ΑΥΤΟΥ
ΕΠΙ ΤΗι ΑΘΡΟΙΣΕΙ ΤΩΝ ΒΟΥΚΟΛΙΚΩΝ.

Βουκολικαὶ Μοῦσαι σποράδες πόκα· νῦν δ' ἅμα πᾶσαι
  ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλας.

p. 376.

ΘΕΟΚΡΙΤΟΥ

ΣΥΡΑΚΟΥΣΙΟΥ.

I.

Τὰ ῥόδα τὰ δροσόεντα, καὶ ἁ κατάπυκνος ἐκείνα
  ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι·
ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν, Πύθιε Παιάν,
  Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.
βωμὸν δ' αἱμαξεῖ κεραὸς τράγος, οὗτος ὁ μαλλὸς
  τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.

II.

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
  βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε·

τὼς τρητὼς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα, T. I.
νεβρίδα, καὶ πήραν, ᾇ πόκ' ἐμαλοφόρει.

III.

Εὕδεις φυλλοστρῶτι πέδῳ, Δάφνι, σῶμα κεκμακὸς
ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
ἀγρεύει δέ τυ Πὰν, καὶ ὁ τὸν κροκόεντα Πρίηπος
κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
ἄντρον ἔσω στείχοντες ὁμόῤῥοθοι. ἀλλὰ τὺ φεῦγε,
φεῦγε, μεθεὶς ὕπνου κῶμα καταρχόμενον.

IV.

p. 377.

Τήναν τὰν λαύραν, τὼς αἱ δρύες, αἰπόλε, κάμψας,
σύκινον εὑρησεῖς ἀρτιγλυφὲς ξόανον,
τρισκελὲς, αὐτόφλοιον, ἀνούατον· ἀλλὰ φάλητι
παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.
σακὸς δ' εὖ ἱερὸς περιδέδρομεν· ἀέναον δὲ
ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ,
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος. εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσι ποικιλότραυλα μέλη·
ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀνταχεῦσι,
μέλποισαι στόμασι τὰν μελίγηρυν ὄπα.
ἕσδεο δὴ τηνεὶ, καὶ τῷ χαρίεντι Πριήπῳ
εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους,
κεὐθὺς ἐπιῤῥέξειν χίμαρον καλόν. ἢν δ' ἀνανεύσῃ,
τοῦδε τυχὼν, ἐθέλω τρισσοθύην τελέσαι.

IV. 5. Scr. ἱ. δ' εὔιερος.

T. I. ῥεξῶ γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα, τὸν ἴσχω
σακίταν. κλύοι δ' εὐμενέως ὁ θεός.

V.

Λῆς ποτὶ τᾶν Νυμφᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
ἁδύ τί μοι; κἠγὼν πακτίδ' ἀειράμενος
ἀρξεῦμαί τι κρέκειν. ὁ δὲ βουκόλος ἄμμιγα θελξεῖ
Δάφνις, καροδέτῳ πνεύματι μελπόμενος.
ἐγγὺς δὲ στάντες λασίας δρυὸς, ἄντρου ὄπισθεν,
Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνω.

VI.

p. 378. Ἀ δείλαιε τὺ Θύρσι, τί τὸ πλέον, εἰ καταταξεῖς
δάκρυσι διγλήνως ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἀΐδαν·
τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
ὀστέων ὐδὲ τέφρα λείπεται οἰχομένας;

VII.

Εἰς ἄγαλμα Ἀσκληπιοῦ.

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱὸς,
ἰητῆρι νόσων ἀνδρὶ συνεσσόμενος,
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστὰς
μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

VIII.

T. I.

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
ναυτίλος. ἔςι καὶ ὣς οὐ πολὺς ἀνδρὶ βίος.
δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
ἠπείγευ, κοίλης ἔμπορος ἐκ Συρίης,
ἔμπορος, ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτὴν
ποντοπορῶν, αὐτῇ Πλειάδι συγκατέβης.

IX.

Εἰς ἄγαλμα Μουσῶν.

Ὑμῖν τοῦτο, θεαὶ, κεχαρισμένον ἐννέα πάσαις
τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
μουσικός· οὐχ ἑτέρως τις ἐρεῖ. σοφίῃ δ' ἐπὶ τῇδε
αἶνον ἔχων, Μουσέων οὐκ ἐπιλανθάνεται.

X.

p. 379.

Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιςής,
δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα·
χ' ὑμνοθέτης αὐτοῖς δαιμονίως φίλος ἦν.
πάντων ὧν ἐπέοικε τύχεν τεθναὼς ὁ σοφιςής,
καίπερ ἄοικος ἐὼν, εἶχ' ἄρα κηδεμόνας.

XI.

Δαμοτέλης ὁ χορηγὸς, ὁ τὸν τρίποδ', ὦ Διόνυσε,
καὶ σε τὸν ἥδιςον θεῶν μακάρων ἀναθεὶς,
μέτριος ἦν ἐν παισί· χορῷ δ' ἐκτήσατο νίκην
ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

VIII. 2. Cod. Plan. ναυτίλος ἴσθι καὶ ὡς οὐ

Stell Gyd.a.Di.Gr.v.3S

XII.

Εἰς ἄγαλμα Οὐρανίας Ἀφροδίτης.

Ἁ Κύπρις οὐ πάνδημος· ἱλάσκεο τὰν θεὸν, εἰπὼν
 Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον ἔσχε
 ξυνόν· ἀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἦς
ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια. κηδόμενοι γὰρ
 ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

XIII.

Νήπιον υἱὸν ἔλειπες· ἐν ἁλικίᾳ δὲ καὶ αὐτὸς,
 Εὐρύμεδον, τύμβου τοῦδε θανὼν ἔτυχες.
p. 380. σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
 τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

XIV.

Γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
 ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ', ἔχει.
χαιρέτω οὗτος ὁ τύμβος, ἐρεῖς, ἐπεὶ Εὐρυμέδοντος
 κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.

XV.

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον, ὦ ξένε,
  σπουδᾷ, καὶ λέγ', ἐπὰν ἐς οἶκον ἔνθῃς·
Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ,
  τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιῶν.
προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
  ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

XVI. T. I.

Ἅ τε φωνὰ Δώριος, χὠνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος.
ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν
τοὶ Συρακόσσαις ἐνίδρυνται Πελωρεῖς τᾷ πόλει,
οἷ' ἀνδρὶ πολίτᾳ,
σωρὸν γὰρ εἶχε χρημάτων, μεμναμένοι
τελεῖν ἐπίχειρα.
πολλὰ καὶ ποττὰν ζωὰν τοῖς παισὶν εἶπε χρήσιμα
μεγάλα χάρις αὐτῷ.

XVII. p. 381.

ΜΗΔΕΙΟΣ ΧΡΗΣΙΜΗι ΤΡΟΦΩι ΚΛΕΙΤΗι.

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θρείσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ, κἠπέγραψε Κλείτας.
ἑξεῖ τὰν χάριν ἁ γυνὰ ἀντὶ τήνων
ὧν τὸν κῶρον ἔθρεψε. τί μήν; ἔτι ΧΡΗΣΙΜΑ καλεῖται.

XVIII.

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητὰν,
τὸν τῶν ἰάμβων· οὗ τὸ μυρίον κλέος
διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
ἦ ῥά μιν αἱ Μοῖσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
ὡς ἐμμελής τ' ἔγεντο κἠπιδέξιος
ἔπεά τε ποιεῖν, πρὸς λύραν τ' ἀείδειν.

T. I.

XIX.

Εἰς ἀνδριάντα Πεισάνδρου τοῦ τὴν Ἡράκλειαν ποιήσαντος.

Τὸν τοῦ Ζανὸς ὅδ' ὔμμιν υἱὸν ὡ 'νὴρ,
τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν ὡ 'κ Καμείρου,
χὤσσους ἐξεπόνασεν εἶπ' ἀέθλους·
τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε, χάλκεον ποιήσας,
πολλοῖς μησὶν ὄπισθε κἠνιαυτοῖς.

p. 382.

XX.

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
εἰ μὲν πονηρὸς, μὴ ποτέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ, κἢν θέλῃς, ἀπόβριξον.

XXI.

Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα·
θεὶς ἀνελεῦ, ψήφου πρὸς λόγον ἐρχομένης.
ἄλλος τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Κάϊκος
χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

ΜΟΣΧΟΥ T. I. p. 411.

ΣΥΡΑΚΟΥΣΙΟΥ.

Εἰς Ἔρωτα ἀροτριῶντα.

Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην·
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
ἔσπειρε Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ· Βρέξον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

Moſchi. 5. Vulgo πρῆσον. Codd. quidam πλῆσον.

T. I. p. 412.

ΔΩΣΙΑΔΑ ΡΟΔΙΟΥ

ΒΩΜΟΣ Α.

Ολός ἄ με λιβρὸς ἱρῶν
Λιβάδεσσιν, οἷα κάλχη,
Υπὸ φοινίῃσι τέγγει·
Μαύλιες δ' ὕπερθε πέτρης Ναξίας θοούμεναι
Παμάτων φίδοντο Πανός· οὐ στροβίλῳ λιγνύϊ
Ιξὸς εὐώδης μελαίνει τρεχνέων με Νυσίων.
Ες γὰρ βωμὸν ὁρῇς με, μήτε γ' αὔρου
Πλίνθοις, μήτ' Αλύβης παγέντα βώλοις·
Οὐδ' ὃν Κυνθογενὴς ἔτευξε φύτλη
Λαβὼν τὰ μηκάδων κέρα,
Λισσαῖσιν ἀμφὶ δειράσιν
Οσσαι νέμονται Κυνθίας,
Ισόῤῥοπος πέλοιτό μοι.
Σὺν Οὐρανοῦ γὰρ ἐκγόνοις
Εἰνάς μ' ἔτευξε γηγενής·
Τάων δ' ἀείζωον τέχνην
Ενευσε πάλμυς ἀφθίτων.
Σὺ δ' ὦ πιὼν κρήνηθεν, ἣν
Ινις κόλαψε Γοργόνος,
Θύοις τ' ἐπισπένδοις τέ μοι
Υμηττιαδᾶν πολὺ λαροτέρην
Σπονδήν· ἄδην ἴθι δὴ θαρσέων
Ες ἐμὴν τεῦξιν· καθαρὸς γὰρ ἐγὼ
Ιὸν ἱέντων τεράων, οἷα κέκευθ' ἐκεῖνος
Αμφὶ Νέαις Θρηϊκίαις, ὃν σχεδόθεν Μυρίνης
Σοὶ, Τριπάτωρ, πορφυρέυ φὼρ ἀνέθηκε κριοῦ.

ΔΩΣΙΑΔΑ ΡΟΔΙΟΥ ΒΩΜΌΣ Β. T. I. p. 413.

Εἱμάρσενός με στήτας.
πόσις, μέροψ, δίσαβος
Τεῦξ', οὐ σποδεύνας, ἶνις ἐμπύσας, μόρος
Τεύκροιο βούτα καὶ κυνὸς τεχνώματος
Χρύσας δ' ἀλίτας· ἆμος ἔψανδρα
τὸν γυιόχαλκον οὖρον ἔῤῥαισεν,
ὃν ὠπάτωρ δίσευνος
μόρησε μητρόῤῥιπτος.
ἐμὸν δὲ τεῦγμ' ἀθρήσας
Θεοκρίτοιο κτάντας,
Τριεσπέροιο καύτας,
ἄϊξεν αἶν' ἰύξας·
χάλεψε γάρ νιν ἰῷ
σύργαστρος ἐκδὺς γῆρας.
τὸν δ' ἐλλινεῦντ' ἐν ἀμφικλύστῳ
Πανός τε ματρὸς εὐνέτας, φὼρ
δίζωος, ἶνίς τ' ἀνδροβρῶτος ἰλιοραίστας
ἦρ' ἀρδίων ἐς Τευκρίδ' ἄγαγον τρίπορθον.

T. I. p. 414. ## ΦΑΝΟΚΛΕΟΥΣ.

I.

Ἦ ὡς Οἰάγροιο πάϊς, Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην.
πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων
ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ·
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶνες
ἔτρυχον, θαλερὸν δερκόμενον Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον, εὐμήκη φάσγανα θηξάμεναι,
οὕνεκα πρῶτον ἔδειξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
ἄῤῥενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον· αὐτίκα δ' αὐτὴν
εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ,
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα·
ἠχὴ δ' ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ', αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας, καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει· πασέων τ' ἐστὶν ἀοιδοτάτη.

I. 9. Scr. πρῶτος. 17. Fort. νῆσόν τ'.

Θρῇκες δ' ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν T. I. p. 415.
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι
κυάνεα, στυγεροῦ μὴ λελάθοιντο φόνου·
ποινὰς δ' Ὀρφῆϊ κταμένῳ στίζουσι γυναῖκας
εἰσέτι νῦν, κείνης εἵνεκεν ἀμπλακίης.

II.

Ἀλλὰ τὸ Μοιράων νῆμ' ἄλυτον, οὐδέ τιν' ἔστιν
ἐκφυγέειν, ὁπόσοι γῆν ἐπιφερβόμεθα.

ΝΙΚΑΙΝΕΤΟΥ p. 416
ΣΑΜΙΟΥ.

I.

Ἡρῷσσαι, Λιβύων οὖρος ἄκτιον αἵτε νέμεσθε,
αἰγίδι καὶ στρεπτοῖς ζωσάμεναι θυσάνοις,
τέκνα θεῶν, δέξασθε Φιλητίδος ἱερὰ ταῦτα
δράγματα, καὶ ξηροὺς ἐκ καλάμης στεφάνους,
ἅσσ' ἀπὸ λικμητοῦ δεκατεύεται· ἀλλὰ καὶ οὕτως
ἡρῷσσαι, Λιβύων χαίρετε δεσπότιδες.

II.

Εἰς ἄγαλμα Ἑρμοῦ.

Αὐτόθεν ὀστράκινόν με καὶ ἐν ποσὶ γήϊνον Ἑρμῆν
ἔπλασεν ἀψῖδος κύκλος ἑλισσόμενος.
πηλὸς ἐφυράθην· οὐ ψεύσομαι. ἀλλ' ἐφίλησα,
ὦ ξεῖν', ὀστρακέων δύσμορον ἐργασίην.

I. 1. Cod. ἄκριτον.

T. I.

III.

Οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν, ἀλλ' ἐπ' ἀρούρης
δαίνυσθαι, Ζεφύρου πνεύμασι τερπόμενος.
ἀρκεῖ μοι κοίτη μὲν ὑπὸ πλευροῖσι χαμεύνα·
ἐγγὺς γὰρ προμάλου δέμνιον ἐνδαπίης,
καὶ λύγος, ἀρχαῖον Καρῶν στέφος. ἀλλὰ φερέσθω
οἶνος, καὶ Μουσέων ἡ χαρίεσσα λύρη,
p. 417. θυμήρεις πίνοντες ὅπως Διὸς εὐκλέα νύμφην
μέλπωμεν, νήσου δεσπότιν ἡμετέρης.

IV.

Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ·
ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.
ταῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν, οὐχ ἑνὸς ἀσκοῦ
Κρατῖνος, ἀλλὰ παντὸς ἀδωδὼς πίθου.
τοιγάρτοι στεφάνων δόμος ἔβρυεν, εἶχε δὲ κιττῷ
μέτωπον, οἷα καὶ σύ, κεκροκωμένον.

V.

Ἠρίον εἰμὶ Βίτωνος, ὁδοιπόρε· εἰ δὲ Τορώνην
εἰς κλειτὴν λείπων ἔρχεαι Ἀμφίπολιν,
εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
Στρύμων, ἥ τ' ἐρίφων ὤλεσε πανδυσίη.

VI.

Αὐτὰρ ὅ γε προτέρωσε κιὼν Οἰκούσιον ἄστυ
κτίσσατο· Τραγασίῃ δὲ Καλαινοῦς εἴχετο παιδί,
ἥ οἱ Καῦνον ἔτικτεν ἀεὶ φιλέοντα θέμιστας·
γείνατο δὲ ῥαδαλῆς ἐναλίγκιον ἀρκεύθοισι
Βυβλίδα, τῆς ἤτοι ἀέκων ἠράσσατο Καῦνος.

βῆ δ' ἐπ' ἔραν Δίας, φεύγων ὀφιώδεα Κύπρον, T. I.
καὶ Κράγος ὑλιγενὴς, καὶ Κάρια ἱρὰ λοετρά·
ἔνθ' ἤτοι πτολίεθρον ἐδείματο πρῶτος Ἰώνων.
αὐτὴ δὲ γνωτὴ ὀλολυγόνος οἶκτον ἔχουσα,
Βυβλὶς, ἀπὸ προπύλων Καύνου ὠδύρατο νόστον.

ΑΛΕΞΑΝΔΡΟΥ p. 418.

ΤΟΥ ΑΙΤΩΛΟΥ.

I.

Πίγρης ὀρνίθων ἄπο δίκτυα, Δᾶμις ὀρείων,
Κλείτωρ δ' ἐμβυθίων, σοὶ τάδε, Πὰν, ἔθεσαν,
ξυνὸν ἀδελφειοὶ θήρης γέρας, ἄλλος ἀπ' ἄλλης,
ἰδρεῖτα καὶ γαίης, ἰδρεῖτα καὶ πελάγευς.
ἀνθ' ὧν τῷ μὲν ἁλὸς, τῷ δ' ἠέρος, ᾧ δ' ἀπὸ δρυμῶν
πέμπε κράτος ταύτῃ, δαῖμον, ἐπ' εὐσεβίῃ.

II.

Εἰς Ἀφροδίτην ὡπλισμένην.

Αὐτάν που τὰν Κύπριν ἀπηκριβώσατο Παλλὰς,
τᾶς ἐπ' Ἀλεξάνδρου λαθομένα κρίσιος.

III.

Σάρδιες, ἀρχαῖος πατέρων νομὸς, εἰ μὲν ἐν ὑμῖν
ἐτρεφόμαν, χέρνας ἦν τις ἂν, ἢ βακέλας
χρυσοφόρος, ῥήσσων καλὰ τύμπανα· νῦν δέ μοι Ἀλκμὰν
οὔνομα, καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,

III. 2. Cod. Vat. κέρνας.

T. I. καὶ Μούσας ἐλάην Ελικωνίδας, αἵ με τυράννου
θῆκαν Δασκύλεω μείζονα καὶ Γύγεω.

p. 419.

IV.

Εκ τῶν Μουσῶν.

Αλλ' ὅ γε πευθόμενος πάγχυ Γραικοῖσι μελέσθαι
Τιμόθεον, κιθάρης ἴδμονα καὶ μελέων,
υἱὸν Θερσάνδροιο, τὸν ἤνεσεν ἀνέρα σίγλων
χρυσείων ἱερῇ δὴ τότε χιλιάδι,
ὑμνῆσαι ταχέων Ωπιν βλήτειραν ὀϊςῶν·
ἡ δ' ἐπὶ Κεγχρειῶν τίμιον οἶκον ἔχει.

μηδὲ θεῆς προλίπῃ Λητωΐδος ἀγλαὰ ἔργα. . . ἂ

V.

Εκ τοῦ Απόλλωνος.

Παῖς Ιπποκλῆος Φόβιος Νειληϊάδαο
ἔςαι Ιθαιγενέων γνήσιος ἐκ πατέρων.
τῷ δ' ἄλοχος μνηςὴ δόμον ἕξεται· ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης,
Ασσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ανθεὺς,
ὅρκι' ὁμηρείης πίς' ἐπιβωσάμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· οὐδὲ Μελίσσῳ
Πετρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θαλλήσει μέγαν υἱὸν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔςαι, καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·
Ανθεὺς Ερμείῃ ταχινῷ φίλος, ᾧ ἔνι νύμφη
μακινὰς ἄφαρ σχήσει τὸν λιθόλευςον ἔρον.

καὶ

III. 6. Fort. θῆκαν Κανδαύλεω μ.
IV. 1. Scr. πάγχυ. 3. Scr. ἤνυσεν.
V. 1. Scr. Νηληϊάδαο. 8. Πειρήνης.

καί ἑ, καθαψαμένη γούνων, ἀτέλεστα κομίσσαι T. I.
πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος,
σπονδάς τε Φοβίου, καὶ ἅλα ξυνήια θαλάσσης,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος.
ἡ δ', ὅταν ἀρνῆται μέλεον γάμον ἀγλαὸς Ἀνθεύς, p. 420.
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα, λόγος δέ οἱ ἔσσεται οὗτος·
Γαυλός μοι χρύσεος φρείατος ἐκ μυχάτου
ἄρτι γ' ἀνελκόμενος διὰ μὲν κάλον ἥρικεν ὕγρῳ,
αὐτὸς δ' ἐς Νύμφας ᾤχετ' ἐφυδριάδας·
πρὸς σὲ θεῶν, ἀλλ' εἴ μοι (ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηΐδίην οἶμον τοῦδ' ἔμεναι τομίου)
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης.
ὧδε μὲν ἡ Φοβίου Νειλιάδαο δάμαρ
φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς, ἀπὸ μὲν Λελεγήϊον εἶμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμένης·
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει.
καὶ τόθ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος
ἠρίον οἰκήσει τὸ μεμορμένον· ἡ δ' ὑπὸ δειρὴν
ἁψαμένη, σὺν τῷ βήσεται εἰς Ἀΐδην.

V. 15. ξ. τραπέζης. 21. νεῦον ἀνελκόμενος. Vulgo: νῦν δ' γ' ἀν.. et ἥρικε νῦσιν. 25. Vulgo τοὶ ἂν μετά. 26. Scr. Νηλιάδαο.

T. I. p. 421.

ΦΑΛΑΙΚΟΥ.

I.

Νικῶ δίαυλον. ἀλλ' ἐγὼ παλαίων.
ἐγὼ δὲ πεντάεθλον. ἀλλ' ἐγὼ πύξ.
καὶ τίς τυ; Τιμόδημος. ἀλλ' ἐγὼ Κρῆς.
ἐγὼ δὲ Κρηθεύς. ἀλλ' ἐγὼ Διοκλῆς.
καὶ τίς πατήρ τοι; κλεινὸς ὥσπερ ὔμμιν.
ἔμπη δὲ νίκης; Ισθμοῖ. ἢ τὺ δ' ἔμπη;
Νέμειον ἂν λειμῶνα, καὶ παρ' Ἥρᾳ.

II.

Τοῦτ' ἐγὼ τὸ περισσὸν εἰκόνισμα,
τοῦ κωμῳδογέλωτος εἰς θρίαμβον,
κισσῷ καὶ στεφάνοισιν ἀμπυκασθὲν,
ἔστασ', ὄφρα Λύκωνι σᾶμ' ἐπείη.
ὅσσα γὰρ κατέπραξε λαμπρὸς ἀνὴρ,
μνᾶμα τοῦ χαρίεντος ἔν τε λέσχᾳ
ἔν τ' οἴνῳ τόδε κἠπὶ τοῖς ἔπειτα
ἄγκειται, παράδειγμα τᾶς ὀπωπᾶς.

III.

Στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα,
καὶ σκύλος ἀμφιδόρου στικτὸν ἀχαιΐνεω
καὶ κορυβαντείων ἰαχήματα χάλκεα ῥόπτρων
καὶ θύρσου χλοερὸν κωνοφόρου κάμακα,

καὶ κύφοιο βαρὺν τυπάνου βρόμον, ἠδὲ φορηθὲν T. I. p. 422.
πολλάκι μιτροδέτου λίκνον ὕπερθε κόμης
Εὐάνθη Βάκχῳ, τὴν ἔντρομον ἁνίκα θύρσοις
ἄτρομον εἰς προπόσεις χεῖρα μετημφίασεν.

IV.

Φεῦγε θαλάσσια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλῃ,
εἴ τι τοι ἡδὺ μακρῆς πεῖρατ' ἰδεῖν βιοτῆς·
ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος· εἰν ἁλὶ δ' οὔ πως
εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

V.

Φῶκος ἐπὶ ξείνης μὲν ἀπέφθιτο· κῦμα γὰρ μέλαν
ναῦς οὐχ ὑπεξήνεικεν, οὐδ' ἐσέξατο·
ἀλλὰ κατ' Αἰγαίοιο πόρον βαθὺν ᾤχετο πόντου,
βίῃ Νότου πρήσαντος ἐσχάτην ἅλα.
τύμβου δ' ἐκ πατέρων κενεοῦ λάχεν, ὃν πέρι Πρόμηθις
μήτηρ, λυγρῇ γ' ὄρνιθι πότμον εἰκέλη,
αἲ αἴ, κωκύει τὸν ἐὸν γόνον ἤματα πάντα,
λέγουσα τὸν πρόμορον ὡς ἀπέφθιτο.

VI. T. I. p. 528.

Χρυσωτὸν κροκόεντα περιζώσασα χιτῶνα
τόνδε Διωνύσῳ δῶρον ἔδωκε Κλεώ,
οὕνεκα συμποσίοισι μετέπρεπεν· ἶσα δὲ πίνειν
οὔτις οἱ ἀνθρώπων ἤρισεν οὐδαμά πω.

VI. 1. Scr. κροκοεντόν.

T. I. p. 461.

ΚΑΛΛΙΜΑΧΟΥ

ΚΥΡΗΝΑΙΟΥ.

4.

I.

Ἐχθαίρω τὸ ποίημα τὸ κυκλικὸν, οὐδὲ κελεύθῳ
χαίρω, τὶς πολλοὺς ὧδε καὶ ὧδε φέρει·
μισέω καὶ περίφοιτον ἐρώμενον, οὔτ' ἀπὸ κρήνης
πίνω· σικχαίνω πάντα τὰ δημόσια.
Λυσανίη, σὺ δὲ ναίχι καλὸς καλός· ἀλλὰ πρὶν εἰπεῖν
ὧδε σαφῶς, ἠχώ φησί τις· ΑΛΛΟΣ ΕΧΕΙ.

II.

Ἔγχει, καὶ πάλιν εἰπὲ, Διοκλέος· οὐδ' Ἀχελῶος
κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων.
καλὸς ὁ παῖς, Ἀχελῶε, λίην καλός· εἰ δέ τις οὐχὶ
φησὶν, ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

III.

Θεσσαλικὲ Κλεόνικε τάλαν, τάλαν, οὐ μὰ τὸν ὀξὺν
ἥλιον, οὔ σ' ἔγνων· σχέτλιε, πῆ γέγονας;
σοι καὶ μοῦνον ἔτι τρίχες. ἦ ῥά σε δαίμων
ὡμὸς ἔχει, χαλεπῇ δ' ἤντεο θευμορίῃ;
ἔγνων, Εὐξίθεός σε συνήρπασε, καὶ σὺ παρελθὼν
τὸν καλὸν, ὦ μόχθηρ', ἔβλεπες ἀμφοτέροις.

Valck. in Fragm. Callim. Eleg. leg. τίς h. e. ποῖος. et Soph. Trach. 311. ... ib. καὶ ξυνὸς ἐστ' ὀστέα σοι καὶ μοῦνον ... τρίχες ossa tibi adhuc i. e. sola sunt et pellis; non amplius capilli.

IV.

p. 462. Ἥμισύ μευ ψυχῆς ἔτι τὸ πνέον, ἥμισυ δ' οὐκ οἶδ'
εἴτ' Ἔρος, εἴτ' Ἀΐδης ἥρπασε· πλὴν ἀφανές.

ἢ ῥά τιν᾽ ἐς παίδων πάλιν ᾤχετο. καὶ μὲν ἀπεῖπον T. I.
πολλάκι· Τὴν δρῆστιν μὴ ὑπόδεχθε, νέοι.
οὐκ εἰς Κηφισσόν; ἐκεῖσε γὰρ ἡ λιθόλευστος
κείνη καὶ δύσερως οἶδ᾽ ὅτ᾽ ἐπιστρέφεται.

V.

Εἰ μὲν ἑκὼν, Αρχῖν᾽, ἐπεκώμασα, μυρία μέμφου·
εἰ δ᾽ ἄκων ἥκω, τὴν προπέτειαν ἔχε.
Ἄκρητος καὶ Ερως ἔμ᾽ ἀνάγκασαν, ὧν ὁ μὲν αὐτῶν
εἷλκεν, ὁ δ᾽ οὐκ εἴα σώφρονα θυμὸν ἔχειν·
ἐλθὼν δ᾽ οὐκ ἐβόησα τίς ἢ τίνος, ἀλλ᾽ ἐφίλησα
τὴν φλιήν. εἰ τοῦτ᾽ ἐστ᾽ ἀδίκημ᾽, ἀδικῶ.

VI.

Εστι τι, ναὶ τὸν Πᾶνα, κεκρυμμένον, ἔστι τι ταύτῃ,
ναὶ μὰ Διώνυσον, πῦρ ὑπὸ τῇ σποδιῇ·
οὐ θαρσέω. μὴ δή με περίπλεκε. πολλάκι λήθει
τοῖχον ὑποτρώγων ἡσύχιος ποταμός.
τῷ καὶ νῦν δείδοικα, Μενέξενε, μή με παρεισδὺς
οὗτος ὁ σιγέρπης εἰς τὸν ἔρωτα βάλῃ.

VII.

Οἶδ᾽ ὅτι μοι πλούτου κενεαὶ χέρες· ἀλλὰ, Μένιππε,
μὴ λέγε, πρὸς Χαρίτων, τοὐμὸν ὄνειρον ἐμοί.
ἀλγέω δὴν διὰ παντὸς ἔπος τόδε πικρὸν ἀκούων·
ναὶ, φίλε, τῶν παρά σου τοῦτ᾽ ἀνεραστότατον.

V. 6. Plutarch. τὴν φίλην.
VII. 3. Vulgo ἀ. τὴν δ.

T. I. p. 463.

VIII.

Τὸν τὸ καλὸν μελανεῦντα Θεόκριτον, εἰ μὲν ἔμ' ἔχθει,
τετράκι μισοίης· εἰ δὲ φιλεῖ, φιλέοις·
ναίχι πρὸς εὐχαίτεω Γανυμήδεος, οὐράνιε Ζεῦ,
καὶ σύ ποτ' ἠράσθης. οὐκ ἔτι μακρὰ λέγω.

IX.

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ' ἐκείνης
ἕξειν μήτε φίλον κρέσσονα, μήτε φίλην.
ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.
νῦν δ' ὁ μὲν ἀρσενικῷ θέρεται πυρί· τῆς δὲ ταλαίνης
νύμφης, ὡς Μεγαρέων, οὐ λόγος, οὔτ' ἀριθμός.

X.

Εὐδαίμων ὅτι τἄλλα μανεὶς ἀρχαῖος Ὀρέστας
λευκάρεταν μώναν οὐκ ἐμάνη μανίαν·
οὐδ' ἔλαβ' ἐξέτασιν τοῦ Φωκέος, ἅτις ἐλέγχει
τὸν φίλον, ἀλλὰ καὶ ἓν δρᾶμ' ἐδίδαξε μόνον.
ἦ τάχα καὶ τὸν ἑταῖρον ἀπώλεσε τοῦτο ποιήσας·
κἠγὼ τοὺς πολλοὺς οὐκέτ' ἔχω Πυλάδας.

XI.

Ὠγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωὸν
διφᾷ, καὶ πάσης ἴχνια δορκαλίδος,
στίβῃ καὶ νιφετῷ κεχρημένος. ἢν δέ τις εἴπῃ,
Τῆ, τόδε βέβληται θηρίον· οὐκ ἔλαβε.

VIII. 4. Cod. σὺ πίθ' ἦρ.
X. 2. Vulgo μανᾶν. Fort. λευκοχρέων πυγᾶν.

χοὐμὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν T. I.
  οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.

XII. p. 464.

Ἕλκος ἔχων ὁ ξεῖνος ἐλάνθανεν· ὡς ἀνιηρὸν
  πνεῦμα διὰ στηθέων; εἶδες, ἀνηγάγετο;
τὸ τρίτον ἡνίδ' ἔπινε· τὰ δὲ ῥόδα φυλλοβολεῦντα
  τὠνδρὸς ἀπὸ κροτάφων πάντ' ἐχέοντο χαμαί.
ὤπτηται μέγα δή τι· μὰ δαίμονας, οὐκ ἀπὸ ῥυσμῶ
  εἰκάζω· φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.

XIII.

Ληφθήσῃ πυρὶ, φεῦγε Μενέκρατες· εἶπα Πανήμου
  εἰκάδι, καὶ Λώου — τῇ τίνι; τῇ δεκάτῃ,
ἦλθεν ὁ βοῦς ὑπ' ἄροτρον ἑκούσιος. εὖγ' ἐμὸς Ερμῆς,
  εὖγ' ἐμός. οὐ παρὰ τὰς εἴκοσι μεμφόμεθα.

XIV.

Ὡς ἀγαθὰν Πολύφαμος ἀνεύρατο τὰν ἐπαοιδὰν,
  τόῤῥα μένων αἰγᾶν οὐ καθίμας' ὁ Κύκλωψ. Ingeniose conicit Ruhnk. in Valck. Fragm. Eleg. Callim. At μανίαν languidum est. Forsan: τῶ 'ραμένω, ... ἀμαθὴς, ὁ Κ.
αἱ Μοῖσαι τὸν ἔρωτα κατισχναίνοντι, Φίλιππε·
  ἦ πανακὲς πάντων φάρμακον ἁ σοφία.
τοῦτο, δοκῶ, χἀ λιμὸς ἔχει μόνον ἐς τὰ πονηρὰ
  τὠγαθόν· ἐκκόπτει τὰν φιλόπαιδα νόσον.
ἔσθ' ἁμῖν τάδ' ἕκατά γ' ἀφειδέα ποτ τὸν Ερωτα.
  τοῦτ' ναὶ κείρει τὰ πτερὰ, παιδάριον·

XII. 5. Scr. μέγα δή τι. Vulgo μεγαλωστί.
XIV. 2. Fideliter repraeſentavi in hoc verſu lect. cod. Buher. Fort. φροντίδα ποιμαίνων τὰν δυσέρωθ' ὁ Κύκλωψ. 7. Cod. ε. α. χ' ἀκαμά γ' ἀφειδέα πρὸς τὸν Ε. 8. Cod. τὰ πτ.

T. I. οὐδ' ὅσον ἀστράγαλόν σε δεδοίκομες· αἱ γὰρ ἐπῳδαὶ
οἴκοι τῶ χαλεπῶ τρώματος ἀμφότεραι.

XV.

Οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
p. 465. οὕτως ὑπνώσαις ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις· ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας.
γείτονες οἰκτείρουσι· σὺ δ' οὐδ' ὄναρ. ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη.

XVI.

Τέσσαρες αἱ Χάριτες· ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
ἄρτι ποτεπλάσθη, κἤτι μύροισι νοτεῖ
εὐαίων ἐν πᾶσιν ἀρίζαλος Βερενίκα,
ἇς ἄτερ οὐδ' αὐταὶ ταὶ Χάριτες Χάριτες.

XVII.

Μικρή τις, Διόνυσε, καλὰ πρήσσοντι ποιητῇ
ῥῆσις· ὁ μὲν ΝΙΚΩ φησὶ τὸ μακρότατον.
ᾧ δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται,
Πῶς ἔβαλες; φησί, ΣΚΛΗΡΑ ΤΑ ΓΙΓΝΟΜΕΝΑ.
τῷ μερμηρίξαντι τὰ μήνδικα τοῦτο γένοιτο
τοὔπος· ἐμοὶ δ', ὦ 'ναξ, ἡ βραχυσυλλαβίη.

XVIII.

Ὁ Λύκτιος Μενοίτας
τὰ τόξα ταῦτ' ἐπειπὼν
ἔθηκε· Τῆ, κέρας τοι
δίδωμι καὶ φαρέτρην,

Σάραπι· τοὺς δ' οὔτους T. I.
ἔχουσιν Εσπερῖται.

XIX.

Τὰ δῶρα τῇ 'φροδίτῃ
Σιμώνη περίφοιτος
[μορφὴν ἐν] εἰκόν' αὐτῆς p. 466.
ἔθηκε, τήν τε μίτρην,
ἣ μαστοὺς ἐφύλασσε . . .
. . . . . τόν τε Πᾶνα.
καὶ τοὺς ἔναντι αὐτῆς
θρῆς μάκαιρα ταρσούς.

XX.

Δήμητρι τῇ Πυλαίῃ, τῇ τοῦτον οὑκ Πελασγῶν
Ακρίσιος. τὸν νηὸν ἐδείματο, ταῦθ' ὁ Ναυκρατίτης
καὶ τῇ κάτω θυγατρὶ τὰ δῶρα Τιμόδημος
εἵσατο, τῶν κερδέων δεκατεύματα· καὶ γὰρ εὔξαθ' οὕτως.

XXI.

Καὶ πάλιν, Εἰλήθυια, Λυκαινίδος ἐλθὲ καλεύσης
ἐς λόχος, ὠδίνων ὧδε σὺν εὐτοκίῃ,
ὥς τοι νῦν μὲν, ἄνασσα, κόρης ὕπερ· ἀντὶ δὲ παιδὸς
ὕστερον εὐώδης ἄλλο τι νηὸς ἔχοι.

XXII.

Τὸ χρέος ὡς ἀπέχεις, Ασκληπιὲ, τὸ πρὸ γυναικὸς
Δημοδίκης Ακέσων ὤφελεν, ἀρξάμενος

XIX. 3. Verba uncis incluſa e coniectura ſupplevi. 5. Cod. ἡμᾶς τοὺς ἐφίλασε. Scr. ἐφίλησε. 8. Cod. θάρσους.

T.I. γινώσκειν· ἢν δ' ἄρα λάθῃ, καὶ δή μιν ἀπαιτῇς,
φησὶ παρέξεσθαι μαρτυρίην ὁ πίναξ.

XXIII.

Τῷ με Κανωπίτᾳ Καλλίστιον εἴκοσι μύξαις
πλούσιον, ἡ Κριτίου, λύχνον ἔθηκε θεῷ,
εὐξαμένα περὶ παιδὸς Ἀπελλίδος. ἐς δ' ἐμὰ φέγγη
ἀθρήσας φήσεις· Ἕσπερε, πῶς ἔπεσες;

p. 467. XXIV.

Φησὶν ὅ με στήσας Εὐαίνετος (οὐ γὰρ ἔγωγε
γινώσκω) νίκης ἀντί με τῆς ἰδίης
ἀγκεῖσθαι χάλκειον ἀλέκτορα Τυνδαρίδῃσι.
πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.

XXV.

Ἰναχίης ἕστηκεν ἐν Ἴσιδος ἡ Θάλεω παῖς
Αἰσχυλὶς, Εἰρήνης μητρὸς ὑποσχεσίῃ.

XXVI.

Τὴν ἅλιην Εὔδημος ἐφ' ἧς ἅλα λιτὸν ἐπέσθων
χειμῶνας μεγάλους ἐξέφυγε δανέων
θῆκε θεοῖς Σαμόθρᾳξι, λέγων ὅτι τήνδε κατ' εὐχὴν,
ὦ λαοὶ, σωθεὶς ἐξ ἁλὸς, ὧδ' ἔθετο.

XXVII.

Εὐμαθίην ᾐτεῖτο, διδοὺς ἐμὲ Σιμὸς ὁ Μίκκου
ταῖς Μούσαις· αἱ δὲ, Γλαῦκος ὅκως, ἔδοσαν
ἀντ' ὀλίγου μέγα δῶρον. ἐγὼ δ' ἀνὰ τήνδε κεχηνὼς
κεῖμαι τοῦ Σαμίου διπλόον, ὁ τραγικὸς

XXII. 3 δὴ Cod. non habet.

παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δὲ λέγουσιν, Γ.Ξ

ΙΕΡΟΣ Ο ΠΛΟΚΑΜΟΣ, τοὐμὸν ὄνειαρ ἐμοί.

XXVIII.

Τῆς Αγοράνακτός με λέγε, ξένε, κωμικὸν ὄντως
ἐγκεῖσθαι νίκης μάρτυρα τοῦ Ροδίου
Πάμφιλον, οὐκ ἐν ἔρωτι δεδαυμένον· ἥμισυ δ' ὀπτῇ
ἰσχάδι καὶ λύχνοις Ισιδος εἰδόμενον.

XXIX. p. 468.

Αρτεμι, τὶν τόδ' ἄγαλμα Φιληρατὶς εἵσατο τῇδε·
ἀλλὰ σὺ μὲν δέξαι, πότνια, τὴν δὲ σάου.

XXX.

ᵃΤίν με λεοντάγχωνε, συοκτόνε, φήγινον ὄζον
θῆκε . . . ᵝτίς; ᵃΑρχῖνος. ᵝποῖος; ᵃὁ Κρής. ᵝδέχομαι.

XXXI.

Κόγχος ἐγώ, Ζεφυρῖτι, παλαίτερον· ἀλλὰ σὺ νῦν με,
Κύπρι, Σεληναίης ἄνθεμα πρῶτον ἔχεις,
ναυτίλον· ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,
τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων·
εἰ δὲ γαληναίη λιπαρὴ, θέον αὐτὸς ἐρέσσων
ποσσὶν ἀεὶ, ὥς καὶ τοὔνομα συμφέρεται.
ἔς τ' ἔπεσον παρὰ θῖνας Ιουλίδος, ὄφρα γένωμαι
σοί τι περίσκεπτον παίγνιον, Αρσινόη,
μηδ' ἐμοὶ ἐν θαλάμῃσιν ἔθ', ὡς πάρος (εἰμὶ γὰρ ἄπνους)
τίκτηται νοτερῆς ὤεον ἀλκυόνος.
Κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν· οἶδε γὰρ ἐσθλὰ
ῥέζειν, καὶ Σμύρνης ἐστὶν ἀπ' Αἰολίδος.

T. I. XXXII.

Ηρως Ηετίωνος ἐπίςαθμος Αμφιπολίτεω,
ἵδρυμαι μικρῷ μικρὸς ἐπὶ προθύρῳ,
λοξὸν ὄφιν καὶ μοῦνον ἔχων ξίφος· ἀνδρὶ δὲ ἱππεῖ
θυμωθεὶς πεζὸν κἀμὲ παρῳκίσατο.

p. 469. XXXIII.

Κυνθιάδες θαρσεῖτε· τὰ γὰρ τοῦ Κρητὸς Εχέμμα
κεῖται ἐν Ορτυγίῃ τόξα παρ' Αρτέμιδι,
οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα. νῦν δὲ πέπαυται,
αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

XXXIV.

Κρεωφύλου πόνος εἰμὶ, δόμῳ ποτὲ θεῖον ἀοιδὸν
δεξαμένου· κλαίω δ' Εὔρυτον ὅσσ' ἔπαθε,
καὶ ξανθὴν Ιόλειαν. Ομήρειον δὲ καλεῦμαι
γράμμα· Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.

XXXV.

Ησιόδου τόδ' ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδῶν
ἔσχατον, ἀλλ' οὐχ' ἄκρον, καὶ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. χαίρετε λεπταὶ
ῥήσιες, Αρήτου σύμβολον ἀγρυπνίης.

XXXVI.

Ηλθε Θεαίτητος καθαρὴν ὁδόν· εἰ δ' ἐπὶ κισσὸν
τὸν τεὸν οὐχ αὕτη, Βάκχε, κέλευθος ἄγει,
ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
φθέγξονται, κείνου δ' Ελλὰς ἀεὶ σοφίαν.

XXXII. 3. Fort. καὶ γυμνόν.

XXXVII. T. I.

Ξεῖνος Ἀταρνείτης τις ἀνήρετο Πιττακὸν οὕτω
τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑῤῥαδίου·
Ἄττα γέρον, δοιός με καλεῖ γάμος. ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ·
ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε σύν μοι p. 470.
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.
εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
Ἠνίδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
(οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ)
κείνων ἔρχεο, φησὶ, μετ' ἴχνια· χὠ μὲν ἐπέστη
πλησίον· οἱ δ' ἔλεγον ΤΗΝ ΚΑΤΑ ΣΑΥΤΟΝ ΕΛΑ.
ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνι συνθέμενος.
τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἀπήγετο νύμφην,
οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

XXXVIII.

α Τίμων (οὐ γὰρ ἔτ' ἐσσὶ) τί τοι, σκότος ἢ φάος, ἐχθρόν;
β τὸ σκότος· ὑμείων πλείονες εἰν Ἀΐδῃ.

XXXIX.

Μὴ χαίρειν εἴπῃς με, κακὸν κέαρ, ἀλλὰ πάρελθε·
ἶσον ἐμοὶ χαίρειν ἐστὶ, τὸ μὴ σὲ γελᾶν.

XL.

Τίς ξένος, ὦ ναυηγέ; Λεόντιχος ἐνθάδε νεκρὸν
εὗρεν ἐπ' αἰγιαλοῖς, χῶσε δὲ τῷδε τάφῳ,

XL, 2. Cod. αἰγιαλὲς.

T. I. δακρύσας ἐπίκηρον ἑὸν βίον· οὐδὲ γὰρ αὐτὸς
ἥσυχος, αἰθυίῃ δ' ἶσα θαλασσοπορεῖ.

XLI.

Οἵτινες Ἠλείοιο παρέρπετε σῆμα Κίμωνος
ἴστε τὸν Ἱππαίου παῖδα παρερχόμενοι.

p. 471.

XLII.

Τὸν βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς
ἀκρήτου προποθεῖσ' ᾤχετ' ἔχουσα κύλιξ.

XLIII.

Τὴν Φρυγίην Αἴσχρην, ἀγαθὸν γάλα, πᾶσιν ἐν ἐσθλοῖς
Μίκκος καὶ ζωὴν οὖσαν ἐγηροκόμει,
καὶ φθιμένην ἀνέθηκεν, ἐπεσσομένοισιν ὁρᾶσθαι,
ἡ γρηῦς μαστῶν ὡς ἀπέχει χάριτας.

XLIV.

Εἰς Μενεκράτην οἰνωθέντα καὶ τελευτήσαντα.

Αἶνιε καὶ σὺ γὰρ ὧδε Μενέκρατες, οὐκέτι πουλὺς
ἦσθα. τίς ἐξεῖνον, τίς σε κατειργάσατο;
ἤρατο καὶ Κένταυρον, ὅ μοι πεπρωμένος ἦλθεν
ὕπνος· ὁ δὲ τλήμων οἶνος ἔχει πρόφασιν.

XLV.

Ἱερέη Δήμητρος ἐγώ ποτε, καὶ πάλιν Καβείρων,
ὦνερ, καὶ μετέπειτα Δινδυμήνης,
ἡ γρηῦς γενόμην, ἡ νῦν κόνις ἤνο ......
πολλῶν προστασίη νέων γυναικῶν.

XLIV. 1. Cod. αι ὅτι π. η. τί σε ξείνων ἦς σε κ. in marg. ἐξ ἴνων. Fort. — σὺ γὰρ ἦσθα, Μ., οἰνοποτάζων δεινὸς, τίς σ' οἶνος ἦδε κ.

καί μοι τέκν' ἐγένοντο δύ' ἄρσενα, κἠπέμυσ' ἐκείνων T. I.
εὐγήρως ἐνὶ χερσίν. ἔρπε χαίρων.

XLVI.

Ἀστακίδην τὸν Κρῆτα, τὸν αἰπόλον, ἥρπασε Νύμφη
ἐξ ὄρεος· καὶ νῦν ἱερὸς Ἀστακίδης.
οὐκέτι Δικταίῃσιν ὑπὸ δρυσίν, οὐκέτι Δάφνιν p. 472.
ποιμένες, Ἀστακίδην δ' αἰὲν ἀεισόμεθα.

XLVII.

Εἰς Ἡράκλειτον τὸν Ἁλικαρνασσέα ἐλεγείας ποιητήν.

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δ' ἐμὲ δάκρυ
ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που,
ξεῖν' Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
ἁρπακτὴρ Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

XLVIII.

Νάξιος οὐκ ἐπὶ γῆς ἔθανε Λύκος, ἀλλ' ἐνὶ πόντῳ
ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,
ἔμπορος Αἰγίνηθεν ὅτ' ἔπλεε. χὼ μὲν ἐν ὑγρῇ
νεκρός· ἐγὼ δ' ἄλλως οὔνομα τύμβος ἔχων,
κηρύσσω πανάληθες ἔπος τόδε· Φεῦγε θαλάσσῃ
συμμίσγειν, Ἐρίφων, ναυτίλε, δυομένων.

XLIX.

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
κοιμᾶται. θνάσκειν μὴ λέγε τοὺς ἀγαθούς.

XLVI. 3. οὐκι Δ, Cod. Vat.

T. I.

L.

Ἦν δίζῃ Τίμαρχον ἐν Ἄϊδος, ὄφρα πύθηαι
ἤ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεαι,
δίζεσθαι φυλῆς Πτολεμαΐδος, υἱέα πατρὸς
Παυσανίυ· δήεις δ' αὐτὸν ἐν εὐσεβέων.

p. 473.

LI.

ª Σύντομος ἦν ὁ ξεῖνος, ὁ καὶ τίχος ὐ μακρὰ λέξων·
Θῆρις Ἀριςαίυ Κρὴς ὑπ' ἐμοί. β δολιχόν.

LII.

Κύζικον ἢν ἔλθῃς, ὀλίγος πόνος Ἱππακὸν εὑρεῖν
καὶ Διδύμην· ἀφανὴς ὔτι γὰρ ἡ γενεή·
καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξον
τῦθ', ὅτι τὸν κείνων υἱὸν ἔχω Κριτίην.

LIII.

ª Ἦ ῥ' ὑπό σοι Χαρίδας ἀναπαύεται; β εἰ τὸν Ἀρίμμα
τῦ Κυρηναίυ παῖδα λέγεις, ὑπ' ἐμοί.
ª ὦ Χαρίδα, τί τὰ νέρθε; γ πολὺ σκότος. ª αἱ δ' ἄνοδοι, τί;
γ ψεῦδος. ª ὁ δὲ Πλύτων; γ μῦθος· ἀπωλόμεθα.
ὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδὺν
βύλει, Πελλαίυ βῦς μέγας εἰν Ἀΐδῃ.

LIV.

Δαίμονα τίς δ' εὖ οἶδε τὸν αὔριον, ἁνίκα καὶ σὲ,
Χάρμι, τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἁμετέροις,
τᾷ ἑτέρᾳ κλαύσαντες ἐθάπτομεν; ὐδὲν ἐκεῖνο
εἶδε πατὴρ Διοφῶν χρῆμ' ἀνιηρότερον.

LV.

LI. 2. Recte codd. δολιχός.

LII. 4. In Vat. cod. υἱὸν deest. In marg. τ. κ. ὦ' ἐπέχω Κρ.

LV. T. I.

Τιμονόη . . . τίς δ' ἐσσί; μὰ δαίμονας, οὔ σ' ἂν ἐπέγνων,
εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
στήλῃ, καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.

LVI. p. 474.

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
δίζονται Σαμίων πολλάκι θυγατέρες,
ἡδίσταν συνέριθον, ἀεὶ λάλον· ἡ δ' ἀποβρίζει
ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.

LVII.

Ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες. οὐ γὰρ ἂν ἡμεῖς
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν·
νῦν δ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς· ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.

LVIII.

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀνέθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

LIX.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
δυομένου Βασιλὼ κάτθανε παρθενικὴ
αὐτοχερί· ζώειν γὰρ, ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
οὐκ ἔτλη. δίδυμον δ' οἶκος ἐσεῖδε κακὸν
πατρὸς Ἀριστίπποιο· κατήφησε δὲ Κυρήνη
πᾶσα, τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

T. I.

LX.

Εἴπας ΗΛΙΕ ΧΑΙΡΕ Κλεόμβροτος ὡ᾽μβρακιώτης
ἥλατ᾽ ἀφ᾽ ὑψηλοῦ τείχεος εἰς Ἀΐδην,
ἄξιον οὔτι παθὼν θανάτου κακὸν, ἀλλὰ Πλάτωνος
ἓν, τὸ περὶ ψυχῆς, γράμμ᾽ ἀναλεξάμενος.

LXI.

p. 475.

Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον, οὔτε τι δεινὸν
ῥέζων, οὔτ᾽ ἀδικῶν οὐδένα, γαῖα φίλη,
Μίκυλος· εἴ τι πονηρὸν ἐπῄνεσα, μήτε σὺ κούφη
γίνεο, μήτ᾽ ἄλλοι δαίμονες, οἵ μ᾽ ἔχετε.

LXII.

Εἰς τὸν ἑαυτοῦ πατέρα Βάττον.

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.
εἰδείης δ᾽ ἄμφω κεν. ὁ μέν ποτε πατρίδος ὅπλων
ἦρξεν· ὁ δ᾽ ἤεισε κρέσσονα βασκανίης.
οὐ νέμεσις· Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους.

LXIII.

Εἰς τὸν ἑαυτοῦ τάφον.

Βαττιάδεω παρὰ σῆμα φέρεις πόδας, εὖ μὲν ἀοιδὴν
εἰδότος, εὖ δ᾽ οἴνῳ καίρια συγγελάσαι.

LXI. 3. Vat. Cod. Μείκυλος.

ΜΕΝΕΚΡΑΤΟΥΣ T. I. p. 476.

ΣΜΥΡΝΑΙΟΥ.

I.

Παισὶν ἐπὶ προτέροις ἤδη τρίτον ἐν πυρὶ μήτηρ
θεῖσα, καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
τέτρατον ἄλγος ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδήλους
ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος,
Οὐ θρέψω, λέξασα, τί γὰρ πλέον Ἀΐδι μαστοὶ
κάμνετε; κερδήσω πένθος ἀμοχθότερον.

II.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ p. 477.

ΚΥΡΗΝΑΙΟΥ.

I.

[Ἐκ τῆς Ἠριγόνης.]

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ· κυμαίνει δ', οἷα Λίβυσσαν ἅλα
Βορρᾶς ἠὲ Νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

T.I.

II.

Ἐκ τοῦ Ἑρμοῦ.

Lectt.p.111. Αὐτὴν μέν μιν ἔτετμε μεσηρέα παντὸς Ὀλύμπου
κέντρου ἐπὶ σφαίρας, διὰ δ' ἄξονος ἠρήρειστο.
T.I.p.477. πέντε δέ οἱ ζῶναι περιειλάδες ἐσπείρηντο·
αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο,
ἡ δὲ μία ψαφαρή τε, καὶ ἐκ πυρὸς οἷον ἐρυθρή.
ἡ μὲν ἔην μεσάτη, ἐκέκαυτο δὲ πᾶσα περὶ πρὸ
τυπτομένη φλογμοῖσιν, ἐπεί ῥά ἑ μοῖραν ὑπ' αὐτὴν
κεκλιμέναι ἀκτῖνες ἀειθερέες πυρόωσιν·
αἱ δὲ δύω ἑκάτερθε πόλοις περιπεπτηυῖαι,
αἰεὶ κρυμαλέαι, αἰεὶ δ' ὕδατι μογέουσι·
οὐ μὲν ὕδωρ, ἀλλ' αὐτὸς ἀπ' οὐρανόθεν κρύσταλλος
καὶ γαῖαν ἀμπέσχε, περίψυχος δ' ἐτέτυκτο·
ἀλλὰ τὰ μὲν χερσαῖα καὶ ἄμβατα ἀνθρώποισι.
δοιαὶ δ' ἄλλαι ἔασιν ἐναντίαι ἀλλήλῃσι
μεσσηγὺς θέρεός τε καὶ ὑετίου κρυστάλλου,
ἄμφω εὔκρητοί τε, καὶ ὄμπνιον ἀλδήσκουσαι
p.478. καρπὸν Ἐλευσινίης Δημήτερος· ἐν δέ μιν ἄνδρες
ἀντίποδες ναίουσι . . . .

II. a

Lectt.p.112. Ἦν δ' ἄρα χερνῆτίς τις ἀφ' ὑψηλοῦ πυλεῶνος
δινδαλίδας τεύχουσα, καλοὺς δ' ᾔειδεν ἰούλους.

III.

T.I.p.478. Εἰ κύβον ἐξ ὀλίγου διπλάσιον, ὦ 'γαθὲ, τεύχειν
φράζεαι, τὴν στερεὴν πᾶσαν ἐς ἄλλο φύσιν
εὖ μεταμορφῶσαι, τόδε τοι πάρα, κἂν σύ γε μάνδρην,
ἢ σιρὸν, ἢ κοίλου φρείατος εὐρὺ κύτος

τῇδ' ἀναμετρήσαιο, μέσας ὅτε τέρμασιν ἄκροις T. I.
  συνδρομάδας δισσῶν ἐντὸς ἕλῃς κανόνων.
μηδὲ σύ γ' Ἀρχύτεω δυσμήχανα ἔργα κυλίνδρων,
  μηδὲ Μενεχμείους κωνοτομεῖν τριάδας
δίζηαι· μηδ' εἴ τι θευδέος Εὐδόξοιο
  καμπύλον ἐν γραμμαῖς εἶδος ἀναγράφεται.
τοῖσδε δὲ ἐν πινάκεσσι μεσόγραφα μυρία τεύχοις
  ῥεῖά κεν, ἐκ παύρου πυθμένος ἀρχόμενος.
εὐαίων Πτολεμαῖε πατήρ, ὅτι παιδὶ συνηβῶν
  πάνθ' ὅσα καὶ Μούσαις καὶ βασιλεῦσι φίλα
αὐτὸς ἐδωρήσω· τὸ δ' ἐς ὕστερον, οὐράνιε Ζεῦ,
  καὶ σκήπτρων ἐκ σῆς ἀντιάσειε χερός.
καὶ τὰ μὲν ὣς τελέοιτο, λέγοι δέ τις ἄνθεμα λεύσσων·
  Τοῦ Κυρηναίου τοῦτ' Ἐρατοσθένεος.

ΡΙΑΝΟΥ. p. 479.

I.

Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα
ἄνθρωποι, φέρομεν δὲ θεῶν ἑτερόῤῥοπα δῶρα
ἀφραδέῃ κραδίῃ. βιότοιο μὲν ὅς κ' ἐπιδευὴς
στρωφᾶται, μακάρεσσιν ἔπι ψόγον αἰνὸν ἰάπτει,
ἀχνύμενος· σφετέρην δ' ἀρετὴν καὶ θυμὸν ἀτίζει,
οὐδέ τι θαρσαλέος νοέειν ἔπος, οὐδέ τι ῥέξαι,
ἐῤῥίγως, ὅταν ἄνδρες ἐχεκτέανοι παρέωσι·
καί οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀϊζύς.

I. 3. Scr. ἀφραδίῃ.

T.I. ὃς δέ κεν εὐοχθῇσι, θεὸς δ' ἐπὶ ὄλβον ὀπάζει,
καὶ πολυκοιρανίην, ἐπιλήθεται οὕνεκα γαῖαν
ποσσὶν ἐπιστείβει, θνητοὶ δέ οἱ εἰσὶ τοκῆες·
ἀλλ' ὑπεροπλίῃ καὶ ἁμαρτωλῇσι νόοιο
ἶσα Διὶ βρομέει, κεφαλὴν δ' ὑπὲρ αὐχένας ἴσχει,
καί περ ἐὼν ὀλίγος· μνᾶται δ' εὔπηχυν Ἀθήνην,
ἠέ τιν' ἀτραπιτὸν τεκμαίρεται Οὔλυμπόνδε,
ὥς κε μετ' ἀθανάτοις ἐναρίθμιος εἰλαπινάζῃ.
ἡ δ' Ἄτη ἁπαλοῖσι μετατρωχῶσα πόδεσσιν
ἄκρῃς ἐν κεφαλῇσιν ἀνώϊστος καὶ ἄφαντος,
ἄλλοτε μὲν γραίῃσι νεωτέρη, ἄλλοτε δ' αὖτε
ὁπλοτέρῃσι γρηῦς ἐφίσταται ἀμπλακίῃσι,
Ζηνὶ θεῶν κρείοντι, Δίκῃ τ' ἐπίηρα φέρουσα.

p. 480. II.

Ὦραί τοι Χάριτές τε κατὰ γλυκὺ χεῦαν ἔλαιον,
ὦ πυγά, κνώσσειν οὐδὲ γέροντας ἐᾷς.
λέξον μοι τίνος ἐσσὶ μάκαιρά τυ, καὶ τίνα παίδων
κοσμεῖς. ἁ πυγὰ δ' εἶπε· Μενεκράτεος.

III.

Η Τροιζὴν ἀγαθὴ κουροτρόφος· οὐκ ἂν ἁμάρτοις
αἰνήσας παίδων οὐδὲ τὸν ὑστάτιον.
τόσσον δ' Ἐμπεδοκλῆς φανερώτερος, ὅσσον ἐν ἄλλοις
ἄνθεσιν εἰαρινοῖς καλὸν ἔλαμψε ῥόδον.

I. 9. Scr. ὀπάζῃ. 21. Scr. ἐπὶ ἦρα φ.

III. 2. Apogr. Buher. ἀνήσας. aliud apogr. δινήσας. Fort. βινήσας.

IV.

T. I.

Οἱ παῖδες λαβύρινθος ἀνέξοδος· ᾗ γὰρ ἂν ὄμμα
ῥίψῃς, ὡς ἰξῷ τοῦτο προσαμπέχεται.
τῇ μὲν γὰρ Θεόδωρος ἄγει ποτὶ πίονα σαρκὸς
ἀκμὴν, καὶ γυίων ἄνθος ἀκηράσιον·
τῇ δὲ Φιλοκλῆος χρύσεον ῥέθος, ὅστε καθ' ὕψος
οὐ μέγας, οὐρανίη δ' ἀμφιτέθηλε χάρις.
ἢν δ' ἐπὶ Λεπτίνεω στρέψῃς δέμας, οὐκέτι γυῖα
κινήσεις, ἀλύτῳ δ' ὡς ἀδάμαντι μενεῖς,
ἴχνια κολληθείς· τοῖον σέλας ὄμμασιν αἴθει
κοῦρος, καὶ νεάτους ἐκ κορυφῆς ὄνυχας.
χαίρετε καλοὶ παῖδες, ἐς ἀκμαίην δὲ μολεῖτε
ἥβην, καὶ λευκὴν ἀμφιέσασθε κόμην.

V.

Ἦ ῥά νυ σοὶ, Κλεόνικε, δι' ἀτραπιτοῖο κιόντι
στεινῆς, ἠντήσανθ' αἱ λιπαραὶ Χάριτες.
καί σε ποτὶ ῥοδέῃσιν ἐπηχύναντο χέρεσσι, p. 481.
κοῦρε, πεποίησαι δ' ἡλίκος ἐσσὶ χάριν.
τηλόθι μοι μάλα χαῖρε· πυρὸς δ' οὐκ ἀσφαλὲς ἆσσον
ἕρπειν αὐηλὴν, ὦ φίλος, ἀνθερίκαν.

VI.

Ἰξῷ Δεξιόνικος ὑπὸ χλωρῇ πλατανίστῳ
κόσσυφον ἀγρεύσας, εἷλε κατὰ πτερύγων·

IV. 2. Cod. ῥίψως ἰξῷ. 5. Cod. ὃς τὸ καθ' — Scr. ὅς γε κ.
7. ἣν δ' ἔπι. Cod.
V. 4. Apogr. Buher. ἐσὶ χάριν. In alio ἐσσί.

T. I. χὠ μὲν ἀναστενάχων ἐπεκώκυεν ἱερὸς ὄρνις.
ἀλλ' ἐγὼ, ὦ φίλ' Ερως, καὶ θαλεραὶ Χάριτες,
εἴην καὶ κίχλη καὶ κόσσυφος, ὡς ἂν ἐκείνῳ
ἐν χερὶ καὶ φθογγὴν καὶ γλυκὺ δάκρυ βάλω.

VII.

Αγρεύσας τὸν νεβρὸν ἀπώλεσα, χὠ μὲν ἀνατλὰς
μυρία, καὶ στήσας δίκτυα καὶ στάλικας,
σὺν κενεαῖς χείρεσσιν ἀπέρχομαι· οἱ δ' ἀμογητὶ
τἀμὰ φέρουσιν, Ερως, οἷς σὺ γένοιο βαρύς.

VIII.

Τὸ ῥόπαλον τῷ Πανὶ καὶ ἰοβόλον Πολύαινος
τόξον, καὶ κάπρου τούσδε καθᾶψε πόδας,
καὶ ταύταν γωρυτὸν, ἐπαυχένιόν τε κυνάγχαν
θῆκεν ὀρειάρχᾳ δῶρα συαγρεσίης.
ἀλλ', ὦ Πὰν σκοπιῆτα, καὶ εἰς ὀπίσω Πολυαίνου
εὔαγρον πέμποις υἱέα Σιμύλεω.

IX.

Αχρυλὶς ἡ Φρυγίη θαλαμηπόλος, ἡ περὶ πεύκας
πολλάκι τοὺς ἱεροὺς χευαμένη πλοκάμους,
p. 482. γαλλαίῳ Κυβέλης ὀλολύγματι πολλάκι δοῦσα
τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ στομάτων,
τάσδε θεῇ χαίτας περὶ δικλίδι θῆκεν ὀρείᾳ,
θερμὸν ἐπεὶ λύσσης ὧδ' ἀνέπαυσε πόδα.

VI. 3. ἀπεκώκυεν. Cod. Buher. In alio ἀπεκώκυσε.
VIII. 4. Codd. συναγρεσίης.
IX. 1. Codd. Αγρυλίς. 6. Cod. λύσσας.

X. T.I.

Παῖς Ἀσκληπιάδεω καλῷ καλὸν εἵσατο Φοίβῳ
 Κόργος ἀφ' ἱμερτᾶς τοῦτο γέρας κεφαλᾶς.
Φοῖβε, σὺ δ' ἵλαος Δελφίνιε κοῦρον ἀέξοις
 εὔμοιρον λευκὴν ἄχρις ἐφ' ἡλικίην.

XI. T.II.p.526.

Ημισυ μὲν πίσσης κωπίτιδος, ἥμισυ δ' οἴνου,
 Ἀρχῖν', ἀτρεκέως ἥδε λάγυνος ἔχει·
λεπτότερον δ' οὐκ οἶδ' ἐρίφου κέρας. πλὴν ὅγε πέμψας
 αἰνεῖσθαι πάντων ἄξιος Ἱπποκράτης.

ΗΔΥΛΟΥ. T.II.p.526.

I.

Πίνωμεν· καὶ γάρ τι νέον, καὶ γάρ τι παρ' οἶνον
 εὕροιμεν λεπτὸν καί τι μελιχρὸν ἔπος.
ἀλλὰ κάδοις Χίου με κατάβρεχε, καὶ λέγε, ΠΑΙΖΕ
 ΗΔΥΛΕ. μισῶ ζῆν εἰς κενὸν, οὐ μεθύων.

II.

Εξ ἠοῦς εἰς νύκτα, καὶ ἐκ νυκτῶν Πασισωκλῆς
 εἰς ἠῶ πίνει τετραχόοισι κάδοις·
εἶτ' ἐξαίφνης που τυχὸν οἴχεται. ἀλλὰ παρ' οἶνον
 Σικελίδου παίζει πουλὺ μελιχρότερον.
ἐστὶ δὲ δὴ πουλὺ στιβαρώτερος. ὡς δ' ἐπιλάμπει
 ἡ χάρις. ὥστε, φίλε, καὶ γράφε καὶ μέθυε.

XI. 1. Scr. κωνίτιδος.

III.

Ἑφθὸς ὁ καλλίχθυς. νῦν ἔμβαλε τὴν βαλανάγραν,
ἔλθῃ μὴ Πρωτεὺς Ἀγις ὁ τῶν λοπάδων.
T.II.p.527. γίνεθ' ὕδωρ καὶ πῦρ, καὶ ὃ βούλεται. ἀλλ' ἀπόκλειε . . .

ἥξει γὰρ τοιαῦτα μεταπλασθεὶς, τυχὸν, ὡς Ζεὺς,
χρυσορόης, ἐπὶ τήνδ' Ἀκρισίου λοπάδα.

IV.

Ὀψοφάγει, Κλειοῖ, καταμύομεν· ἢν δὲ θελήσῃς,
ἔσθε μόνη· δραχμῆς ἐστιν ὁ γόγγρος ἅπας.
θὲς μόνον ἢ ζώνην, ἢ ἐνώτιον, ἤ τι τοιοῦτον
σύσσημον. τὸ δ' ὁρᾶν μὴ μόνον οὐ λέγομεν.
ἡμετέρη σὺ Μέδουσα· λιθούμεθα ὡς τὰ πάλαι που,
οὐ Γοργοῦς, γόγγρου δ' οἱ μέλεοι λοπάδι.

T.I.p.483. V. (I.)

Οἶνος καὶ προπόσεις κατεκοίμισαν Ἀγλαονίκην
αἱ δόλιαι, καὶ ἔρως ἡδὺς ὁ Νικαγόρεω,
ἧς πάρα Κύπριδι ταῦτα μύροις ἔτι πάντα μυδῶντα
κεῖται, παρθενίων ὑγρὰ λάφυρα πόθων,
σάνδαλα, καὶ μαλακαὶ, μαστῶν ἐκδύματα, μίτραι
ὕπνου καὶ σκυλμῶν τῶν τότε μαρτύρια.

VI. (II.)

Αἱ μίτραι, τό θ' ἁλουργὲς ὑπένδυμα, τοί τε Λάκωνες
πέπλοι, καὶ λιρῶν χρύσεοι οἱ κάλαμοι·
πάνθ' ἅμα Νικονόη συνεπέκπισεν. ἦν γὰρ Ἐρώτων
καὶ Χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
τοιγὰρ τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ
νεβρίδα, καὶ χρυσέην τήνδ' ἔθετο πρόχοην.

VII. (III.) T.I.

Ἡ διαπινομένη Καλλίστιον ἀνδράσι (θαῦμα,
κοὐ ψευδές) νῆστις τρεῖς χόας ἐξέπιεν·
ἧς τόδε σοι, Παφίη, ζωρὸν μετρεῦσα θυῶεν,
κεῖται πορφυρέης Λέσβιον ἐξ ὑέλου·
ἥν γε σάου πάντως, ὡς καὶ πάντως ἀπ' ἐκείνης
σοὶ τοίχοι γλυκερῶν σκῦλα φέρωσι πότων.

VIII. (IV.)

Ζωροπόται, καὶ τοῦτο φιλοζεφύρου κατὰ νηὸν
τὸ ῥυτὸν εἰδυίης δεῦτ' ἴδετ' Ἀρσινόης,
ὀρχηστὴν Βήσαν Αἰγύπτιον, ὃς λιγὺν ἦχον p.484.
σαλπίζει, κρουνοῦ πρὸς ῥύσιν οἰγομένου,
καὶ πολέμου σύνθημα, διὰ χρυσέου τε γεγωνεῖ
κώδωνος κώμου σύνθεμα καὶ θαλίης,
Νεῖλος ὁποῖον ἄναξ μύσταις φίλον ἱεραγωγοῖς
εὗρε μέλος θείων πάτριον ἐξ ὑδάτων.
ἀλλὰ Κτησιβίου σοφὸν εὕρεμα τίετε τοῦτο,
δεῦτε νέοι νηῷ τῷδε παρ' Ἀρσινόης.

IX. (V.)

Ἄγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ·
ἀλλ' ὅσον εἰσῆλθε, κᾤχετ' Ἀρισταγόρης.
ποῦ τοίην ἀκόνιτον ἔχει φύσιν; ὦ σοροπηγοί,
Ἄγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

X. (VI.)

Λυσιμελοῦς Βάκχου, καὶ λυσιμελοῦς Ἀφροδίτης
γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

(IV.) 2. Scr. Ἱππείης δεῦτ'.

T.I. XII. (VII.)

Τοῦτο Θέων ὁ μόναυλος ὑπ' ἠρίον ὁ γλυκὺς οἰκεῖ
αὐλητὴς, μίμων κἠν θυμέλῃσι χάρις.
τυφλὸς ὑπαὶ γήρως. | εἶχεν καὶ Σκίρπαλον υἱὸν,
νήπιον ὢκ αὐλεῖν Σκίρπαλον, εὐπάλαμον
ἀείδειν αὐτοῦ τὰ γενέθλια. τοῦτο γὰρ εἶχε,
τοῦτο πανημερίων ἡδὺ μάθημα νέων.
ηὔλει δὲ γλεύκους μεμεθυσμένα παίγνια Μουσῶν,
ἢ τὸν ἐν ἀκρήβοις Βάτταλον ἡδυπότην,
ἢ τὸν Κώταλον, ἢ τὸν Πάγκαλον. ἀλλὰ Θέωνα
τὸν καλαμαυλήτην εἴπατε, Χαῖρε Θέων.

---

p. 485. 'ΣΑΜΙΟΥ.

I.

Δέρμα καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος
Ἀμφιτρυωνιάδα κείμεθ' ἀνὰ πρόπυλον,
τεσσαρακαιδεκάδωρα, τὸν αὐχήεντα Φιλίππῳ
ἀντόμενον, κατὰ γᾶς ἤλασε δεινὸς ἄκων,
βούβοτον Ὀρβήλοιο παρὰ σφυρόν. ἁ πολύολβος
Ἠμαθία τοίῳ κραίνεται ἁγεμόνι.

II.

Σοὶ γέρας, Ἀλκείδα Μινυαμάχε, τοῦτο Φίλιππος
δέρμα ταναιμόκου λευρὸν ἔθηκε βοὸς
αὐτοῖς σὺν κεράεσσι, τὸν ὕβρει κυδιόωντα
ἔσβεσεν Ὀρβηλοῦ τρηχὺν ὑπὸ πρόποδα.

ὁ φθόνος αὐαίνοιτο, τεὸν δ' ἔτι κῦδος ἀέξοι T. I.
ῥίζα Βεροιαίου κράντορος Ἠμαθίας.

ΑΛΚΑΙΟΥ. p. 486

ΜΕΣΣΗΝΙΟΥ.

I.

Πρώταρχος καλός ἐστι, καὶ οὐ θέλει· ἀλλὰ θελήσει
ὕστερον· ἡ δ' ὥρη λαμπάδ' ἔχουσα τρέχει.

II.

Ἡ κνήμη, Νίκανδρε, δασύνεται· ἀλλὰ φύλαξαι,
μή σε καὶ ἡ πυγὴ ταὐτὸ παθοῦσα λάθῃ·
καὶ γνώσῃ φιλέοντος ὅση σπάνις. ἀλλ' ἔτι καὶ νῦν
τῆς ἀμεταβλήτου φρόντισον ἡλικίης.

III.

Ζεῦ Πίσης μεδέων, Πειθήνορα, δεύτερον υἷα
Κύπριδος, αἰπεινῷ στέψον ὑπὸ Κρονίῳ·
μηδέ μοι οἰνοχόον κυλίκων σέθεν αἰετὸς ἀρθεὶς
μάρψαις ἀντὶ καλοῦ, κοίρανε, Δαρδανίδου.
εἰ δέ τι Μουσάων τοι ἐγὼ φίλον ὤπασα δῶρον,
νεύσαις μοι θείου παιδὸς ὁμοφροσύνην.

IV.

Ἐχθαίρω τὸν Ἔρωτα. τί γὰρ βαρὺς οὐκ ἐπὶ θῆρας
ὄρνυται, ἀλλ' ἐπ' ἐμὴν ἰοβολεῖν κραδίην;

II. 4. Scr. ἀμετακλήτου.
III. 2. Cod. αἰπεινῆ ὑποκρόνια. Scr. ὑπὸ Κρονίῳ.

T. I. τί πλέον, εἰ θεὸς ἄνδρα καταφλέγει; ἢ τί τὸ σεμνόν,
δηώσας, ἀπ' ἐμῆς ἆθλον ἔχει κεφαλῆς;

V.

p. 487. Σύμφωνον μαλακοῖσι κερασσάμενος θρόον αὐλοῖς
Δωρόθεος γοερὰς ἔννεπε Δαρδανίδας,
καὶ Σεμέλας ὠδῖνα κεραύνιον, ἔπνεε δ' ἵππου
ἔργματ', ἀειζώων ἁψάμενος Χαρίτων·
cf. Voss. Insth. Br. B. 1. p. 74. μοῦνος δ' ἐν ἱεροῖσι Διωνύσοιο προφήταις
Μώμου λαιψηρὰς ἐξέφυγε πτέρυγας,
Θηβαῖος γενεήν, Σωσικλέος· ἐν δὲ Λυαίου
νηῷ φόρμιγγα θήκατο καὶ καλάμους.

VI.

Οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ομηρον
στήσαιτε φλογέαις ἐν Διὸς ἀστεροπαῖς,
οὐκ εἰμ', οὐδ' ἔσομαι Σαλαμίνιος, οὐδέ μευ υἱὸς
Δμησαγόρου· μὴ ταῦτ' ὄμμασιν Ελλὰς ἴδοι.
ἄλλον ποιητὴν βασανίζετε· τἀμὰ δέ, Μοῦσαι
καὶ Χίος, Ἑλλήνων παισὶν ἀείσατ' ἔπη.

VII.

Ηρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ομηρον
ἤκαχον, ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι.
νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
ὅττι Θέτιν κύδηνε καὶ υἱέα, καὶ μόθον ἄλλων
ἡρώων, Ἰθακοῦ τ' ἔργματα Λαρτιάδεω.
ὀλβίστη νήσων πόντῳ Ἴος, ὅττι κέκευθε
βαιὴ Μουσάων ἀστέρα καὶ Χαρίτων.

VIII.

T. I. p. 488.

Κειράμενος γονίμην τις ἀπὸ φλέβα Μητρὸς ἀγύρτης
ὕλης εὐδένδρου πρῶνας ἐβουνοβάτει.
τῷ δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίνην
χάσμα φέρων χαλεπὸν πειναλέου φάρυγος.
δείσας δ' ὠμηστέω θηρὸς μόρον, ὡς αὔδαξε,
τύμπανον ἐξ ἱερᾶς ἐπλατάγησε νάπης.
χῶ μὲν ἐνέκλεισε φονίαν γένυν, ἐκ δὲ τενόντων
ἔνθους ῥομβητὴν ἐστροφάλιξε φόβην·
κεῖνος δὲ προφυγὼν ἀλοὸν μόρον, εἵσατο Ῥείῃ
θῆρα, τὸν ὀρχηθμῶν αὐτομαθῆ Κυβέλης.

IX.

Οἷον ὁρῇς, ὦ ξεῖνε, τὸ χάλκεον εἰκόνι λῆμα
Κλειτομάχου, τοίαν Ἑλλὰς ἐσεῖδε βίαν·
ἄρτι γὰρ αἱματόεντα χερῶν ἀπελύετο πυγμᾶς
ἔντεα, καὶ γοργῷ μάρνατο παγκρατίῳ·
τὸ τρίτον οὐκ ἐκόνισεν ἐπωμίδας, ἀλλὰ παλαίσας
ἀπτώς, τοὺς τρισσοὺς Ἰσθμόθεν εἷλε πόνους.
μοῦνος δ' Ἑλλάνων τόδ' ἔχει γέρας· ἑπτάπυλοι δὲ
Θῆβαι, καὶ γενέτας ἐστέφεθ' Ἑρμοκράτης.

X.

Οὐκέτ' ἀνὰ Φρυγίην πιτυοτρέφον, ὥς ποτε, μέλψεις,
κροῦμα δι' εὐτρήτων φθεγγόμενος δονάκων,
οὐδ' ἐνὶ σαῖς παλάμαις Τριτωνίδος ἔργον Ἀθάνας,
ὡς πρίν, ἐπανθήσει, νυμφογενὲς Σάτυρε.
δὴ γὰρ ἀλυκτοπέδαις σφίγγῃ χέρας, οὕνεκα Φοίβῳ,
θνατὸς ἐὼν, θείαν εἰς ἔριν ἠντίασας.

T. I. p. 489. λωτοὶ δ' οἱ κλάζοντες ἴσον φόρμιγγι μελιχρὸν
ὤπασαν ἐξ λίθων, ὦ τέφος, ἀλλ' αἴδαν.

XI.

Εἰς Ἔρωτα δεδεμένον.

Τίς σε τὸν οὐχ ὁσίως ἠγρευμένον ὧδε πεδήσας
θήκατο; τίς πλέγδην σὰς ἐνέδησε χέρας,
καὶ πιναρὰν ὄψιν τεκτήνατο; πῦ θοὰ τόξα,
νήπιε, πῦ πικρὴ πυρφόρος ἰοδόκη;
ἦ ῥα μάτην ὑπόνησε λιθοξόος, ὅς σε, τὸν οἴστρῳ
κυμήναντα θεὺς, τῇδ' ἐνέδησε πάγῃ.

XII.

Εἰς Πανὸς ἄγαλμα.

Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μῦσαν,
ἔμπνει, ποιμενίῳ τερπόμενος δόνακι,
εὐκελάδῳ σύριγγι χέων μέλος, ἐκ δὲ συνῳδῦ
κλάζε κατιθύνων ῥήματος ἁρμονίην·
ἀμφὶ δέ σοι, ῥυθμοῖο κατὰ κρότον, ἔνθεον ἴχνος
ῥησσέσθω Νύμφαις ταῖσδε μεθυδριάσιν.

XIII.

Μακύνε τείχη, Ζεῦ Ὀλύμπιε, ῥέξε Φίλιππος
ἀμβατά· χαλκείας κλεῖε πύλας μακάρων·
καὶ γὰρ χθὼν καὶ πόντος ὑπὸ σκάπτροισι Φιλίππυ
δέδμανται, λοιπὰ δ' ἁ πρὸς Ὄλυμπον ὁδός.

XIV.

Πίομαι, ὦ Ληναῖε, πολὺ πλέον, ἢ πίε Κύκλωψ
νηδὺν ἀνδρομέων πλησάμενος κρεάων·

πίομαι.

XIII. 3. Scr. ex cod. Vat. χθὼν μὲν δὴ καὶ π.

πίομαι. ὡς ὤφελόν γε καὶ ἔγκαρον ἐχθροῦ ἀράξας T. I. p.490.
βρέγμα Φιλιππείης ἐξέπιον κεφαλῆς,
ὅσπερ ἑταιρείοιο παρὰ κρητῆρι φόνοιο
γεύσατ', ἐν ἀκρήτῳ φάρμακα χευάμενος.

XV.

Οἶνος καὶ Κένταυρον, Ἐπίκρατες, οὐχί σε μοῦνον
ὤλεσεν, ἠδ' ἐρατὴν Καλλίου ἡλικίην.
ὄντως οἰνοχάρων ὁ μονόμματος, ᾧ σὺ τάχιστα
τὴν αὐτὴν πέμψαις ἐξ Αΐδεω πρόποσιν.

XVI.

Ἄγαγε καὶ Ξέρξης Πέρσαν στρατὸν Ἑλλάδος ἐς γᾶν,
καὶ Τίτος εὐρείας ἄγαγ' ἀπ' Ἰταλίας.
ἀλλ' ὁ μὲν Εὐρώπᾳ δοῦλον ζυγὸν αὐχένι θήσων
ἦλθεν· ὁ δ' ἀμπαύσων Ἑλλάδα δουλοσύνας.

XVII.

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
Νύμφαι κρηνιάδων λοῦσαν ἀπὸ σφετέρων,
καὶ τάφον ὑψώσαντο· γάλακτι δὲ ποιμένες αἰγῶν
ἔῤῥαναν, ξανθῷ μιξάμενοι μέλιτι.
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν, ἐννέα Μουσῶν
ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων.

XVIII.

Εἰς Ἱππώνακτα.

Οὐδὲ θανὼν ὁ πρέσβυς ἑῷ ἐπιτέτροφε τύμβῳ
βότρυν ἀπ' οἰνάνθης ἥμερον, ἀλλὰ βάτον,

T. I. p. 491. καὶ πνιγόεσσαν ἄχερδον, ἀποσύφυσαν ὀδιτῶν
χείλεα καὶ δίψει καρφαλέον φάρυγα.
ἀλλά τις, Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,
εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.

XIX.

Πᾶσά σοι οἰχομένῳ, Πυλάδη, κωκύεται Ἑλλὰς,
ἄπλεκτον χαίταν ἐν χροῒ κειραμένα·
αὐτὸς δ' ἀτμήτοιο κόμας ἀπεθήκατο δάφνας
Φοῖβος, ἑὸν τιμῶν ἦ θέμις ὑμνοπόλον·
Μῦσαι δ' ἐκλαύσαντο· ῥόον δ' ἔστησεν ἀκύων
Ασωπὸς γοερῶν ἦχον ἀπὸ στομάτων·
ἔλληξεν δὲ μέλαθρα Διωνύσοιο χορείης,
εὖτε σιδηρείην οἶμον ἔβης Αΐδεω.

XX.

Στυγνὸς ἐπ' Ἀρκτούρῳ ναύταις πλόος, ἔκ τε Βορείης
λαίλαπος Ἀσπασίῳ πικρὸν ἔτευξε μόρον,
ὃ στείχεις παρὰ τύμβον, ὁδοιπόρε· σῶμα δὲ πόντος
ἔκρυψ' Αἰγαίῳ ῥαιόμενον πελάγει.
ἠϊθέων δακρυτὸς ἅπας μόρος· ἐν δὲ θαλάσσῃ
πλεῖστα πολυκλαύτου κήδεα ναυτιλίης.

XXI.

Εἰς γυναῖκα ἥτις ἐκαλεῖτο Φιδίς.

Δίζημαι κατὰ θυμὸν ὅτου χάριν ὁ παροδίτας
δισσάκι ΦΙ μοῦνον γράμμα λέλογχε πέτρος,
λαοτύποις σμίλαις κεκολαμμένον. ἦ ῥα γυναικὶ
τᾷ χθονὶ κευθομένᾳ ΧΙΛΙΑΣ ἦν οὔνομα;

XX. 1. ἐκ δὲ β. Cod. Vat. [illegible] μαινόμενον. Cod. Vat.

τῶτο γὰρ ἀγγέλλει κορυφούμενος εἷς ἓν ἀριθμός. T. I. p. 492.
ἢ τὸ μὲν εἰς ὀρθὰν ἀτραπὸν ὐκ ἔμολεν,
ἃ δ' οἰκτρὸν ναίωσα τόδ' ἠρίον ἔπλετο ΦΙΔΙΣ;
νῦν σφιγγὸς γρίφως Οἰδίπος ἐφρασάμην.
αἰνετὸς, ὃυκ δισσοῖο καμὼν αἴνιγμα τύποιο,
φέγγος μὲν ξυνετοῖς, ἀξυνέτοις δ' ἔρεβος.

XXII.

Ἄκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ τύμβῳ
Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες,
Αἰτωλῶν δμηθέντες ὑπ' Ἄρεος, ἠδὲ Λατίνων,
ὣς Τίτος εὐρείης ἤγαγ' ἀπ' Ἰταλίης,
Ἠμαθίῃ μέγα πῆμα· τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
πνεῦμα, θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

ΦΙΛΙΠΠΟΥ

ΤΟΥ ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΩΣ.

Ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

T. I. p. 493.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

I.

Πυγὴν Σωσάρχοιο διέπλασεν Αμφιπολίτεω
  μυελίνην παίζων ὁ βροτολοιγὸς Ερως,
Ζῆνα θέλων ἐρεθίσαι, ὅθ' οὕνεκα τῶν Γανυμήδευς
  μηρῶν οἱ τούτου πουλὺ μελιχρότεροι.

II.

Δημόφιλος τοιοῖσδε φιλήμασιν εἰ πρὸς ἐραστὰς
  χρήσεται ἀκμαίην, Κύπρι, καθ' ἡλικίην,
ὡς ἐμὲ νῦν ἐφίλησεν ὁ νήπιος, οὐκέτι νύκτωρ
  ἥσυχα τῇ κείνου μητρὶ μενεῖ πρόθυρα.

III.

Βλέψον ἐς Ερμογένην πλήρει χερὶ, καὶ τάχα πρήξεις
  παιδοκόραξ ὅ τι σοι θυμὸς ὀνειροπολεῖ,
καὶ στυγνὴν ὀφρύων λύσεις τάσιν· ἢν δ' ἀλιεύσῃς
  ὀρφανὸν ἀγκίστρου κύματι δοὺς κάλαμον,
ἕλξεις ἐκ λιμένος πολλὴν δρόσον, οὐδὲ γὰρ αἰδὼς
  οὐδ' ἔλεος δαπάνῳ κόλλοπι συντρέφεται.

IV.

Εξέφυγον, Διόδωρε, τὸ σὸν βάρος. ἀλλ' ὅσον εἶπα;
  οὐκ ἔφυγον τὸν ἐμὸν δαίμονα πικρότατον·

I. 3. Scr. ἐρεθίσσαι.
III. 5. Fort. ἐκ λίμνης πολλὴν μυῖαν.
IV. 1. Cod. εἶπα ἐξέφυγεν. Fort. ἀλλ', ὅσον εἰπεῖν, ἐξέφυγον—

πικρότερός με κατέσχεν. Ἀριστοκράτει δὲ λατρεύων T.I.
μυρία, δεσπόσυνον καὶ τρίτον ἐκδέχομαι.

V. p. 494.

Σπονδὴ καὶ λιβανωτὲ, καὶ οἱ κρητῆρι μιγέντες
δαίμονες, οἳ φιλίης τέρματ' ἐμῆς ἔχετε,
ὑμέας, ὦ σεμνοὶ, μαρτύρομαι, ὃς ὁ μελίχρως
κοῦρος Ἀθηναῖος πάντας ἐπωμόσατο.

VI.

Τὸν καλὸν, ὡς ἔλαβες, κομίσαις πάλι πρὸς με θεωρὸν
Εὐφραγόρην, ἀνέμων πρηΰτατε Ζέφυρε,
εἰς ὀλίγων τείνας μηνῶν μέτρον, ὡς καὶ ὁ μικρὸς
μυριέτης κέκριται τῷ φιλέοντι χρόνος.

VII.

Ὅρκον κοινὸν Ἔρωτ' ἀνεθήκαμεν, ὅρκον ϑ πιστὴν
Ἀρσινόης ἔθετο Σωσιπάτρῳ φιλίην.
ἀλλ' ἡ μὲν ψευδὴς, κενὰ δ' ὅρκια· τῷ δ' ἐφυλάχθη
ἵμερος. ἡ δὲ θεῶν οὐ φανερὴ δύναμις.
Θρήνους, ὦ Ὑμέναιε, παρὰ κληῖσιν ἀκούσαις
Ἀρσινόης, παστῷ μεμψαμένους προδότῃ.

VIII.

Ἡ πιθανή μ' ἔτρωσεν Ἀριστονόη, φίλ' Ἄδωνι,
κοψαμένη τῇ σῇ στήθεα πὰρ καλύβῃ.
εἰ δώσει ταύτην καὶ ἐμοὶ χάριν, ἢν ἀποπνεύσω,
μὴ πρόφασις, σύμπλουν σύμμε λαβὼν ἄπαγε.

T. I. IX.

Ἡ τρυφερή μ' ἤγρευσε Κλεὼ τὰ γαλάκτιν', Ἄδωνι,
τῇ σῇ κοψαμένη στήθεα παννυχίδι.
p. 495. εἰ δώσει κἀμοὶ ταύτην χάριν, ἣν ἀποπνεύσω,
μὴ πρόφασις, σύμπλουν σύν με λαβὼν ἄπαγε.

X.

Ἵππον Ἀθήνιον ᾖσεν ἐμοὶ κακόν. ἐν πυρὶ πᾶσα
Ἴλιος ἦν, κἠγὼ κείνῃ ἅμ' ἐφλεγόμαν,
οὐ δείσας Δαναῶν δεκέτη πόνον. ἐν δ' ἑνὶ φέγγει
τῷ τότε, καὶ Τρῶες κἀγὼ ἀπωλόμεθα.

XI.

Σάρδις Πεσσινόεντος ἀπὸ Φρυγὸς ἤθελ' ἱκέσθαι
ἔκφρων μαινομένην δοὺς ἀνέμοισι κόμην
ἁγνὸς Ἄτυς, Κυβέλης θαλαμηπόλος· ἄγρια δ' αὐτοῦ
ἐσπεύσθη χαλεποῦ πνεῦμ' ὑπὸ θευφορίης,
ἑσπέριον στείχοντος ἀνὰ κνέφας. εἰς δὲ κάταντες
ἄντρον ἔδυ, νεύσας βαιὸν ἄπωθεν ὁδοῦ.
τοῦ δὲ λέων ὤρουσε κατὰ στίβον, ἀνδράσι δεῖμα
θαρσαλέοις, Γάλλῳ δ' οὐδ' ὀνομαστὸν ἄχος,
ὃς τότ' ἄναυδος ἔμεινε δέους ὕπο, καί τινος αὔρῃ
δαίμονος ἐς τὸ ἑὸν τύμπανον ἧκε χέρας·
οὗ βαρὺ μυκήσαντος, ὁ θαρσαλεώτερος ἄλλων
τετραπόδων, ἐλάφων ἔδραμεν ὀξύτερον,
τὸν βαρὺν οὐ μείνας ἀκοῆς ψόφον. ἐκ δὲ βοήσας
Μητέρα, Σαγγαρίου χείλεσι πὰρ ποταμοῦ,

XI. 4. Cod. ἐψύχθη. 10. Cod. τὸν ἑόν.

ἱρήν σοι θαλάμην, ζωάγρια, καὶ λαλάγημα T. I.
τοῦτο, τὸ θηρὶ φυγῆς αἴτιον, ἀντίθεμαι.

XII.

Ῥιπίδα τὴν μαλακοῖσιν ἀεὶ πρηεῖαν ἀήταις
Παρμενὶς ἡδίστη θῆκε παρ' Οὐρανίῃ,
ἐξ εὐνῆς δεκάτευμα· τὸ δ' ἠελίου βαρὺ θάλπος p. 496.
ἡ 'ταίρη μαλακοῖς ἐκτρέπεται Ζεφύροις.

XIII.

Τίς τὰ νεοσκύλευτα ποτὶ δρυῒ τᾶδε καθᾶψεν
ἔντεα; τῷ πέλτα Δωρὶς ἀναγράφεται;
πλάθει γὰρ Θυρεᾶτις ὑφ' αἵματος ὧδε λοχιτᾶν,
χᾶμες ἀπ' Ἀργείων τοὶ δ[illegible] λειπόμεθα.
πάντα νέκυν μάστευε δεδουπότα, μή τις, ἔτ' ἔμπνους
λειπόμενος, Σπάρτᾳ κῦδος ἔλαμψε νόθον.
ἴσχε βάσιν. Νίκα γὰρ ἐπ' ἀσπίδος ὧδε Λακώνων
φωνεῖται θρόμβοις αἵματος Οθρυάδα,
χὠ τόδε μοχθήσας σπαίρει πέλας. ὦ προπάτωρ Ζεῦ,
στύξον ἀνικάτου σύμβολα φυλόπιδος.

XIV.

Σᾶμά τοι οὐχὶ μάταιον ἐπ' ἀσπίδι παῖς ὁ Πολύγνου,
ἄλλος ἀπὸ Κρήτας θοῦρος ἀνὴρ ἔθετο,
Γοργόνα τὰν λιθοεργὸν ὁμοῦ καὶ τριπλόα γοῦνα
γραψάμενος· δηεις. τοῦτο δ' ἔοικε λέγειν·

XI. 16. Cod. τὸ θηροφυγῆς.
XIII. 2. Fort. τοῦ — ἐπιγρ.
XIV. 1. Cod. Πολύττου. 3. Cod. τρ. γοῦνα. 4. Scr. δηΐοις τοῦτο.

T. I. Ἀσπίδος ὦ κατ' ἐμῆς πάλλων δόρυ, μὴ κατίδῃς με,
ἢ φεῦγε τρισσοῖς τὸν ταχὺν ἄνδρα ποσί.

XV.

Αὐλοὶ τοῦ Φρυγὸς ἔργον Τυγνίδος, ἡνίκα Μήτηρ
ἱερὰ τὰν Κυβέλοις πρῶτ' ἀνέδειξε θεῶν,
καὶ πρὸς ἐμὸν φώνημα καλὴν ἀνελύσατο χαίταν
ἔκφρων Ἰδαίης ἀμφίπολος θαλάμης·
εἰ δὲ Κελαινίτης ποιμὴν πάρος οὐ παραείσας
ἐγνώσθη, Φοίβου τοῦτον ἔδειξεν ἔρις.

p. 497.

XVI.

Εἰς τὴν Θέσπιδος εἰκόνα.

Θέσπις ἐγώ, τραγικὴν ὃς ἀνέπλασα πρῶτος ἀοιδὴν
κωμήταις νεαρὰς καινοτομῶν χάριτας,
Βάκχος ὅτε τριττὸν κατάγοι χορόν, ᾧ τράγος ἆθλον,
χὠττικὸς ἦν σύκων ἄῤῥιχος ἆθλον ἔτι.
οἱ δὲ μεταπλάσσαντο νέοι τάδε. μυρίος αἰὼν
πολλὰ προσευρήσει χἄτερα· τἄλλα δ' ἐμά.

XVII.

Θέσπιδος εὕρεμα τοῦτο. τὰ δ' ἀγροιῶτιν ἀν' ὕλαν
παίγνια, καὶ κώμους τοὺς ἀτελειοτέρους
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμιλευτὰ χαράξας
γράμματα, χειμάῤῥῳ δ' οἷα καταρδόμενα,
καὶ τὰ κατὰ σκηνὴν μετεκαίνισεν. ὦ στόμα πάντων
δεξιὸν ἀρχαίων, ἦσθά τις ἡμιθέων.

XV. 3. Cod. ἀνεδύσατο. 5. Cod. πάρος ὕπερ ἀείσας ἐγνώσθη. Scr. π. οἷος ἀοιδαῖς ἐγνώσθη, —

XVIII. T. I.

Ταῦρε, μάτην ἐπὶ πόρτιν ἐπείγεαι· ἔστι γὰρ ἄπνους.
ἀλλά σ' ὁ βουπλάστας ἐξαπάτησε Μύρων.

XIX.

Σεῖο, Μύρων, δαμάλει παρακάτθανε μόσχος ἐλαθεὶς,
καὶ γάλα πιστεύων χαλκὸν ἔσωθεν ἔχειν.

XX.

Γάλλον Ἀρισταγόρης ὠρχήσατο· τοὺς δὲ φιλόπλους
Τημενίδας ὁ καμὼν πολλὰ διῆλθον ἐγώ.
χὠ μὲν τιμηθεὶς ἀπεπέμπετο· τὴν δὲ τάλαιναν p. 498.
Τρνηθὼ κροτάλων εἷς ψόφος ἐξέβαλεν.
εἰς πῦρ ἡρώων ὁ πολὺς πόνος. ἐν γὰρ ἀμούσοις
καὶ κόρυδος κύκνου φθέγξετ' ἀοιδότερον.

XXI.

Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου
γευόμενον, ξείνῳ Μέμφις ἔκρυψε τάφῳ,
ἔνθα δραμὼν Νείλου ὁ πολὺς ῥόος ὕδατι λάβρῳ
τοὔνδρος τὴν ὀλίγην βῶλον ἀπημφίασεν.
καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα· νῦν δὲ καλυφθεὶς
κύμασι ναυηγὸν σχέτλιος ἔσχε τάφον.

XXII.

Αὖλιν Ἀρισταγόρεω καὶ κτήματα μυρίος ἀρθεὶς,
Νεῖλε, μετ' εἰκαίης ἐξεφόρησας ὁδοῦ.
αὐτὸς δ' οἰκτρῆς ὁ γέρων ἐπενήξατο βώλου
ναυηγὸς, πάσης ἐλπίδος ὀλλυμένης,

T. I. γείτονος ἡμίθραυστον ἐπ' αὔλιον, Ω πολὺς, εἶπας,
μόχθος ἐμὸς; πολιῆς τ' ἔργα περισσὰ χερὸς,
ὕδωρ πάντ' ἐγένεσθε· τὸ δὲ γλυκὺ τοῦτο γεωργοῖς
κῦμ' ἐπ' Ἀρισταγόρην ἔδραμε πικρότατον.

XXIII.

Οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον, αἵδε Λυκάμβεω,
αἳ λάχομεν στυγερὴν κληδόνα, θυγατέρες,
οὔτε τι παρθενίην ᾐσχύναμεν, οὔτε τοκῆας,
οὔτε Πάρον, νήσων αἰπυτάτην ἱερῶν.
ἀλλὰ καθ' ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος
φήμην τε στυγερὴν ἔφλυσεν Ἀρχίλοχος.
P. 499. Ἀρχίλοχον, μὰ θεοὺς καὶ δαίμονας, οὔτ' ἐν ἀγυιαῖς
εἴδομεν, οὔθ' Ἥρης ἐν μεγάλῳ τεμένει.
εἰ δ' ἦμεν μάχλοι καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος
ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.

XXIV.

Σμερδίῃ ἐπὶ Θρῃκὶ τακεὶς καὶ ἐπ' ἔσχατον ὀστεῦν,
κώμου καὶ πάσης κοίρανε παννυχίδος,
τερπνότατε Μούσῃσιν Ἀνάκρεον, ὦ 'πὶ Βαθύλλῳ
χλωρὸν ὑπὲρ κυλίκων πολλάκι δάκρυ χέας,
αὐτόματαί τοι κρῆναι ἀναβλύζοιεν ἄκρητον,
κὴκ μακάρων προχοαὶ νέκταρος ἀμβροσίου·
αὐτόματοι δὲ φέροιεν ἴον, τὸ φιλέσπερον ἄνθος,
κῆποι, καὶ μαλακῇ μύρτα τρέφοιντο δρόσῳ,
ὄφρα καὶ ἐν Δηοῦς οἰνώμενος ἁβρὰ χορεύσῃς,
βεβληκὼς χρυσέην χεῖρας ἐπ' Εὐρυπύλην.

XXV. T. I.

Ἥδιστον φιλέουσι νέοις προσανάκλιμ' ἐρώτων,
Σαπφοῖ, σὺν Μούσαις ἤ ῥά σε Πιερίειν
ἢ Ἑλικὼν εὔκισσος, ἴσα πνείουσαν ἐκείναις,
κοσμεῖ, τὴν Ἐρέσῳ Μοῦσαν ἐν Αἰολίδι·
ἢ καὶ Ὑμὴν Ὑμέναιος ἔχων εὐφεγγέα πεύκην
σὺν σοὶ νυμφιδίων ἵσταθ' ὑπὲρ θαλάμων·
ἢ Κινύρεω νέον ἔρνος ὀδυρομένῃ Ἀφροδίτῃ
σύνθρηνος, μακάρων ἱερὸν ἄλσος ὁρῇς.
πάντῃ, πότνια, χαῖρε· θεοῖς ἴσας γὰρ ἀοιδὰς,
ἀθανάτας ἔχομεν σὰς ἔτι θυγατέρας.

XXVI. p. 500.

Τῆς Σαμίας τὸ μνῆμα Φιλαινίδος. ἀλλὰ προσειπεῖν
τλῆθί με, καὶ στήλης πλησίον ὦ 'νερ ἴθι.
οὐκ εἴμ' ἡ τὰ γυναιξὶν ἀναγράψασα προσάντη
ἔργα, καὶ Αἰσχύνην οὐ νομίσασα θεόν·
ἀλλὰ φιλαιδήμων, ναὶ ἐμὸν τάφον. εἰ δέ τις ἡμέας
αἰσχύνων, λαμυρὰν ἔπλασεν ἱστορίην,
τοῦ μὲν ἀναπτύξει χρόνος οὔνομα· τἀμὰ δὲ λυγρὰν
ὀστέα τερφθείη κληδόν' ἀπωσαμένης.

XXVII.

Πέντε κόρας καὶ πέντε Βιὼ Διδύμωνι τεκοῦσα
ἄρσενας, οὐδὲ μιᾶς οὐδ' ἑνὸς ὠνάσατο.
ἡ μὲν ἀριστεύουσα καὶ εὔτοκος, οὐχ ὑπὸ παίδων,
ὀθνείαις δ' ἐτάφη χερσὶ θανοῦσα Βιώ.

XXV. 1. Cod. πρὸς ἀνάκλιν ἐρ.

Τ. I.

XXVIII.

α Τύμβος ὅδ' ἐστ', ὦ 'νθρωπε, Σοφοκλέος, ὃν παρὰ Μουσῶν
ἱρὴν παρθεσίην, ἱερὸς ὤν, ἔλαχον·
ὅς με τὸν ἐκ Φλιοῦντος, ἔτι τρίβολον πατέοντα,
πρίνινον, ἐς χρύσεον σχῆμα μεθηρμόσατο,
καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα· τοῦ δὲ θανόντος
εὔθετον ὀρχηστὴν τῇδ' ἀνέπαυσα πόδα.
β Ὄλβιος, ὡς ἀγαθὴν ἔλαχες τάσιν· ἡ δ' ἐνὶ χερσὶ
κούριμος, ἐκ ποίης ἥδε διδασκαλίης;
α εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
εἴτε καὶ Ἠλέκτραν· ἀμφότεραι γὰρ ἄκρον.

p. 501.

XXIX.

Κἠγὼ Σωσιθέου κομέω νέκυν, ὅσσον ἐν ἄστει
ἄλλος ἀπ' αὐθαίμων ἡμετέρων Σοφοκλῆν,
Σκίρτος ὁ πυῤῥογένειος. ἐκισσοφόρησε γὰρ ὠ 'νὴρ
ἄξια, Φλιασίων ναὶ μὰ χορούς Σατύρων,
κἠμὲ, τὸν ἐν καινοῖς τεθραμμένον ἤθεσιν ἤδη,
ἤγαγεν εἰς μνήμην, πατρίδ' ἀναρχαΐσας·
καὶ πάλιν εἰσώρμησα τὸν ἄρσενα Δωρίδι Μούσῃ
ῥυθμὸν, πρὸς τ' αὐδὴν ἑλκόμενος μεγάλην.
εὔαδεν ἡρώων τύπος οὐ χερὶ καινοτομηθεὶς,
τῇ φιλοκινδύνῳ φροντίδι Σωσιθέου.

XXX.

Τῷ κωμῳδογράφῳ, κούφη κόνι, τὸν φιλάγωνα
κισσὸν ὑπὲρ τύμβου ζῶντα Μάχωνι φέροις·
οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυντον, ἀλλά τι τέχνης
ἄξιον ἀρχαίης λείψανον ἠμφίεσας.

τῦτο δὲ πρέσβυς ἐρεῖς Κέκροπος πόλι· Καὶ παρὰ Νείλῳ T. I.
ἔςιν ὅτ' ἐν Μύσαις δριμὺ πέφυκε θύμον.

XXXI.

Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
ὕςατα, Νικαρέτης παῖδα καὶ Εὐπόλιδος,
σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος, αἱ παρὰ Νείλῳ
κρύπτυσιν Λιβύης ἠόνες εἰκοσέτιν.
ἀλλὰ, κόραι, τῇ παιδὶ λεχώϊα δῶρα φέρυσαι,
θερμὰ κατὰ ψυχρῦ δάκρυα χεῖτε τάφυ.

XXXII. p. 502.

Αρχέλεώ με δάμαρτα Πολυξείνην, Θεοδέκτυ
παῖδα καὶ αἰνοπαθῦς ἔννεπε Δημαρέτης,
ὅσσον ἐπ' ὠδῖσιν καὶ μητέρα· παῖδα δὲ δαίμων
ἔφθασεν, ὐδ' αὐτὸν εἴκοσιν ἠελίων.
ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκῦσα,
ἄρτι δὲ καὶ νύμφη, παντολιγοχρόνιος.

XXXIII.

Τὰν Πιτάναν Θρασύβυλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνυς,
ἑπτὰ πρὸς Αργείων τραύματα δεξάμενος,
δεικνὺς ἀντία πάντα. τὸν αἱματόεντα δ' ὁ πρέσβυς
θεὶς ἐπὶ πυρκαϊῆς Τύννιχος εἶπε τάδε·
Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε, τέκνον, ἄδακρυς
θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.

XXXIV.

Εἰς δηΐων πέμψασα λόχυς Δημαινέτη ὀκτὼ
παῖδας, ὑπὸ ςήλῃ πάντας ἔθαψε μιᾷ.

T. I. δάκρυα δ' οὐκ ἔῤῥηξ' ἐπὶ πένθεσιν· ἀλλὰ τόδ' εἶπε
μοῦνον· Ὦ Σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον.

XXXV.

Λυδὸς ἐγώ, ναὶ Λυδός, ἐλευθερίῳ δ' ἐμὲ τύμβῳ,
δέσποτα, Τιμάνθη τὸν σὸν ἔθευ τροφέα.
εὐαίων ἀσινῆ τείνοις βίον. ἢν δ' ὑπὸ γήρως
πρός με μόλῃς, σὸς ἐγώ, δέσποτα, κἠν Ἀΐδῃ.

p. 503. XXXVI.

Εὐφράτην μὴ καῖε, Φιλώνυμε, μηδὲ μιήνῃς
πῦρ ἐπ' ἐμοί· Πέρσης εἰμὶ γὰρ ἐκ πατέρων,
Πέρσης αὐθιγενής, ναὶ δέσποτα. πῦρ δὲ μιῆναι
ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου.
ἀλλὰ περιστείλας με δίδου χθονί· μηδ' ἐπὶ νεκρῷ
λουτρὰ χέῃς· σέβομαι, δέσποτα, καὶ ποταμούς.

Scalig. Poem. p. 7.

XXXVII.

Τὴν τίτθην Ἱέρων Σιληνίδα, τήν, ὅτε πίνοι
ζωρόν, ὑπ' οὐδεμιῆς θλιβομένην κύλικος,
ἀγρῶν ἐντὸς ἔθηκεν, ἵν' ἡ φιλάκρητος ἐκείνη,
καὶ φθιμένη, ληνοῦ γείτονα τύμβον ἔχῃ.

XXXVIII.

Βάλλεθ' ὑπὲρ τύμβου πολιὰ κρίνα, καὶ τὰ συνήθη
τύμπαν' ἐπὶ στήλῃ ῥήσσετ' Ἀλεξιμένους,
καὶ περιδινήσασθε μακρῆς ἀνελίγματα χαίτης
Στρυμονίην ἄφετοι θυιάδες Ἀμφίπολιν,

XXXVIII. 2. cod, reg. Plan. Ἀλεξιμένευς.

ἤ, γλυκερὰ πνεύσαντος ἐφ' ὑμετέροισιν ἀδάπταις, T. I.

πολλάκι πρὸς μαλακοὺς τῷδ' ἐχόρευσα νόμους.

ΣΩΣΙΠΑΤΡΟΥ. p. 504.

I.

Μήποτε γαστροβαρῆ πρὸς σὸν λέχος ἀντιπρόσωπον
παιδογόνῳ κλίνῃς Κύπριδι τερπόμενος.
μεσσόθι γὰρ μέγα κῦμα, καὶ οὐκ ὀλίγος πόνος ἔσται,
τῆς μὲν ἐρεσσομένης, σοῦ δὲ σαλευομένου.
ἀλλὰ πάλιν στρέψας ῥοδοειδέϊ τέρπεο πυγῇ,
τὴν ἄλοχον νομίσας ἀρσενόπαιδα Κύπριν.

II.

Δωρίδα τὴν ῥοδόπυγον ὑπὲρ λεχέων διατείνας
ἄνθεσιν ἐν χλοεροῖς ἀθάνατος γέγονα.
ἡ γὰρ ὑπερφυέεσσι μέσον διαβᾶσά με ποσσὶν,
ἤνυεν ἀκλινέως τὸν Κύπριδος δόλιχον,
ὄμμασι νωθρὰ βλέπουσα· τὰ δ', ἠΰτε πνεύματι φύλλα,
ἀμφισαλευομένης, ἔτρεμε πορφύρεα,
μέχρις ἀπεσπείσθη λευκὸν μένος ἀμφοτέροισι,
καὶ Δωρὶς παρέτοις ἐξεχύθη μέλεσι.

III.

Ἐκμαίνει χείλη με ῥοδόχροα, ποικιλόμυθα,
ψυχοτακῆ, στόματος νεκταρέου πρόθυρα,

XXXVIII. 5. Codd. πνεύσαντες ἐφ' ἡμετέροισιν ὠδάπταις. correctum ἀδάπταις, et in marg. ἀήταις.

T. I. καὶ γλῆναι λασίοισιν ὑπ᾽ ὀφρύσιν ἀστράπτουσαι,

σπλάγχνων ἡμετέρων δίκτυα καὶ παγίδες,

καὶ μαζοὶ γλαγόεντες, ἐΰζυγες, ἱμερόεντες,

εὐφυέες, πάσης τερπνότεροι κάλυκος.

ἀλλὰ τί μηνύω κυσὶν ὀστέα; μάρτυρές εἰσι

τῆς ἀθυροστομίης οἱ Μίδεω κάλαμοι.

---

p. 505.

ΤΥΜΝΕΩ.

I.

Μίκκος ὁ Πελλαναῖος Ενυαλίου βαρὺν αὐλὸν

τόνδ᾽ ἐς Ἀθαναίας ἐκρέμασ᾽ Ιλιάδος,

Τυρσηνὸν μελέτημα, δι᾽ οὗ πόκα πόλλ᾽ ἐβόασεν

ὡ ᾽νὴρ εἰράνας σύμβολα καὶ πολέμου.

II.

Ορνεον ὦ Χάρισιν μεμελημένον, ὦ παρόμοιαν

ἀλκυόσιν τὸν σὸν φθόγγον ἰσωσάμενον,

ἡρπάσθης φίλε λάρε· σὰ δ᾽ ἤθεα, καὶ τὸ σὸν ἡδὺ

πνεῦμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

III.

Εἰς ἄγαλμα Πριήπου.

Πάντα πριηπίζω, κἂν ᾖ Κρόνος· οὐ διακρίνω

οὐδένα φὼρ οὕτω ταῖσδε παρὰ πρασίαις.

ἔπρεπε μὴ λαχάνων ἕνεκεν τάδε καὶ κολοκυντῶν,

φήσει τις, με λέγειν. ἔπρεπεν· ἀλλὰ λέγω.

IV.

I. 3. Cod. μελίδαμα.

II. 3. Cod. φίλε λαίε. Sed correctum λάρε.

IV.

T. I.

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ
ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.
θηκτὸν δ' ἐν προβολᾷ θεμένα ξίφος, εἶπεν, ὀδόντα
ὀξὺν ἐπιβρύκουσ', οἷα Λάκαινα γυνά·
Ἔῤῥε κακὸν φίτυμα διὰ σκότος, οὗ διὰ μῖσος
Εὐρώτας δειλαῖς μηδ' ἐλάφοισι ῥέοι.
ἀχρεῖον σκυλάκευμα, κακὰ μερὶς, ἔῤῥε ποθ' Ἀΐδαν, p. 506.
ἔῤῥε· τὸν οὐ Σπάρτας ἄξιον, οὔ σ' ἔτεκον.

V.

Μή σοι τοῦτο, Φιλαινὶ, λίην ἐπικήριον ἔστω,
εἰ μὴ πρὸς Νείλῳ γῆς μορίης ἔτυχες,
ἀλλά σ' Ἐλευθέρνης ὅδ' ἔχει τάφος. ἔστι γὰρ ἴση
πάντοθεν εἰς Ἀΐδην ἐρχομένοισιν ὁδός.

VI.

Εὐήθη Τρύτωνος ἐπ' οὐκ ἀγαθαῖς ἐλοχεύθη
κληδόσιν· οὐ γὰρ ἂν ὧδ' ὤλετο δαιμονίῃ
ἀρτιτόκος. τὰ δὲ πολλὰ κατήγαγεν ἓν βρέφος Ἀΐδῃ
σὺν κείνῃ· δεκάτην δ' οὐχ ὑπερῆρεν ἕω.

IV. 5. 6. Reſtituti ex Plutarcho, unde etiam Verſ. 7. ἀχρεῖον deſumtum. In V. 8. codd. ἄξιον οὐδ' ἔτεκον.

V. 1. Codd. ἐπικαίριον.

VI. 3. Cod. κατάγη ἐν βρ. ἀδαν. Sed videtur prius fuiſſe αὐδάν. 4. Cod. σὺν κλεινῇ.

T.II. p.527.

ΣΕΛΕΥΚΟΥ.

ΣΚΟΛΙΟΝ.

Κἠγὼ παιδοφιλήσω.
πολύ μοι κάλλιον ἦ γαμεῖν.
παῖς μὲν γὰρ παρεὼν
κὴν πολέμῳ μᾶλλον ἐπωφελεῖ.

FINIS TOMI PRIMI.

ANTHOLOGIA GRAECA

SIVE

POETARVM GRAECORVM

L V S V S.

EX RECENSIONE BRVNCKII.

TOM. II.

INDICES ET COMMENTARIVM

ADIECIT

FRIEDERICVS IACOBS.

LIPSIAE

IN BIBLIOPOLIO DYCKIO

MDCCXCIV.

ΠΟΛΥΣΤΡΑΤΟΥ.

I.

Δισσὸς Ἔρως αἴθει ψυχὴν μίαν. ὦ τὰ περισσὰ
    ὀφθαλμοὶ πάντη πάντα καλοσσόμενοι,
εἴδετε τὸν χρυσέαισι περίσκεπτον χαρίτεσσιν,
    Ἀντίοχον, λιπαρῶν ἄνθεμον ἠιθέων.
ἀρκείτω. τί τὸν ἡδὺν ἐπηυγάσασθε καὶ ἁβρὸν
    Στασικράτη, Παφίης ἔρνος ἰοστεφάνου.
καίεσθε, τρύχεσθε, καταφλέχθητε ποτ' ἤδη·
    οἱ δύο γὰρ ψυχὴν οὐκ ἂν ἕλοιντο μίαν.

II.

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαιικὸν, Ἑλλάδος ἄστρον,
    καὶ διπλῆν Ἰσθμοῦ σύνδρομον ἠιόνα
Λεύκιος ἐστυφέλιξε. δοριπτοίητα δὲ νεκρῶν
    ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας Ἀχαιοὺς
    ἀκλαύτους κτερέων νόσφισαν Αἰνεάδαι.

I. 5. Scr. ἐπηυγάσσασθε.

T. II. p. 2.

ΝΙΚΑΝΔΡΟΥ

ΚΟΛΟΦΩΝΙΟΥ.

I.

Οὐδεὶς τὴν ἰδίην συνεχῶς, Χαρίδημε, γυναῖκα
κινεῖν ἐκ ψυχῆς τερπόμενος δύναται.
οὕτως ἡ φύσις ἐστὶ φιλόκνισος, ἀλλοτριόχρως,
καὶ ζητεῖ διόλου τὴν ξενοκυσταπάτην.

II.

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
πατρίδ' ἐπὶ Σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρᾶν,
δῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;

III.

Εἰς τοὺς Ἰφικράτους παῖδας ἓξ πεσόντας ὑπὸ τὸ τεῖχος Μεσσήνης.

Εὐπυλίδας, Ἐράτων, Χαῖρις, Λύκος, Ἆγις, Ἀλέξων,
ἓξ Ἰφικρατίδα παῖδες, ἀπωλόμεθα
Μεσσάνας ὑπὸ τεῖχος· ὁ δ' ἕβδομος ἄμμε Γύλιππος
ἐν πυρὶ θεὶς, μεγάλαν ἦλθε φέρων σποδιάν,
Σπάρτᾳ μὲν μέγα κῦδος, Ἀλεξίππᾳ δὲ μέγ' ἄχθος
ματρί· τὸ δ' ἓν πάντων καὶ καλὸν ἐντάφιον.

ΚΡΑΤΗΤΟΣ T. II. p. 3.

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Χοίριλος Ἀντιμάχου πολὺ λείπεται· ἀλλ᾽ ἐπὶ πᾶσι
Χοίριλον Εὐφορίων εἶχε διὰ στόματος,
καὶ κατάγλωττ᾽ ἐποίει τὰ ποιήματα, καὶ τὰ φίλητρα
ἀτρεκέως ᾔδει· καὶ γὰρ Ὁμηρικὸς ἦν.

ΚΑΛΛΙΟΥ

ΑΡΓΕΙΟΥ.

Αἰεὶ χρυσίον ἦσθα, Πολύκριτε· νῦν δὲ πεπωκὼς,
ἐξαπίνης ἐγένου λυσσομανές τι κακόν.
αἰεί μοι δοκέεις κακὸς ἔμμεναι. οἶνος ἐλέγχει
τὸν τρόπον· οὐκ ἐγένου νῦν κακὸς, ἀλλ᾽ ἐφάνης.

ΠΕΡΣΟΥ ΘΗΒΑΙΟΥ. p. 4.

I.

Τρεῖς ἄφατοι κεράεσσιν ὑπ᾽ αἰθούσαις τοι, Ἄπολλον,
ἄγκεινται κεφαλαὶ Μαιναλίων ἐλάφων,
ἃς ἕλον ἐξ ἵππων βριαρῷ χέρι Δαΐλοχός τε
καὶ Προμένης, ἀγαθοῦ τέκνα Λεοντιάδου.

I. 3. Cod. ἐξ ἵππων γυιγρῷ χέρι.

T. II.

II.

Πότνια κουροσόα ταύταν ἐπιπορπίδα νύμφαν,
καὶ στεφάναν λιπαρῶν ἐκ κεφαλᾶς πλοκάμων,
ὄλβια Εἰλήθυια, πολυμνάστοιο φύλασσε
Τίσιδος ὠδίνων ῥύσια δεξαμένα.

III.

Κἠμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃς
εὐκαίρως, τεύξῃ· μὴ μεγάλων δὲ γλίχου.
ὡς ἅ γε δημογέρων δύναται θεὸς ἀνδρὶ πενέστῃ
δωρεῖσθαι, τούτων κύριος εἰμὶ Τύχων.

IV.

Δειλαία Μνάσυλλα, τί τοι καὶ ἐπ' ἠρίῳ οὗτος
μυρομένας κούρας γραπτὸς ἔπεστι τύπος,
Νευτίμας, ἇς δή ποκ' ἀπὸ ψυχὰν ἐρύσαντο
ὠδῖνες, κεῖται δ' οἷα κατὰ βλεφάρων
ἀχλύϊ πλημμύρουσα φίλας ὑπὸ ματρὸς ἀγοστῷ;
αἲ αἴ, Ἀριστοτέλης δ' οὐκ ἀπάνευθε πατὴρ
p. 5. δεξιτερᾷ κεφαλὰν ἐπεμάξατο. κ', ὦ μέγα δειλοί,
οὐδὲ θανόντες ἑῶν ἐξελάθεσθ' ἀχέων.

V.

Οὐ προϊδὼν, Θεότιμε, κακὴν δύσιν ὑετίοιο
Ἀρκτούρου, κρυερῆς ἥψαο ναυτιλίης,
ἥ σε, δι' Αἰγαίοιο πολυκλήϊδι θέοντα
νηὶ, σὺν οἷς ἑτάροις ἤγαγεν εἰς Αΐδην.
αἲ αἴ, Ἀριστοδίκη δὲ καὶ Εὔπολις, οἵ σ' ἐτέκοντο,
μύρονται, κενεὸν σῆμα περισχόμενοι.

VI. T. II.

Ὤλεο δὴ πρὸ γάμοιο, Φιλαίνιον, οὐδέ σε μάτηρ
Πυθιὰς ὡραίους ἤγαγεν εἰς θαλάμους
νυμφίου· ἀλλ' ἐλεεινὰ καταδρύψασα παρειὰς,
τεσσαρακαιδεκέτιν τῷδ' ἐκάλυψε τάφῳ.

VII.

Μαντιάδας, ὦ ξεῖνε, καὶ Εὔστρατος, υἷες Ἐχέλλου
Δυμαῖοι, κραναᾷ κείμεθ' ἐνὶ ξυλόχῳ,
ἄγραυλοι, γενεῆθεν ὀρειτύποι. οἱ δ' ἐπὶ τύμβῳ,
μανυταὶ τέχνας, δουροτόμοι πελέκεις.

VIII.

Εὔρου χειμέριαί σε καταιγίδες ἐξεκύλισαν,
Φίλλι, πολυκλαύτῳ γυμνὸν ἐπ' ἠϊόνι,
οἰνηρῆς Λέσβοιο παρὰ σφυρόν· αἰγίλιπος δὲ
πέτρου ἁλιβρέκτῳ κεῖσαι ὑπὸ πρόποδι,

ΑΝΤΙΠΑΤΡΟΥ p. 6.

ΣΙΔΩΝΙΟΥ.

* I.

Ὠκύμορόν με λέγουσι δαήμονες ἀνέρες ἄστρων·
εἰμὶ μὲν, ἀλλ' οὔ μοι τοῦτο, Σέλευκε, μέλει.
εἰς Ἀΐδην μία πᾶσι καταίβασις· εἰ δὲ τάχιον
ἡμετέρη, Μίνω θᾶσσον ἐποψόμεθα.

I. Quae aſteriſco notata ſunt, ea in codice appoſitum non habent gentile, et ſic incertum eſt utrius ſint Antipatri. Pleraque tamen Theſſalonicenſi tribuenda videntur.

T. II. πίνωμεν· καὶ γὰρ δὴ ἐτήτυμον εἰς ὁδὸν ἵππος
οἶνος, ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς Ἀΐδην.

* II.

Βουκόλος ἔπλεο, Φοῖβε, Ποσειδάων δὲ καβάλλης,
κύκνος Ζεύς, Ἄμμων δ᾽ ἀμφιβόητος, ὄφις·
χοἱ μὲν ἐπ᾽ ἠϊθέας, σὺ δὲ παιδικά, ὄφρα λάθοιτε·
ἐστὶ γὰρ οὐ πειθοῦς εὐνέται, ἀλλὰ βίης.
Εὐαγόρας δ᾽ ὢν χαλκὸς ἄτερ δόλου αὐτὸς ἁλίσκει
πάντας καὶ πάσας, οὐ μεταβαλλόμενος.

* III.

Εὐπάλαμος ξανθὸν μὲν ἐρεύθεται, ἶσον Ἔρωτι,
μέσφ᾽ ἐπὶ τὸν Κρητῶν ποιμένα Μηριόνην·
ἐκ δέ νυ Μηριόνεω Ποδαλείριον, οὐκέτ᾽ ἐς Ἠὼ
κεῖται. ἴδ᾽ ὡς φθονερὰ παγγενέτειρα φύσις.
εἰ γὰρ τῷ τά τ᾽ ἔνερθε, τά θ᾽ ὑψόθεν ἶσα πέλοιτο,
ἦν ἂν Ἀχιλλῆος φέρτερος Αἰακίδα.

* IV.

p. 7. Εὐτυχὸς τὸ Κίμωνος ἰδὼν πέος, εἶφ᾽ ὁ Πρίηπος·
Οἴμοι, ὑπὸ θνητοῦ λείπομαι ἀθάνατος.

* V.

Μὴ κλαίων τὸν Ἔρωτα δόκει, Τηλέμβροτε, πείσειν,
μηδ᾽ ὀλίγῳ παύσειν ὕδατι πῦρ ἀπνεές.
χρυσὸς Ἔρωτος ἀεὶ παιώνιος· ἐσβέσθη δὲ
οὐδὲ τότ᾽ ἐν πολλῷ τικτόμενος πελάγει.

II. 5. Cod. Vat. eleganter: αὐτὸς ἐναργὴς πάντας.
III. 6. Cod. Αἰακίδαο.

* VI. T. II.

Δραχμῆς Εὐρώπην τὴν Ἀτθίδα, μήτε φοβηθεὶς
μηδένα, μήτ' ἄλλως ἀντιλέγουσαν, ἔχε,
καὶ στρωμνὴν παρέχουσαν ἀμεμφέα, χὠπότε χειμὼν
ἄνθρακας. ἦ ῥα μάτην, Ζεῦ φίλε, βοῦς ἐγένου.

* VII.

Ὕδατος ἀκρήτου κεκορημένῳ ἄγχι παραστὰς
χθιζὸν ἐμοὶ κοτέων Βάκχος ἔλεξε τάδε·
Εὕδεις ἄξιον ὕπνον ἀπεχθομένων Ἀφροδίτῃ·
εἰπέ μοι, ὦ νήφων, πεύθεαι Ἱππολύτου;
τάρβει μή τι πάθῃς ἐναλίγκιον. Ὣς ὁ μὲν εἰπὼν
ᾤχετ'· ἐμοὶ δ' ἀπὸ τῆς οὐκ ἔτι τερπνὸν ὕδωρ.

* VIII.

Οὔ μοι Πληϊάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
ὠρύον στυφελῷ κῦμα περὶ σκοπέλῳ,
οὐδ' ὅταν ἀστράπτῃ μέγας οὐρανός, ὡς κακὸν ἄνδρα
ταρβέω, καὶ μύθων μνήμονας ὑδροπότας.

IX. p. 8.

Κερκίδα τὴν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης,
εἶπε δέ· Χαῖρε θεά, καὶ τήνδ' ἔχε· χήρη ἐγὼ γὰρ
τέσσαρας εἰς ἐτέων ἐρχομένη δεκάδας,
ἀρνεῦμαι τὰ σὰ δῶρα· τὰ δ' ἔμπαλι, Κύπριδος ἔργων
ἅπτομαι· ὥρης γὰρ κρεῖσσον ὁρῶ τὸ θέλειν.

X.

Τὰν πρὶν Ἐνυαλίοιο καὶ Εἰράνας ὑποφᾶτιν,
μέλπουσαν κλαγγὰν βάρβαρον ἐκ στομάτων,

T. II. χαλκοπαγῆ σάλπιγγα, γέρας Φερένικος Ἀθάνᾳ,
λήξας καὶ πολέμου καὶ θυμέλας, ἔθετο.

XI.

Ἁ πάρος αἱματόεν πολέμου μέλος ἐν δαῒ σάλπιγξ
καὶ γλυκὺν εἰράνας ἐκπροχέουσα νόμον,
ἄγκειμαι, Φερένικε, τεὸν Τριτωνίδι κούρᾳ
δῶρον, ἐριβρύχων παυσαμένα κελάδων.

XII.

Τριτογενὲς, Σώτειρα, Διὸς φυγοδέμνιε κούρα,
Παλλὰς, ἀπειροτόκου δέσποτι παρθενίης,
βωμόν τοι κεραοῦχον ἐδείματο τόνδε Σέλευκος,
Φοιβείαν ἰαχὰν φθεγγομένου στόματος.

XIII.

Ἁρπαλίων ὁ πρέσβυς, ὁ πᾶς ῥυτὶς ὤν, ὁ λινευτὴς
τόνδε παρ' Ἡρακλεῖ θῆκέ με τὸν σιβύνην,
p. 9. ἐκ πολλοῦ πλειῶνος ἐπεὶ βάρος οὐκέτι χεῖρες
ἔστεγον, ἐς κεφαλὴν δ' ἤλυθε λευκοτέρην.

XIV.

Λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρας
τοῦτο κατ' εὐψαμάθου κείμενον ἠϊόνος,
δισσάκι τετρόργυιον, ἅπαν πεφορυγμένον ἀφρῷ,
πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι,
Ἑρμῶναξ ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ
εἷλκε τὸν ἐκ πελάγευς ἰχθυόεντα βόλον.

XII. 4. Fort. φοιβείῃ l. φθεγξαμένου σ. ſive φ. ἰ. φθεγγόμενος στόματι.

XIII. 4. Cod. ἔσθενον.

εὑρὼν δ᾽ ἤρτησε Παλαίμονι παιδὶ καὶ Ἰνοῖ, T. II.
δαίμοσιν εἰναλίοις δὺς τέρας εἰνάλιον.

XV.

Πανὶ τάδ᾽ αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνας·
Δᾶμις μὲν θηρῶν ἄρκυν ὀρειονόμων·
Κλείτωρ δὲ πλωτῶν τάδε δίκτυα· τῶν δὲ πετεινῶν
ἄῤῥηκτον Πίγρης τάνδε δερχιοπέδαν.
τὸν μὲν γὰρ ξυλόχων, τὸν δ᾽ ἠέρος, ὃν δ᾽ ἀπὸ λίμνας
οὔ ποτε σὺν κενεοῖς οἶκος ἔδεκτο λίνοις.

XVI.

Εἰναλίων Κλείτωρ τάδε δίκτυα, τετραπόδων δὲ
Δᾶμις, καὶ Πίγρης θῆκεν ὑπηερίων
Πανὶ, κασιγνήτων ἱερὴ τριάς. ἀλλὰ σὺ θήρην
ἠέρι, κἠν πόντῳ, κἠν χθονὶ τοῖσδε νέμε.

XVII.

Γηραλέον νεφέλας τρῦχος τόδε, καὶ τριέλικτον
ἰχνοπέδαν, καὶ τὰς νευροτενεῖς παγίδας,
κλωβούς τ᾽ ἀμφιῤῥῶγας, ἀνασπαστούς τε δεράγχας, p. 10.
καὶ πυρὶ θηγαλέους ἐξυπαγεῖς σάλικας,
καὶ τὰν εὔκολλον δρυὸς ἰκμάδα, τόν τε πετεινῶν
ἀγρευτὰν, ἰξῷ μυδαλέον, δόνακα,
καὶ κρυφίου τρίκλωστον ἐπισπαστῆρα βόλοιο,
ἀρκύν τε κλαγερῶν λαιμοπέδαν γεράνων,
σοὶ, Πὰν ὦ σκοπιῆτα, γέρας θέτο παῖς Νεολάδα
Κραῦβις, ὁ θηρευτὰς, Ἀρκὰς ἀπ᾽ Ὀρχομενοῦ.

XVII. 8. Vat. cod. à pr. man. ἄρκυν, ſed correctum ἀρκὺν. Scr. ἄρκυν, quod eſt ap. Suidam. 10. Cod. Vat. κραῦβις. [illegible]

T. II.

XVIII.

Τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον,
τὸν πρὶν ἐρημωτὰν θῆρα Μακηδονίας,
Δαρδανέων ὀλετῆρ', ὁ κεραύνιος εἷλε Φίλιππος,
πλήξας αἰγανέᾳ βρέγμα κυναγέτιδι·
καὶ τάδε σοι βριαρᾶς, Ἡράκλεες, οὐ δίχα βύρσας
θῆκεν, ἀμαιμακέτου κρατὸς ἔρεισμα, κέρα.
σᾶς τοι ὅδ' ἐκ ῥίζας ἀναδέδρομεν· οὔ τι ἀεικὲς
πατρῴας ζαλοῦν ἔργα βοοκτασίας.

XIX.

Τὰν ἔλαφον, Λάδωνα καὶ ἀμφ' Ἐρυμάνθιον ὕδωρ
νῶτά τε θηρονόμου φερβομέναν Φολόας,
παῖς ὁ Θεαρίδεω Λασιώνιος εἷλε Λυκόρμας,
πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ·
δέρμα δὲ καὶ δικέραιον ἀπὸ τόρθυγγα μετώπων
σπασάμενος, κούρᾳ θῆκε παρ' Ἀγρότιδι.

XX.

Ἁ φόρμιγξ, τά τε τόξα, καὶ ἀγκύλα δίκτυα Φοίβῳ
Σώσιδος, ἔκ τε Φίλας, ἔκ τε Πολυκράτεος.
p. 11. χὼ μὲν ὀϊστευτὴρ κεραὸν βιόν· ἁ δὲ λυρῳδὸς
τὰν χέλυν· ὁ ᾽γρευτὴρ ὤπασε πλεκτὰ λίνα.
ἀλλ' ὁ μὲν ὠκυβόλων ἰῶν κράτος, ἁ δὲ φέροιτο
ἄκρα λύρας, ὁ δ' ἔχοι πρῶτα κυναγεσίας.

XXI.

Σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα Βίτιννα,
εὐτέχνων ἐρατὸν σκυτοτόμων κάματον·

XVIII. 3. Scr. ὀλετὴρ.

τὸν δὲ φιλοπλέκτοιο κόμας σφιγκτῆρα Φιλαινὶς, T. II.
βαπτὸν ἁλὸς πολιοῦ ἄνθεσι κεκρύφαλον·
ῥιπίδα δ' Ἀντίκλεια· καλύπτειραν δὲ προσώπου,
ἔργον ἀραχναίοις νήμασιν ἰσόμορον,
ἁ καλὰ Ἡράκλεια· τὸν εὐσπειρῆ δὲ δράκοντα,
χρύσειον ῥαδινῶν κόσμον ἐπισφυρίων,
πατρὸς Ἀριστοτέλους συνομώνυμος· αἱ συνομήθεις
ἅλικες Οὐρανίῃ δῶρα Κυθηριάδι.

XXII.

Παλλάδι ταὶ τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
τεῦξαι λεπταλέον στάμον' ἐπιστάμεναι,
Δημὼ μὲν ταλαρίσκον εὔπλοκον, Ἀρσινόα δὲ
ἐργάτιν εὐκλώστου νήματος ἠλακάταν·
κερκίδα δ' εὐποίητον, ἀηδόνα τὰν ἐν ἐρίθοις,
Βακχυλὶς, εὐκρέκτους ᾇ διέκρινε μίτους.
ζώειν γὰρ δίχα παντὸς ὀνείδεος εἵλεθ' ἑκάστα,
ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

XXIII.

Ἄρτεμι, σοὶ ταύταν, εὐπάρθενε, πότνα γυναικῶν,
τὰν μίαν αἱ τρισσαὶ πέζαν ὑφηνάμεθα.
καὶ Βιτίη μὲν τάσδε χοροιθαλέας κάμε κούρας, p. 12.
λοξά τε Μαιάνδρου ῥεῖθρα παλιμπλανέος·
ξανθὰ δ' Ἀντιάνειρα τὸν ἀγχόθι νήσατο κόσμον,
πρὸς λαιᾷ ποταμοῦ κεκλιμένον λαγόνι·
τὸν δέ νυ δεξιτερῶν νασμῶν πέλας ἰσοπάλαιστον
τοῦτον ἐπὶ σπιθαμῇ Βίττιον ἠνύσατο.

T. II. XXIV.

Βιθυνὶς Κυθέρη με τεῆς ἀνεθήκατο, Κύπρι,
μορφῆς εἴδωλον λύγδινον, εὐξαμένη.
ἀλλὰ σὺ τῇ μικκῇ μεγάλην χάριν ἀντιμερίζε,
ὡς ἔθος· ἀρκεῖται δ' ἀνδρὸς ὁμοφροσύνῃ.

XXV.

Η πολύθριξ ὕλας ἀνεθήκατο παρθένος Ἱππη
χαίτας, εὐώδη σμηχομένα κρόταφον·
ἤδη γάρ οἱ ἐπῆλθε γάμε τέλος· αἳ δ' ἐπὶ κύρῃ
μίτραι παρθενίας αἰνέομεν χάριτας.
T. II. p. 528. Ἄρτεμι σῇ δ' ἰότητι γάμος θ' ἅμα καὶ γένος εἴη
τῇ Λυκομηδείῳ παιδὶ φιλαστραγάλῳ.

T. II. p. 12. XXVI.

Κερκίδα τὰν ὀρθρινὰ, χελιδονίδων ἅμα φωνᾷ,
μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
τόν τε καρηβαρέοντα πολυῤῥοίβδητον ἄτρακτον,
κλωστῆρα στρεπτᾶς εὔδρομον ἀρπεδόνας,
καὶ πήνας, καὶ τόνδε φιληλάκατον καλαθίσκον,
στάμονος ἀσκητοῦ καὶ τολύπας φύλακα,
παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἁ φιλοεργὸς
εἰροκόμων Κύρᾳ θήκατο δεσπότιδι.

p. 13. XXVII.

Ἐκ ποτὲ τις φρικτοῖο θεᾶς σεσοβημένος οἴστρῳ,
ῥομβητὺς δονέων λυσσομανεῖς πλοκάμους,

XXIV. 2. Cod. μορφᾶς. εὐξαμένα. ὁμοφροσύνᾳ.
XXVI. 3. Scr. πολυρροίβδητον.

θηλυχίτων, ἀσκητὸς ἐϋσπείροισι κορύμβοις, T. II.
ἁβρῷ τε στρεπτῶν ἅμματι κεκρυφάλων,
ἡμιάνωρ, κοιλῶπιν ὀρειάδα δύσατο πέτρην,
Ζανὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι.
τῷ δέ τοι ἀῤῥίγητος ἐπένθορε ταυροφόνος θὴρ,
ἐς τὸν ἐὸν προμολὼν φωλεὸν ἑσπέριος·
ἀθρήσας δ' εἰς φῶτα, καὶ εὐτρήτοισιν ἀϋτμὰν
μυκτῆρσι βροτέας σαρκὸς ἐρυσσάμενος,
ἔστα μὲν βριαροῖσιν ἐπ' ἴχνεσιν· ὄμμα δ' ἑλίξας
βρυχᾶτο σφεδανῶν ὄμβριμον ἐκ γενύων.
ἀμφὶ δέ οἱ σμαράγει μὲν ἐναυλιστήριον ἄντρον,
ἄχει δ' ὑλάεις ἀγχινεφὴς σκόπελος.
αὐτὰρ ὁ θαμβήσας φθόγγον βαρὺν, ἐν μὲν ἅπαντα
ἐν στέρνοις ἐάγη θυμὸν ὀρινόμενον·
ἀλλ' ἔμπας βρίμυκον ἀπὸ στομάτων ὀλολυγὰν
ἧκεν, ἐδίνησε δ' εὐστροφάλιγγα κόμαν·
χειρὶ δ' ἀνασχόμενος μέγα τύμπανον, ἐπατάγησε,
δινωτὸν Ῥείας ὅπλον Ὀλυμπιάδος,
τὸ ζωᾶς ἐπαρωγόν. κήθεα γὰρ τότε βύρσης
ταυρείης κενεὸν δοῦπον ἔδεισε λέων,
ἐκ δὲ φυγὼν ὥρουσεν. ἴδ' ὡς ἐδίδαξεν ἀνάγκα
πάνσοφος ἐξευρεῖν ἔκλυσιν Ἀΐδεω.

XXVIII. Scalig. Poem. p. 3.

Εὔκολος Ἑρμείας, ὦ ποιμένες, ἔν τε γάλακτι
χαίρων, καὶ δρυΐνῳ σπενδόμενος μέλιτι·

XXVII. 4. Fort. χρυσέῳ τε στρ. 5. Codd. ὄβρις ἀνὴρ κοιλ. Fort. ἁβρὸς ἀνήρ. 21. Fort. βύρσας.

T. II. p. 14. ἀλλ' οὐχ Ἡρακλέης· ἕνα δὲ κτίλον ἢ παχὺν ἄρνα
αἰτεῖ, καὶ πάντως ἓν θύος ἐκλέγεται.
ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν
ὄλλυται εἴτε λύκων, εἴθ' ὑπὸ τοῦ φύλακος;

XXIX.

Τίς θέτο μαρμαίροντα βοάγρια; τίς δ' ἀφόρυκτα
δούρατα, καὶ ταύτας ἀῤῥαγέας κόρυθας,
ἀγκρεμάσας Ἄρηϊ μιάστορι κόσμον ἄκοσμον;
οὐκ ἀπ' ἐμῶν ῥίψει ταῦτά τις ὅπλα δόμων;
ἀπτολέμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι τεράμνοις
πλάθειν, οὐ θριγκῶν ἐντὸς Ἐνυαλίου.
σκῦλά μοι ἀμφίδρυπτα, καὶ ὀλλυμένων ἅδε λύθρος
ἀνδρῶν, εἴπερ ἔφυν ὁ βροτολοιγὸς Ἄρης.

XXX.

Βούπαις ὦ 'πόλλων, τόδε χάλκεον ἔργον Ὀνατᾶ,
ἀγλαΐης Λητοῖ καὶ Διὶ μαρτυρίη,
οὔθ' ὅτι τῆσδε μάτην Ζεὺς ἤρατο, χὤτι, κατ' αἶνον,
ὄμματα καὶ κεφαλὴν ἀγλαὸς ὁ Κρονίδης.
οὐδ' Ἥρῃ νεμεσητὸν ἐχεύατο χαλκὸν Ὀνατᾶς,
ὃν μετ' Εἰληθυίης τοῖον ἀπεπλάσατο.

XXXI.

Φάσεις, τὰν μὲν Κύπριν ἀνὰ κραναὰν Κνίδον ἀθρῶν,
ἅδε που ὡς φλέξει καὶ θεὸς εὖσα λίθον·
τὸν δ' ἐνὶ Θεσπιάδαις γλυκὺν Ἵμερον, οὐχ ὅτι πέτρον,
ἀλλ' ὅτι κὴν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.

XXXI. 2. Fort. ὡς φ. κ. θεὸν ε. λίθος.

τοίου Πραξιτέλης κάμε δαίμονας, ἄλλον ἐπ' ἄλλας T. II.
γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.

XXXII. Gr. d. Blum. p. 35. p. 15.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας v. Urfo. Ayk. Br. II. p. 220.
Κύπριν, Ἀπελλείου μόχθον ὅρα γραφίδος,
ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν
ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.
αὐταὶ νῦν ἐρέουσιν Ἀθηναίη τε καὶ Ἥρη·
Οὐκ ἔτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

XXXIII.

Εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.

Καὶ λίθος ὡς Παφίη θωρήξατο, ἢ τάχα μᾶλλον
εἶδε λίθον Παφίη, καὶ ὤμοσεν· Ἤθελον εἶναι.

XXXIV.

Καὶ Κύπρις Σπάρτας. οὐκ ἄστεσιν οἷα τ' ἐν ἄλλοις
ἵδρυται, μαλακὰς ἑσσαμένα στολίδας·
ἀλλὰ κατὰ κρατὸς μὲν ἔχει κόρυν ἀντὶ καλύπτρας,
ἀντὶ δὲ χρυσείων ἀκρεμόνων κάμακα.
οὐ γὰρ χρὴ τευχέων εἶναι δίχα τὰν παράκοιτιν
Θρακὸς Ἐνυαλίου, καὶ Λακεδαιμονίαν.

XXXV.

Τρίζυγες αἱ Μοῦσαι τᾷδ' ἕσταμεν· ἁ μία λωτὸς,
ἁ δὲ φέρει παλάμαις βάρβιτον, ἁ δὲ χέλυν.
ἁ μὲν Ἀριστοκλῆος ἔχει χέλυν, ἁ δ' Ἀγελάδα
βάρβιτον, ἁ Καναχᾶ δ' ὑμνοπόλους δόνακας.
ἀλλ' ἁ μὲν κράντειρα τόνου πέλει· ἁ δὲ μελῳδὸς
χρώματος· ἁ δὲ σοφᾶς εὑρέτις ἁρμονίας.

T.II. p.16.

XXXVI.

Τίς ποτ' ἀπ' Οὐλύμποιο μετάγαγε παρθενεῶνα,
τὸν πάρος οὐρανίοις ἐμβεβαῶτα δόμοις,
ἐς πόλιν Ἀνδρόκλοιο, θοῶν βασίλειαν Ἰώνων,
τὴν δορὶ καὶ Μούσαις αἰπυτάτην Ἔφεσον;
ἦ ῥα σὺ φιλαμένα, Τιτυοκτόνε, μέζον Ὀλύμπου
τὴν τροφὸν, ἐνταυθοῖ τὸν σὸν ἔθευ θάλαμον.

XXXVII.

Ἀκμαῖος ῥοθίῃ νηῒ δρόμος, οὐδὲ θάλασσα
πορφύρει τρομερῇ φρικὶ χαρασσομένη·
ἤδη δὲ πλάσσει μὲν ὑπώροφα γυρὰ χελιδὼν
οἰκία, λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα.
τοὔνεκα μηρύσασθε διάβροχα πείσματα ναῦται,
ἕλκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων·
λαίφεα δ' εὐϋφέα προτονίζετε. ταῦθ' ὁ Πρίηπος
ὔμμιν ἐνορμίτας παῖς ἐνέπω Βρομίου.

XXXVIII.

Αὔην με πλατάνιστον ἐφερπύζουσα καλύπτει
ἄμπελος· ὀθνείῃ δ' ἀμφιτέθηλα κόμῃ,
ἡ πρὶν ἐμοῖς θαλέθουσιν ἐνιθρέψασ' ὀροδάμνοις
βότρυας, οὐ ταύτης οὐκ ἀπετηλοτέρη.
τοίην μέντοι ἔπειτα τιθηνείσθω τις ἑταίρην,
ἥτις ἀμείψασθαι καὶ νέκυν οἶδε μόνη.

XXXIX.

Ὁ σταδιεὺς Ἀρίης ὁ Μενεκλέος οὐ κατελέγχει
Περσέα, σὸν κτίστην, Ταρσὲ Κίλισσα πόλι.

τοῖσι

τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες· ὐδ' ἂν ἐκείνῳ T. II. p. 17.
ὐδ' αὐτὸς Περσεὺς νῶτον ἔδειξε θέων.
ἢ γὰρ ἐφ' ὑσπλήγων, ἢ τέρματος εἶδέ τις ἄκρυ
ἠΐθεον, μέσσῳ δ' ὔ ποτ' ἐνὶ ςαδίῳ.

XL.

Ταύρυ βαθὺν τένοντα, καὶ σιδαρέυς
Ατλαντος ὤμυς, καὶ κόμαν Ηρακλέυς
σεμνάν θ' ὑπήναν, καὶ λέοντος ὄμματα
Μιλησίυ γίγαντος ὐδ' Ολύμπιος
Ζεὺς ἀτρόμητος εἶδεν, ἄνδρας ἡνίκα
πυγμὰν ἐνίκα Νικοφῶν Ολύμπια.

* XLI.

Εἰς ἄγαλμα Ερωτος δεδεμένυ.

Τίς δισσὰς παλάμας πρὸς κίονα δῆσεν ἀφύκτοις
ἅμμασι; τίς πυρὶ πῦρ, καὶ δόλον εἷλε δόλῳ;
νήπιε, μὴ δὴ δάκρυ κατὰ γλυκεροῖο προσώπυ
βάλλε· σὺ γὰρ τέρπῃ δάκρυσιν ἠϊθέων.

XLII.

Ταντάλις ἅδε ποχ' ἅδε, δὶς ἑπτὰ τέκνα τεκῦσα
γαςρὶ μιῇ, Φοίβῳ θῦμα καὶ Αρτέμιδι.
κύρα γὰρ πρῦπεμψε κόραις φόνον, ἄρσεσι δ' ἄρσην·
δισσοὶ δὲ δισσὰς ἔκτανον ἑβδομάδας.
ἁ δὲ τόσας ἀγέλας μάτηρ πάρος, ἁ πάρος εὔπαις
ὐδ' ἐφ' ἑνὶ τλάμων λείπετο γηροκόμῳ·
μάτηρ δ' ὐχ ὑπὸ παισὶν, ὅπερ θέμις, ἀλλ' ὑπὸ ματρὸς
παῖδες ἐς ἀλγεινὺς πάντες ἄγοντο τάφυς.

XLII. 6. Planudei codd. λείπεται.

T.II. p.18. Τάνταλε, καὶ δέ σε γλῶσσα διώλεσε, καὶ σέο κούραν·
χὰ μὲν ἐπετρώθη, σοὶ δ' ἔπι δεῖμα λίθος.

XLIII.

Τίπτε, γύναι, πρὸς Ὄλυμπον ἀναιδέα χεῖρα νένευκας,
ἔνθεον ἐξ ἀθέου κρατὸς ἀφεῖσα κόμαν;
Λατοῦς παπταίνουσα πολὺν χόλον, ὦ πολύτεκνε,
νῦν στένε τὰν πικρὰν καὶ φιλάβουλον ἔριν.
ἃ μὲν γὰρ παίδων σπαίρει πέλας· ἃ δὲ λιπόπνους
κέκλιται· ἃ δὲ βαρὺς πότμος ἐπικρέμαται.
καὶ μόχθων οὔπω τόδε σοι τέλος, ἀλλὰ καὶ ἄρσην
ἔστρωται τέκνων ἑσμὸς ἀποφθιμένων.
ὦ βαρὺ δακρύσασα γενέθλιον, ἄπνοος αὐτὰ
πέτρος ἔσῃ Νιόβα, κ' Ἀΐδι τειρομένα.

XLIV.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν Ὁμήρου,
Σμύρνα, Χίος, Κολοφών, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι.

XLV.

Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον,
οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν ἐΰκλαρον Σαλαμῖνα,
οἱ δέ νυ τὰν Λαπιθέων ματέρα Θεσσαλίαν·
ἄλλοι δ' ἄλλην γαῖαν ἀνίαχον. εἰ δ' ἐμὲ Φοίβου
χρὴ λέξαι πινυτὰς ἀμφαδὰ μαντοσύνας,
πάτρα σοι τελέθει μέγας Οὐρανός, ἐκ δὲ τεκούσης
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

XLIII. 10. In uno Planudeorum κἀΐδι πειρομένα. ſuperſcripto τ.

XLVI. T. II. p. 19.

Μναμοσύναν εἷλε θάμβος, ὅτ' ἔκλυε τᾶς μελιφώνου
Σαπφοῦς, μὴ δεκάταν Μοῖσαν ἔχουσι βροτοί.

XLVII.

Παυροεπὴς Ηριννα, καὶ οὐ πολύμυθος ἀοιδαῖς·
ἀλλ' ἔλαχεν Μούσας τοῦτο τὸ βαιὸν ἔπος.
τοιγάρτοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
Νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι·
αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
μυριάδες λήθῃ, ξεῖνε, μαραινόμεθα.
λωΐτερος κύκνου μικρὸς θρόος, ἠὲ κολοιῶν
κρωγμὸς ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.

XLVIII. Gr. ê. Bluml. p. 18.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς·
οὐδὲ μάτην ἁπαλοῖς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο, μέλι.
μάρτυς ὁ Μαινάλιος κερόεις θεὸς, ὕμνον ἀείσας
τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

* XLIX.

Γράμμα τόδ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
φροντίδι δηναιοὺς ἀστέρας ἐφράσατο,
ἀπλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἷσιν ἐναργὴς
ἰλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
αἰνείσθω δὲ καμὼν ἔργον μέγα, καὶ Διὸς εἶναι
δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.

T. II. p. 20.

L.

Ποῦ τὸ περίβλεπτον κάλλος σέο, Δωρὶ Κόρινθε;
ποῦ στεφάναι πύργων, ποῦ τὰ πάλαι κτέανα;
ποῦ νηοὶ μακάρων, ποῦ δώματα, ποῦ δὲ δάμαρτες
Σισύφιαι, λαῶν θ' αἵ ποτε μυριάδες;
οὐδὲ γὰρ οὐδ' ἴχνος, πολυκάμμορε, σεῖο λέλειπται,
πάντα δὲ συμμάρψας ἐξέφαγε πτόλεμος.
μοῦναι ἀπόρθητοι Νηρηΐδες, Ὠκεανοῖο
κοῦραι, σῶν ἀχέων μίμνομεν ἀλκυόνες.

LI.

Εἰς πόλιν Ἡράκλειαν.

Τίς τόδε μουνόγληνος ἅπαν δωμήσατο Κύκλωψ
λάϊνον Ἀσσυρίης χῶμα Σεμιράμιος;
ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο γίγαντες
κείμενον ἑπταπόρων ἀγχόθι Πληϊάδων,
ἀκλινὲς, ἀστυφέλικτον, Ἄθωος ἶσον ἐρίπνᾳ,
φυρηθὲν γαίης εὐρυπέδοιο βάρος;
δᾶμος ἀεὶ μακάριστος, ὃς ἄστεσιν Ἡρακλείης
οὐρανίων . . . . . εὐρυάλων.

LII.

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
καὶ τὸν ἐπ' Ἀλφειῷ Ζᾶνα κατηυγασάμην,
κάπων τ' αἰώρημα, καὶ Ἠελίοιο κολοσσὸν,
καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον,

L. 6. Vat. Cod. ἐξέφαγεν πόλεμος.

LI. 8. In cod. Vat. ſpatium vacuum repletum a recentiore manu, ſed inepte, his verbis: νεφέων τεῦξεν ἐπ' —

μνᾶμά τε Μαυσώλοιο πελώριον· ἀλλ᾽ ὅτ᾽ ἐσεῖδον T. II.

Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,

κεῖνα μὲν ἠμαύρωτό τε, χἤνιδε νόσφιν Ὀλύμπυ

Ἅλιος ὐδέν πω τοῖον ἐπηυγάσατο.

* LIII. p. 21.

Λιτός τοι δόμος ὗτος, (ἐπεὶ παρὰ κύματι πηγῷ

ἵδρυμαι νοτερῆς δεσπότις ἠϊόνος)

ἀλλὰ φίλος· πόντῳ γὰρ ἐπὶ πλατὺ δειμαίνοντι

χαίρω, καὶ ναύταις εἰς ἐμὲ σωζομένοις.

ἱλάσκευ τὴν Κύπριν· ἐγὼ δέ σοι ἢ ἐν ἔρωτι

ὔριος, ἢ χαροπῷ πνεύσομαι ἐν πελάγει.

LIII.[a] T. II. p. 528.

Νικίεω πόνος ὗτος ἀειζώοιο Νεκυία

ἤσκημαι πάσης ἠρίον ἡλικίης.

δώματα δ᾽ Αἰδωνῆος ἐρευνήσαντος Ὁμήρυ

γέγραμμαι κείνυ πρῶτον ἀπ᾽ ἀρχετύπυ.

LIV. T. II. p. 21.

Εἰς τὴν Μύρωνος βῦν.

Ἁ δάμαλις, δοκέω, μυκήσεται· ἢν δὲ βραδύνῃ,

χαλκὸς ὁ μὴ νοέων αἴτιος, ὐχὶ Μύρων.

LV.

Ἁ δάμαλις, δοκέω, μυκήσεται· ἦ ῥ᾽ ὁ Προμηθεὺς

ὐχὶ μόνος· πλάττεις ἔμπνοα καὶ σὺ Μύρων.

LVI.

Πηκτόν μοι τις ἄροτρον ἐπ᾽ αὐχένι καὶ ζύγα θέσθω·

εἵνεκα γὰρ τέχνας σεῖο, Μύρων, ἀρόσω.

T. II. LVII.

Εἰ μή μου ποτὶ τᾷδε Μύρων πόδας ἥρμοσε πέτρᾳ,
ἄλλαις ἂν νεμόμαν βουσὶν ὁμοῦ δάμαλις.

LVIII.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχεαι; τίπτε δὲ μυκᾷ;
ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

p.22. LIX. Scalig. P. p. 8

Βακχυλὶς ἡ Βάκχου κυλίκων σποδὸς, ἔκ ποτε νούσου
κεκλιμένα, Δηοῖ τοῖον ἔλεξε λόγον·
Ἢν ὀλοοῦ διὰ καῦμα φύγω πυρὸς, εἰς ἑκατόν σοι
ἠελίους δροσερᾶν πίομαι ἐκ λιβάδων,
ἀβρόμιος καὶ ἄοινος. ἐπεὶ δ' ὑπάλυξεν ἀνάγκην,
αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο·
τρητὸν γὰρ θεμένη χερὶ κόσκινον, οὗ διὰ πυκνῶν
σχοίνων ἠελίους πλείονας ἠυγάσατο.

LX.

Ἑπτὰ σοφῶν, Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος·
ἀμφὶ δὲ Σισυφία χθὼν Περίανδρόν ἔχει·
Πιττακὸν ἁ Μιτυλάνα· Βίαντα δὲ δῖα Πριήνη·
Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα Δίκας·
ἁ Σπάρτα Χίλωνα· Σόλωνα δὲ Κεκροπὶς αἶα·
πάντας ἀριζάλου σωφροσύνας φύλακας.

* LXI.

Αἰάζει πήρη τε, καὶ Ἡράκλειον ἄριστον,
βριθὺ Σινωπίτου Διογένευς ῥόπαλον,

LIX. 1. Cod. Vat. Βακχυλὶς. 7. λεπτὸν γάρ. Cod. Vatic. quod verum.

καὶ τὸ χύδην ῥυπόεντι πίνῳ πεπαλαγμένον ἔσθος
διπλάδιον, κρυερῶν ἀντίπαλον νιφάδων,
ὅττι τεοῖς ὤμοισι μιαίνεται. ἦ γὰρ ὁ μέν που
οὐράνιος· σὺ δ' ἔφυς δὺν σποδιῇσι κύων.
ἀλλὰ μέθες, μέθες ὅπλα τὰ μὴ σέθεν. ἄλλο λεόντων,
ἄλλο γενειητῶν ἔργον ὄρωρε τράγων.

LXII.

p. 23.

Δισσῶν ἐκ βροχίδων ἃ μὲν μία πίονα κίχλαν,
ἃ μία δ' ἱππείᾳ κόσσυφον εἷλε πάγᾳ.
ἀλλὰ τὸ μὲν κίχλας θαλερὸν δέμας ἐς φάος Ἠῶς
οὐκέτ' ἀπὸ πλεκτᾶς ἧκε δεραιοπέδας·
ἃ δ' αὖθις μεθέηκε τὸν ἱερόν. ἦν γὰρ ἀοιδῶν
φειδὼ κὴν κωφαῖς, ξεῖνε, λινοστασίαις.

* LXIII.

Ἄρτι νεηγενέων σε, χελιδὸν, μητέρα τέκνων
ἄρτι σε θάλπουσαν παῖδας ὑπὸ πτέρυγι,
ἀΐξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς
νόσφισεν ὠδίνων τετραέλικτος ὄφις,
καὶ σε κινυρομέναν ὁπότ' ἀθρόος ἦλθε δαΐξων,
ἤριπεν ἐσχαρίου λαβρὸν ἐπ' ἄσθμα πυρός.
ὣς θάνεν ἠλιτοεργός. ἴδ' ὡς Ἥφαιστος ἀμύντωρ
τὰν ἀπ' Ἐριχθονίου παιδὸς ἔσωσε γονάν.

* LXIV.

Θηρευτὴν Λάμπωνα, Μίδου κύνα, δίψα κατέκτα,
καίπερ ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον.

T. II. ποσσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον, ἀλλὰ τὸ νωθὲς
πίδακος ἐκ τυφλῆς οὐκ ἐτάχυνεν ὕδωρ·
πῖπτε δ' ἀπαυδήσας· εἶτ' ἔβλυσεν. ἦ ἄρα, Νύμφαι,
Λάμπωνι κλαμένων μῆνιν ἔθεσθ' ἐλάφων.

LXV.

Σῆμα παρ' Αἰάντειον ἐπὶ Ῥοιτηΐσιν ἀκταῖς
θυμοβαρὴς Ἀρετὰ μύρομαι ἑζομένα,
p. 24. ἀπλόκαμος, πινόεσσα, διὰ κρίσιν ὅττι Πελασγῶν
οὐκ ἀρετὰ νικᾶν ἔλλαχεν, ἀλλὰ δόλος.
τεύχεα δ' ἂν λέξειεν Ἀχιλλέος· Ἄρσενος ἀκμᾶς,
οὐ σκολιῶν μύθων, ἄμμες ἐφιέμεθα.

* LXVI.

Ἥρωος Πριάμου βαιὸς τάφος, οὐχ ὅτι τοίου
ἄξιος, ἀλλ' ἐχθρῶν χερσὶν ἐχωννύμεθα.

Stolb. Ged. a. d. Gr. p. 311.

LXVII.

Οὐκ ἔτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
οὐκ ἔτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἀνίκ' ἀλάλκειν
τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις.

LXVIII.

Ἡρώων κάρυκ' ἀρετᾶς, μακάρων δὲ προφήταν,
Ἑλλάνων βιοτᾷ δεύτερον ἀέλιον,

LXIV. 3. Scr. ὤρυσσε.

Μουσῶν φέγγος Ὅμηρον, ἀγήραντον στόμα κόσμου T. II.
    παντὸς, ἁλιῤῥόθιος, ξεῖνε, κέκευθε κόνις.

LXIX.

Τὰν μερόπων Πειθὼ, τὸ μέγα στόμα, τὰν ἴσα Μούσαις
    φθεγξαμέναν κεφαλὰν, ὦ ξένε, Μαιονίδεω
ἅδ' ἔλαχον νασῖτις Ἴου σπιλάς· οὐ γὰρ ἐν ἄλλᾳ
    ἱερὸν, ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν,
ᾧ νεῦμα Κρονίδαο τὸ παγκρατὲς, ᾧ καὶ Ὄλυμπον, p. 85.
    καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν,
καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις
    ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
εἰ δ' ὀλίγα κρύπτει τὸν ταλίκον, ἴσθ' ὅτι κεύθει
    καὶ Θέτιδος γαμέταν ἁ βραχύβωλος Ἴκος.

LXX.

Σαπφώ τοι κεύθεις, χθὼν Αἰολὶ, τὰν μετὰ Μούσαις
    ἀθανάταις θνατὰν Μοῦσαν ἀειδομέναν,
ἃν Κύπρις καὶ Ἔρως συνάμ' ἔτραφον, ἇς μέτα Πειθὼ
    ἔπλεκ' ἀείζωον Πιερίδων στέφανον,
Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. ὦ τριέλικτον
    Μοῖραι δινεῦσαι νῆμα κατ' ἠλακάτας,
πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
    ἄφθιτα μησαμένᾳ δῶρ' Ἑλικωνιάσι;

LXXI.

Οὔνομά μευ Σαπφώ· τόσσον δ' ὑπερέσχον ἀοιδὰν
    θηλειᾶν, ἀνδρῶν ὅσσον ὁ Μαιονίδας.

LXVIII. 3. Cod. Vat. ἀγήρατον.

[T. II.

LXXII. Gr. d. Blumel. p. 2.

Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σὲ κισσὸς,
ἁβρά τε λειμώνων πορφυρέων πέταλα·
πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος,
εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ,
ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται,
εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα,
ὦ τὸ φίλον στέρξας, φίλε, βάρβιτον, ὦ σὺν ἀοιδῇ
πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον.

p. 26.

LXXIII.

Εἴης ἐν μακάρεσσιν, Ἀνάκρεον, εὖχος Ἰώνων,
μήτ' ἐρατῶν κώμων ἄνδιχα, μήτε λύρης·
ὑγρὰ δὲ δερκομένοισιν ἐν ὄμμασιν οὖλον ἀείδοις,
αἰθύσσων λιπαρῆς ἄνθος ὕπερθε κόμης,
ἠὲ πρὸς Εὐρυπύλην τετραμμένος, ἠὲ Μεγιστῆ,
ἢ Κίκονα Θρηκὸς Σμερδίεω πλόκαμον,
ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ,
ἄκρητον θλίβων νέκταρ ἀπὸ στολίδων.
τρισσοῖς γὰρ, Μούσαισι, Διωνύσῳ, καὶ Ἔρωτι,
πρέσβυ, κατεσπείσθη πᾶς ὁ τεὸς βίοτος.

LXXIV.

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
εἴ τι τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα,

LXXIII. 8. Cod. Vat. ἀπὸ σταλίδων.

ὡς ὁ Διωνύσοιο λελασμένος ὕποτε κώμων, T. II.
ὡς ὁ φιλακρήτυ σύντροφος ἁρμονίης,
μηδὲ καταφθίμενος Βάκχυ δίχα τῦτον ὑποίσω
τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

LXXV.

Εὕδεις ἐν φθιμένοισιν, Ανάκρεον, ἐσθλὰ πονήσας,
εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρα,
εὕδει καὶ Σμέρδις, τὸ Πόθων ἔαρ, ᾧ σὺ μελίσδων,
βάρβιτ', ἀνεκρέκυ νέκταρ ἐναρμόνιον.
ἠϊθέων γὰρ ἔρωτος ἔφυς σκοπός· ἐς δὲ σε μῦνον
τόξα τε καὶ σκολιὰς εἶχεν ἐκηβολίας.

LXXVI. p. 27.

Τύμβος Ανακρείοντος· ὁ Τήϊος ἐνθάδε κύκνος
εὕδει, χἡ παίδων ζωροτάτη μανίη.
ἀκμὴν λειριόεντι μελίζεται ἀμφὶ Βαθύλλῳ
ἵμερα, καὶ κισσῦ λευκὸς ὔδωδε λίθος.
οὐδ' Αΐδης σοι ἔρωτας ἀπέσβεσεν, ἐν δ' Αχέροντος
ὢν, ὅλος ὠδίνεις Κύπριδι θερμοτέρῃ.

LXXVII.

Στασίχορον, ζαπληθὲς ἀμετρήτυ στόμα Μύσης,
ἐκτέρισε Κατάνας αἰθαλόεν δάπεδον,
ὗ, κατὰ Πυθαγόρα φυσικὰν φάτιν, ἁ πρὶν Ομήρυ
ψυχὰ ἐν στέρνοις δεύτερον ᾠκίσατο.

LXXIV. 5. In aliis libris legitur ὡς ὁ Διωνύσυ μεμελημένος ὕασι κῶμος.
LXXV. 5. Fort. ἠϊθέω γάρ.

T. II.

LXXVIII.

Ἴβυκε, λῃσταί σε κατέκτανον ἔκ ποτε νήσου
βάντες ἐρημαίην ἄστιβον ἠϊόνα,
πόλλ' ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
μάρτυρες, ἄλγιστον ὀλλυμένῳ θάνατον.
οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινῆτις Ἐριννὺς
τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον,
Σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδὸν
ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.

LXXIX.

Πιερικὰν σάλπιγγα, τὸν εὐάρθμων βαρὺν ὕμνων
χαλκευτὰν, κατέχει Πίνδαρον ἅδε κόνις,
p. 28. οὗ μέλος εἰσαΐων φθέγξαιό κεν, ὡς ἀπὸ Μουσέων
ἐν Κάδμου θαλάμοις σμῆνος ἀπεβλίσατο.

LXXX.

Διογένευς τόδε σῆμα, σοφοῦ κυνὸς, ὅς ποτε θυμῷ
ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον,
ᾧ μία τις πήρα, μία διπλοῒς, εἷς ἅμ' ἐφοίτα
σκήπων, αὐτάρκευς ὅπλα σαοφροσύνας.
ἀλλὰ τάφου τοῦδ' ἐκτὸς ἴτ' ἄφρονες, ὡς ὁ Σινωπεὺς
ἐχθαίρει φαῦλον πάντα, καὶ εἰν Ἀΐδῃ.

LXXXI.

Τῆνος ὅδε Ζήνων Κιτίῳ φίλος, ὅς ποτ' Ὄλυμπον
ἔδραμεν, οὐκ Ὄσσῃ Πήλιον ἀνθέμενος,

LXXIX. 4. Codd. ἀπεπλάσατο.

οὐδὲ τά γ' Ἡρακλῆος ἄεθλα· τὰν δὲ ποτ' ἄκρα T. II.
ἀτραπιτὸν μούνας εὗρε σαοφροσύνας.

LXXXII.

Οὐχὶ βαθυζώνων Ἱππαρχία ἔργα γυναικῶν,
τῶν δὲ Κυνῶν ἑλόμαν ῥωμαλέον βίοτον·
οὐδ' ἐμοὶ ἀμπεχόναι περονήτιδες, οὐ βαθύπελμος
εὔμαρις, οὐ λιπόων εὔαδε κεκρύφαλος·
θυλὰς δὲ σκίπωνι συνέμπορος, ἅ τε συνῳδὸς
δίπλαξ, καὶ κοίτας βλῆμα χαμαιλεχέος.
ἄμμι δὲ Μαιναλίας κάῤῥων βίος ἧς Ἀταλάντας
τόσσον, ὅσον σοφία κρέσσον ὀρειδρομίας.

LXXXIII.

Τὴν καὶ ἅμα χρυσῷ καὶ ἁλουργίσι, καὶ σὺν Ἔρωτι
θρυπτομένην, ἁπαλῆς Κύπριδος ἁβροτέραν
Λαΐδ' ἔχω, πολιῆτιν ἁλιζώνοιο Κορίνθου, p. 29.
Πειρήνης λευκῶν φαιδροτέραν λιβάδων,
τὴν θνητὴν Κυθέρειαν, ἐφ' ᾗ μνηστῆρες ἀγαυοὶ
πλείονες, ἢ νύμφης εἵνεκα Τυνδαρίδος,
δρεπτόμενοι χάριτάς τε καὶ ὠνητὴν ἀφροδίτην·
ἧς καὶ ὑπ' εὐώδει τύμβος ὄδωδε κρόκῳ,
ἧς ἔτι κηώεντι μύρῳ τὸ διάβροχον ὀστεῦν,
καὶ λιπαραὶ θυόεν ἄσθμα πνέουσι κόμαι·
ᾗ ἔπι καλὸν ἄμυξε κατὰ ῥέθος Ἀφρογένεια,
καὶ γοερὸν λύζων ἐστενάχησεν Ἔρως.
εἰ δ' οὐ πάγκοινον δούλην θέτο κέρδεος εὐνὴν,
Ἑλλὰς ἂν, ὡς Ἑλένης, τῆσδ' ὕπερ ἔσχε πόνον.

LXXXII. 3. Cod. Vat. οὐδὲ βαθύπελλος. 5. Vulgo οὐλὰς δέ.
8. Cod. Vat. ὀρειδρομίης.

T. II.

LXXXIV.

Οὐ νούσῳ Ῥοδόπα τε καὶ ἁ γενέτειρα Βοΐσκα,
οὐδ' ὑπὸ δυσμενέων δούρατι κεκλίμεθα·
ἀλλ' αὐταὶ, πάτρας ὁπότ' ἔφλεγεν ἄστυ Κορίνθου
γοργὸς Ἄρης, ἀΐδαν ἄλκιμον εἱλόμεθα.
ἔκτανε γὰρ μάτηρ με διασφακτῆρι σιδάρῳ,
οὐδ' ἰδίου φειδὼ δύσμορος ἔσχε βίου,
ἅψε δ' ἐναυχένιον δειρᾷ βρόχον· ἦς γὰρ ἀμείνω
δουλοσύνας ἁμῖν πότμος ἐλευθέριος.

LXXXV.

α Φράζε, γύναι, γενεήν, ὄνομα, χθόνα. β Καλλιτέλης μὲν
ὁ σπείρας· Πρηξὼ δ' οὔνομα· γῆ δὲ Σάμος.
α σᾶμα δὲ τίς τόδ' ἔχωσε; β Θεόκριτος, ὁ πρὶν ἄθικτα
ἀμετέρας λύσας ἅμματα παρθενίας.
α πῶς δ' ἔθανες; β λοχίοισιν ἐν ἄλγεσιν. α εἰπὲ δὲ ποίην
ἦλθες ἐς ἡλικίην. β δισσάκις ἐνδεκέτις.
p. 30. α ἦ καὶ ἄπαις; β οὐ, ξεῖνε· λέλοιπα γὰρ ἐν νεότητι
Καλλιτέλη, τριέτη παῖδ' ἔτι νηπίαχον.
α ἔλθοι ἐς ὀλβίστην ἱερὴν τρίχα. β καὶ σὸν, ὁδῖτα,
οὔριον ἰθύνοι πάντα Τύχη βίοτον.

LXXXVI.

α Εἰπὲ, γύναι, τίς ἔφυς. β Πρηξώ. α τίνος ἔπλεο πατρός;
β Καλλιτέλευς. α πάτρας δ' ἐκ τίνος ἐσσί; β Σάμου.
α μνᾶμα δέ σου τίς ἔτευξε; β Θεόκριτος, ὅς με σύνευνον
ἤγετο. α πῶς δ' ἐδάμης; β ἄλγεσιν ἐν λοχίοις.

LXXXIV. In Vat. cod. Theſſalonicenſi Antipatro tribuitur.
LXXXV. 9. In cod. marg. Scr. πολιήν. recte.

α εἶν ἔτεσιν τίσιν οὖσα; β δὶς ἕνδεκα. α παῖδα δὲ λείπεις; T. II.
β νηπίαχον, τριασῶν Καλλιτέλη ἐτέων.
α ζωῆς τέρμαθ' ἵκοιτο μετ' ἀνδράσιν. β καὶ σέο δοίη
παντὶ Τύχη βιότῳ τερπνὸν, ὁδῖτα, τέλος.

LXXXVII.

α Μαστεύω τίς ἐσσι τίς ἐπὶ σταλάτιδι πέτρᾳ,
Λυσιδίκα, γλυπτὸν τόνδ' ἐχάραξε νόον·
ἀνία γὰρ καὶ κημὸς, ὅ τ' εὐόρνιθι Τανάγρᾳ
οἰωνὸς βλαστῶν, θοῦρος ἐγερσιμάχας.
οὐχ ἅδεν, οὐδ' ἐπέοικεν ὑπωροφίοισι γυναιξὶν·
ἀλλὰ τά τ' ἠλακάτας ἔργα καὶ ἱστοπόδων.
β τὰν μὲν ἀνεγρομέναν με ποτ' εἴρια νύκτερος ὄρνις,
ἀνία δ' αὐδάσει δώματος ἡνίοχον·
ἱππαστὴρ δ' ὅδε κημὸς ἀείσεται οὐ πολύμυθον,
οὐ λάλον, ἀλλὰ καλᾶς ἔμπλεον ἀσυχίας.

LXXXVIII.

Μὴ θάμβει, μάστιγα Μυροῦς ἐπὶ σήματι λεύσσων,
γλαῦκα, βιὸν, χαροπὸν χᾶνα, θοὰν σκύλακα.
τόξα μὲν αὐδάσει τὰν ἔντονον ἀγέτιν οἴκου· p. 34.
ἁ δὲ κύων, τέκνων γνήσια καδομέναν·
μάστιξ δ' οὐκ ὀλοὰν, ξένε, δεσπότιν, ἀλλ' ἀγέρωχον
δμωσὶ, κολάστειραν δ' ἔνδικον ἀμπλακίας·
τὰν δὲ δόμων φυλακᾶς μελεδήμονα χὰν ἀγορεύει,
ἁ δὲ γλαὺξ, γλαυκᾶς Παλλάδος ἀμφίπολον.

LXXXVII. 1. Cod. Vat. τίς ἰνπγὶς σ. σταλατίδι πέτρῃ. Scr. M. τί τεῦ τις ἐπί.

LXXXVIII. 2. Scr. χᾶνα, βιὸν, χαροπὸν γλαῦκα, θ. σ. 7. Cod. Vat. φύλακα μ. τάνδ'. 8. Cod. γλαὺξ ἅδε γλαυκᾶς.

T. II. τοιοῖσδ' ἀμφ' ἔργοισιν ἀγάθεον, ἔνθεν ὕμευνος
τοιάδ' ἐμῷ τάλφ σύμβολα τεῦξε Βίτων.

LXXXIX.

Τὰν μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλον, ὦ ξένε, κίσσα
φάσει· τὰν δὲ μέθας σύντροφον, ἅδε κύλιξ·
τὰν Κρῆσσαν δὲ τὰ τόξα· τὰ δ' εἴρια, τὰν φιλοεργόν·
ἄνδεμα δ' αὖ μίτρας, τὰν πολιοκρόταφον·
τοιάνδε ταλαεργὸς ὅδ' ἔκρυψε Βιτ]ίδα τύμβος,
Τιμέλε ἄχραντον νυμφιδίαν ἄλοχον.
ἀλλ' ὦ 'νερ καὶ χαῖρε, καὶ οἰχομένοισιν ἐς Αἴδαν
τὰν αὐτὰν μύθων αὖθις ὕπαζε χάριν.

Salg. Rem. p. 6.

XC.

Τῆς πολιῆς τόδε σῆμα Μαρωνίδος, ἧς ἐπὶ τύμβῳ
γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρῇς κύλικα.
ἡ δὲ φιλάκρητος καὶ ἀεὶ λάλος οὐκ ἐπὶ τέκνοις
μύρεται, οὐ τεκέων ἀκλεάνῳ πατέρι·
ἓν δὲ τόδ' αἰάζει καὶ ὑπ' ἠρίον, ὅττι τὸ Βάκχου
ἄρμενον οὐ Βάκχου πλῆρες ἔπεστι τάφῳ.

XCI.

Εἰπὲ, λέον, φθιμένοιο τί πρὸς τάφον ἀμφιβέβηκας,
βουφόνε; τίς τᾶς σᾶς ἄξιος ἦν ἀρετᾶς;
p. 32. β υἱὸς Θευδώροιο Τελευτίας, ὃς μέγα πάντων
φέρτερος ἦν, θηρῶν ὅσσον ἐγὼ κέκριμαι.
οὐχὶ μάταν ἕστακα, φέρω δέ τι σύμβολον ἀλκᾶς
ἀνέρος· ἦν γὰρ δὴ δυσμενέεσσι λέων.

XCII.

LXXXIX. 6. Codd. τὰν τιμελάχραντον. Cod. Vat. τὰν non habet.

XCII. T. II.

Ὄρνι, Διὸς Κρονίδαο διάκτορε, τεῦ χάριν ἔστας
γοργὸς ὑπὲρ μεγάλου τύμβον Ἀριστομένευς;
ἀγγέλλω μερόπεσσιν οὕθ' οὕνεκεν ὅσσον ἄριστος
οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠϊθέων.
δειλαί τοι δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι·
ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.

XCIII.

Ἀστάλα, φέρ' ἴδω, τίν' ἔχει νέκυν. ἀλλὰ δέδορκα
γράμμα μὲν οὐδέν που τμαθὲν ὕπερθε λίθου,
ἐννέα δ' ἀστραγάλους πεπτηότας· ὧν πίσυρες μὲν
πρᾶτοι Ἀλεξάνδρου μαρτυρέουσι βόλον·
οἱ δὲ τὸ τᾶς νεότατος ἐφήλικος ἄνθος, Ἔφηβον,
εἷς δ' οὖ γε μανύει Χῖον ἀφαυρότερον.
ἦ ῥα τόδ' ἀγγέλλοντι, καὶ ὁ σκάπτροισι μεγαυχὴς
χὠ θάλλων ἥβᾳ τέρμα τὸ μηδὲν ἔχει,
ἢ τὸ μὲν οὔ; δοκέω δὲ ποτὶ σκοπὸν ἰθὺν ἐλάσσειν
ἰόν, Κρηταιεὺς ὥς τις ὀϊστοβόλος.
ἦς ὁ θανὼν Χῖος μέν, Ἀλεξάνδρου δὲ λελογχὼς
οὔνομ', ἐφηβαίῃ δ' ὤλετ' ἐν ἡλικίᾳ.
ὡς εὖ τὸν φθίμενον νέον ἄκριτα, καὶ τὸ κυβευθὲν
πνεῦμα δι' ἀφθέγκτων εἶπέ τις ἀστραγάλων.

* XCIV. p. 33.

Πλοῦτος Ἀριστείδου δάμαλις μία, καὶ τριχόμαλλος
ἦν οἶς· ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.

XCIII. 2. Cod. ἐμαθέν. Fort. γλυφθέν.

XCIII. Scr. [illegible]

T. II. ἤμβροτε δ' ἀμφοτέρων. ἀμνὴν λύκος, ἔκτανε δ' ὠδὶς
    τὴν δάμαλιν· πενίης ὤλετο βουκόλιον.
πηροδέτῳ δ' ὅ γ' ἱμάντι κατ' αὐχένος ἅμμα λυγώσας,
    οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.

* XCV.

Εἶχεν Ἀριστείδης ὁ βοκέῤῥιος οὐκ ἀπὸ πολλῶν
    πολλὰ, μιῆς δ' οἴος καὶ βοὸς εὐπορίην.
ἀλλὰ γὰρ οὐδ' ὁ πένης ἔφυγε φθόνον· ἤματι δ' αὐτῷ
    θήρ τις οἶν, τὴν βοῦν δ' ὤλεσε δυστοκίη.
μισήσας δ' ἀβληχρὸς ἐπαύλιον, ἅμματι πήρης
    ἐκ ταύτης βιοτὴν ἀχράδος ἐκρέμασε.

* XCVI.

Πύῤῥος ὁ μουνερέτης ὀλίγῃ νηὶ λεπτὰ ματεύων
    φυκία, καὶ τριχίνης μαινίδας ἐκ καθέτου,
ἠϊόνων ἀποτῆλε τυπεὶς κατέδυκε κεραυνῷ·
    νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη,
ἀγγελίην θείῳ καὶ λιγνύϊ μηνύουσα,
    καὶ φράσεν· Ἀργώην δ' οὐκ ἐπόθησε τρόπιν.

XCVII.

Καλλιγένευς Διόδωρον Ὀλύνθιον ἴσθι θανόντα
    ἐν λιμένι, πρώρης νύκτερον ἐκχύμενον,
δαιτὸς ἐπεὶ τὸ περισσὸν ἀπήμεσεν. ἆ πόσον ὕδωρ
    ὤλεσε τὸν τόσσῳ κεκριμένον πελάγει.

XCVIII.

p. 34. Ἤδη μὲν κροκόεις Πιτανάτιδι πίτναται νύμφᾳ
    Κλειναρέτᾳ χρυσέων πατὸς ἔσω θαλάμων,

καδεμόνες δ' ἥλποντο διωλένιον φλόγα πεύκας
ἄψειν ἀμφοτέραις ἀνσχόμενοι παλάμαις,
Δαμὼ καὶ Νίκιππος· ἀφαρπάξασα δὲ νοῦσος
παρθενικὰν, Λάθας ἄγαγεν ἐς πέλαγος.
ἀλγειναὶ δ' ἐκάμοντο συνάλικες, οὐχὶ θυρέτρων,
ἀλλὰ τὸν Ἀΐδεω στερνοτυπῆ πάταγον.

XCIX.

Μυρία τοι, Πτολεμαῖε, πατὴρ, ἔτι μυρία μάτηρ
τειρομένα θαλερὰς ἠκίσατο πλοκάμους·
πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμάσας
Ἀνδρόμαχος δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
ἁ μεγάλα δ' Αἴγυπτος ἑὰν ὠλόψατο χαίταν,
καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος.
καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα Σελάνα
ἄστρα καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν.
ὤλεο γὰρ διὰ λοιμὸν ὅλας θοινήτορα χέρσου,
πρὶν πατέρων νεαρᾷ σκᾶπτρον ἑλεῖν παλάμᾳ·
οὐδέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο. δὴ γὰρ ἄνακτας
τοίους οὐκ Ἀΐδας, Ζεὺς δ' ἐς Ὄλυμπον ἄγει.

C.

Εἰς τοὺς μετὰ Λεωνίδου μαχεσαμένους πρὸς Πέρσας ἐν Θερμοπύλαις.

Οἵδ' Ἀΐδαν στέρξαντες ἐνύπνιον, οὐχ, ἅπερ ἄλλοι
στάλαν, ἀλλ' ἀρετὰν ἀντ' ἀρετᾶς ἔλαχον.

CI.

p. 35.

Ἰσσοῦ ἐπὶ προμολῇσιν ἁλὸς παρὰ κῦμα Κιλίσσης
ἄγριον, αἱ Περσῶν κείμεθα μυριάδες,

T. II. ἔργον Ἀλεξάνδροιο Μακηδόνος, οἵ ποτ' ἄνακτι
Δαρείῳ κυμάτην οἶμον ἐφεσπόμεθα.

CII.

Τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι,
ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρεισάμενον,
ὁ Θρῆϊξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα,
κῦμα δ' ἀπὸ ψυχὴν ἔσβεσε νηπιάχου.
Ἰνοῖ, ἀνοικτίρμων τις ἔφυς θεὸς, ἣ Μελικέρτεω
ἥλικος οὐκ Ἀΐδην πικρὸν ἀπηλάσαο.

CIII.

Δμώϊον Ἱπποκράτευς ἔθανε βρέφος, ἐς πλατὺ πόντου
χεῖλος γειτοσύνης ἑρπύσαν ἐκ καλύβης,
πλεῖον ἐπεὶ μαζῶν ἔπιεν ποτόν. ἔῤῥε θάλασσα,
ἣ βρέφος ὡς μήτηρ ψεύσαο δεξαμένη.

CIV.

Ἦ πού σε χθονίας, Ἀρετημιὰς, ἐξ ἀκάτοιο
Κωκυτοῦ θεμέναν ἴχνος ἐπ' ἀϊόνι,
οἰχόμενον βρέφος ἄρτι νέῳ φορέουσαν ἀγοστῷ
ᾤκτειραν θαλεραὶ Δωρίδες εἰν Ἀΐδᾳ,
πευθόμεναι τεὸν κῆρα· σὺ δὲ ξαίνουσα παρειὰς
δάκρυσιν, ἐξεῖπας, φεῦ, ἀνιαρὸν ἔπος·
Διπλόον ὠδίνασα φίλον τέκος, ἄλλο μὲν ἀνδρὶ
Εὔφρονι καλλιπόμαν, ἄλλο δ' ἄγω φθιμένοις.

CV.

p. 36. Ὁ πρὶν ἐγὼ καὶ ψῆφα, καὶ ἀρπάκτειραν ἐρίκων
σπέρματος, ὑψιπετῆ Βιστονίαν γέρανον,

CIV. 7. Scr. ὠδίνασα, φίλαι, τέκος —

ῥινοῦ χερμαστῆρος ἐΰστροφα κῶλα τιταίνων, T. II.
  Ἀλκιμένης, πτανῶν εἶργον ἄπωθε νέφος.
καί με τις ὑτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα
  σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον
ἠελίου χήρωσεν. ἴδ' ὡς τὰ κατ' αἰθέρα λεύσσων
  τὠν ποσὶν οὐκ ἐδάην πῆμα κυλινδόμενον.

CVI.

Δᾶμις ὁ Νικαιεὺς ἐλαχὺ σκάφος ἔκ ποτε πόντου
  Ἰονίου ποτὶ γᾶν ναυστολέων Πέλοπος,
φορτίδα μὲν καὶ πάντα νεὼς ἐπιβήτορα λαὸν,
  κύματι καὶ συρμῷ πλαζομένους ἀνέμων,
ἀσκηθεῖς ἐσάωσε· καθιεμένης δ' ἐπὶ πέτραις
  ἀγκύρης, ψυχρῶν κάτθανεν ἐκ νιφάδων
μύσας ὁ πρέσβυς. ἴδ' ὡς λιμένα γλυκὺν ἄλλοις
  δοὺς, ξένε, τὸν Λήθης αὐτὸς ἔδυ λιμένα.

* CVII. ſcalig. R. γρ. 7.

Οὐκ οἶδ' εἰ Διόνυσον ὀνόσσομαι, ἢ Διὸς ὄμβρον
  μέμψομ'· ὀλισθηροὶ δ' εἰς πόδας ἀμφότεροι.
ἀγρόθε γὰρ κατιόντα Πολύξενον ἔκ ποτε δαιτὸς
  τύμβος ἔχει γλισχρῶν ἐξεριπόντα λόφων·
κεῖται δ' Αἰολίδος Σμύρνης ἑκάς. ἀλλά τις ὄρφνης
  δειμαίνοι μεθύων ἀτραπὸν ὑετίην.

* CVIII. p. 37ᶜ

Πᾶσα θάλασσα θάλασσα· τί Κυκλάδας, ἢ στενὸν Ἕλλης
  κῦμα, καὶ ὀξείας ἠλεὰ μεμφόμεθα;

CVI. 1. Cod. Vat. Δ. ὁ Νησαιεύς. in regio Plan. ὁ Νησαιεύς. in cod. I. Laſcaris ὁ Νικαεὺς et ſupraſcriptum Νικαιεύς.

T. II. ἄλλως τοὔνομ' ἔχουσιν· ἐπεὶ τί με, τὸν προφυγόντα
κεῖνα, Σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν;
νόστιμον εὐπλοΐην ἀρῶτό τις. ὡς τά γε πόντου
πόντος, ὁ τυμβευθεὶς οἶδεν Ἀρισταγόρης.

* CIX.

Χειμερίην καίουσαν ἐφ' ἑστίῃ ἄνθρακα Γοργὼ
τὴν γρηῦν βροντῆς ἐξεπάταξε φόβος·
πνεύμονα δὲ ψυχθεῖσα κατήμυσεν. ἦν ἄρα μέσση
γήρως καὶ θανάτου λειπομένη πρόφασις.

CX.

Τοῦτό τοι, Ἀρτεμίδωρε, τεῷ ἐπὶ σάματι μάτηρ
ἴαχε, δωδεκέτη σὸν γοάουσα μόρον·
Ωλετ' ἐμᾶς ὠδῖνος ὁ πᾶς πόνος εἰς πόνον, εἰς πῦρ,
ὤλετο Παμμένεος γειναμένου κάματος·
ὤλετ' ἀπευθής μοι τέρψις σέθεν. ἐς γὰρ ἄκαμπτον,
ἐς τὸν ἀνόστητον χῶρον ἔβης ἐνέρων,
οὐδ' ἐς ἐφηβείαν ἐλθὼν, τέκος· ἀντὶ δὲ σεῖο
στάλα, καὶ κωφὰ λείπεται ἄμμι κόνις.

* CXI.

Αὐτοῦ σοι παρ' ἅλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ,
ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμαν,
ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὖλαξ
θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ.

CX. 3. Scr. εἰς σποδόν.

ΔΑΦΙΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ. T.III.p.330.

Πορφύρεοι μώλωπες, ἀπορρινήματα γάζης
Λυσιμάχου, Λυδῶν ἄρχετε καὶ Φρυγίης.

Δ Α Μ Α Γ Η Τ Ο Υ. T.II.p.38.

I.

Ἄρτεμι, Δηϊότητι γάμος θ' ἅμα καὶ γένος εἴη,
τῇ Λυκομηδείῃ παιδὶ φιλατραγάλῳ.

In Erratis hoc Epigr. delendum sive inducendum esse dicit Jacobs

II.

Ἄρτεμι τόξα λαχοῦσα καὶ ἀλκήεντας ὀϊστούς,
σοὶ πλόκον οἰκείας τόνδε λέλοιπε κόμης
Ἀρσινόη θυόεν παρ' ἀνάκτορον, ἡ Πτολεμαίου
παρθένος, ἱμερτοῦ κειραμένη πλοκάμου.

III.

Οὔτ' ἀπὸ Μεσσάνας, οὔτ' Ἀργόθεν εἰμὶ παλαιστάς·
Σπάρτα μοι Σπάρτα κυδιάνειρα πατρίς.
κεῖνοι τεχνάεντες· ἔγωγε μέν, ὡς ἐπέοικε
τοῖς Λακεδαιμονίων παισί, βίᾳ κρατέω.

III. a T.III.p.331.

Εἰς Ἡρακλέα προσμαχόμενον τῷ ἐν Νεμέᾳ λέοντι.

Ἐκ Νεμέας ὁ λέων· ἀτὰρ ὁ ξένος Ἀργόθεν αἷμα,
μείζων δὲ θηρῶν ὃς μέν, ὁ δ' ἡμιθέων.

II. 1. Cod. ἀκήεντας. Suid. ἀλκήεντας.

ἔρχονται δ' ἐς ἀγῶνα, καταντίον ὄμμα βαλόντες
λοξὸν ὑπὲρ ζωᾶς καὶ βιοτᾶς σφετέρας.
Ζεῦ πάτερ, ἀλλ' εἴη τὸν ἀπ' Ἄργεος ἀνέρα νικᾶν,
ἔμβατος ὡς ἄν τοι καὶ Νεμέα τελέθῃ.

T. II. p. 38.

IV.

Καί ποτε Θυμώδης, τὰ παρ' ἐλπίδα κήδεα κλαίων
παιδὶ Λύκῳ κενεὸν τοῦτον ἔχευε τάφον.
οὐδὲ γὰρ ὀθνείην ἔλαχεν κόνιν, ἀλλά τις ἀκτὴ
νηϊὰς, ἢ νήσων ποντιάδων τις ἔχει·
ἔνθ' ὅ γε που, πάντων κτερέων ἄτερ, ὀστέα φαίνει
γυμνὸς ἐπ' ἀξείνου κείμενος αἰγιαλοῦ.

p. 39.

V.

Ὀρφέα Θρηϊκίῃσι παρὰ προμολῇσιν Ὀλύμπου
τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης,
ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ συνάμ' ἕσπετο πέτρη
ἄψυχος, θηρῶν θ' ὑλονόμων ἀγέλαι,
ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου,
καὶ στίχον ἡρώῳ ζευκτὸν ἔτευξε ποδί,
ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα,
καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ.

VI.

Ὧδ' ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας
τεθνάμεν ἢ φεύγειν εἵλετ' Ἀρισταγόρας,
υἱὸς Θευπόμπου. μὴ θαῦμ' ἔχε· Δωρικὸς ἀνὴρ
πατρίδος, οὐ ζωᾶς, ὀλλυμένας ἀλέγει.

VII.

Ὦ Λακεδαιμόνιοι, τὸν ἀρήϊον ὔμμιν ὁ τύμβος
Γύλλιν ὑπὲρ Θυρέας οὗτος ἔχει φθίμενον,
ἄνδρα, ὃς Ἀργείων τρεῖς ἔκτανε, καὶ τόδε γ' εἶπε·
Τεθναίην, Σπάρτας ἄξια μησάμενος.

VIII. T. II.

Ὤλεο δὴ πατέρων περὶ ληΐδα καὶ σὺ Μαχάτα,
δριμὺν ἐπ' Αἰτωλοῖς ἀντιφέρων πόλεμον,
πρωθήβας· χαλεπὸν γὰρ Ἀχαιϊκὸν ἄνδρα νοῆσαι
ἄλκιμον, εἰς πολιὰν ὅστις ἔμεινε τρίχα.

IX. p. 40.

Ἔστης ἐν προμάχοις, Χαιρωνίδη, ὧδ' ἀγορεύσας,
Η μόρον, ἢ νίκαν, Ζεῦ, πολέμοιο δίδου,
ἡνίκα τοι περὶ τάφρον Ἀχαιΐδα τῇ τότε νυκτὶ
δυσμενέες θρασέος δῆριν ἔθεντο πόνου.
καὶ μὴν ἀλλ' ἀρετή σε διακριδὸν ἄλλυς ἀείδει,
θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.

X.

Πρός σε Διὸς Ξενίου γουνούμεθα, πατρὶ Χαρίνου
ἄγγειλον Θήβην, ὦ 'νερ, ἐπ' Αἰολίδα
Μῆνιν καὶ Πολύνεικον ὀλωλότε, καὶ τόδε φαίης,
ὡς οὐ τὸν δόλιον κλαίομεν ἄμμι μόρον,
καίπερ ὑπὸ Θρῃκῶν φθίμενοι χερὸς, ἀλλὰ τὸ κείνου
γῆρας ἐν ἀργαλέῃ κείμενον ὀρφανίῃ.

XI.

Ὕστατον, ὦ Φώκαια, κλυτὴ πόλι, τοῦτο Θεανὼ
εἶπεν ἐς ἀτρύγετον νύκτα κατερχομένη·
Οἴμοι ἐγὼ δύστηνος· Ἀπέλλιχε, ποῖον, ὅμευνε,
ποῖον ἐπ' ὠκείῃ νηῒ περῇς πέλαγος;

IX. 5. Scr. ἀρετᾶς σε δ. ἄλλυς ἀείδει.
X. 1. Codd. πρὸς Διός.

T. II, αὐτὰρ ἐμοῦ σχεδόθεν μόρος ἵϛαται. ὡς ὄφελόν γε
χειρὶ φίλῃν τὴν σὴν χεῖρα λαβοῦσα θανεῖν.

XII.

Τὴν ἱλαρὰν φωνὴν καὶ τίμιον, ὦ παριόντες,
τῷ χρηϛῷ ΧΑΙΡΕΙΝ εἴπατε Πραξιτέλει·
ἦν δ' ὡ 'νὴρ Μυσῶν ἱκανὴ μερὶς, ἠδὲ παρ' οἴνῳ
κρήγυος· ὦ χαίροις Ἀνδρεῖε Πραξίτελες.

---

p. 41. # ΘΕΟΔΩΡΙΔΑ

I.

Μυριόπουν σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς
πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους·
καὶ τόδ' ἀπὸ βλοσυροῦ σελάχευς μέγα πλευρὸν ἀνῆψαν
δαίμοσι βυφόρτων κοίρανοι εἰκοσόρων.

II.

Εἰνάλιε λαβύρινθε, τύ μοι λέγε, τίς σ' ἀνέθηκεν,
ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος;
ὃ παίγνιον Ἀντριάσιν Διονύσιος ἄνθετο Νύμφαις
(δῶρον δ' ἐξ ἱερᾶς εἰμὶ Πελωριάδος)
υἱὸς Πρωτάρχου· σκολιὸς δ' ἐξέπλυσε πορθμὸς,
ὄφρ' εἴην λιπαρῶν παίγνιον Ἀντριάδων.

III.

Σοὶ τὸν πιληθέντα δι' εὐξάντου τριχὸς ἀμνοῦ,
Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασε πέτασον,

I. 2. Cod. σκοπέλοις.
III. In cod. Vat. hoc carmen Theodoro tribuitur.

καὶ δίβολον περόναν, καὶ στλεγγίδα, καὶ τὸ τανυσθὲν T. II.
τόξον, καὶ τριβάκην γλοιοπότιν χλαμύδα,
καὶ σχίζας, καὶ σφαῖραν ἀείβολον. ἀλλὰ σὺ δέξαι
δῶρα φιλευτάκτου, δαῖμον, ἐφηβοσύνας.

IV.

Ἄρτεμις, ἣ Γόργοιο φύλαξ κτεάνων τε καὶ ἀγροῦ,
τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους·
καί σοι ἐπιῤῥέξει Γόργος χιμάροιο νομαίης p. 42.
αἷμα, καὶ ὡραίους ἄρνας ἐπὶ προθύροις.

V.

Ἄλικες αἵ τε κόμαι καὶ ὁ κρώβυλος, ἃς ἀπὸ Φοίβῳ
πέξατο μολπαστᾷ Κῶμος ὁ τετραετής·
αἰχματὰν δ᾽ ἐπέθυσεν ἀλέκτορα, καὶ πλακόεντα
παῖς Ἡγησιδίκου πίονα τυροφόρον.
Ὤπολλον, θείης τὸν κρώβυλον εἰς τέλος ἄνδρα
οἴκου καὶ κτεάνων χεῖρας ὕπερθεν ἔχειν.

VI.

Καλῷ σὺν τέττιγι Χαρισθένεος τρίχα τήνδε
κουρόσυνον κούραις θῆκ᾽ Ἀμαρυνθιάσι
σὺν βοῒ χερνιφθέντα. πάϊς δ᾽ ἴσον ἀστέρι λάμπει,
πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

VII. Scalig. Poem. 129.

Στᾶθι πέλας, δάκρυσον ἰδών, ξένε, μυρία πένθη
τᾶς ἀθυρογλώσσου Ταντάλιδος Νιόβας,
ἃς ἐπὶ γᾶς ἔστρωσε δυωδεκάπαιδα λοχείην
ἄρτι, τὰ μὲν, Φοίβου τόξα, τὰ δ᾽, Ἀρτέμιδος.

V. 5. Scr. κρωβύλον.

T. II. ἁ δὲ λίθῳ καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχοισα
πετρῦται· στενάχει δ' ὑψιπαγὴς Σίπυλος.
ΘΝΑΤΟΙΣ ΕΝ ΓΛΩΣΣΑι ΔΟΛΙΑ ΝΟΣΟΣ, ΑΣ ΑΧΑΛΙΝΟΣ
ΑΦΡΟΣΥΝΑ ΤΙΚΤΕΙ ΠΟΛΛΑΚΙ ΔΥΣΤΥΧΙΑΝ.

p. 43.

VIII.

Μνασάλκειος τὸ σᾶμα τῶ Πλαταΐδα,
τῶ 'λεγειοποιῶ.
ἁ Μῶσα δ' αὐτῶ τᾶς Σιμωνίδα πλάτας
ἧς ἀποσπάραγμα·
κενά τε γάρ τοι κἀπιλακυθίστρια,
διθυραμβοχώνα.
τέθνακε, μὴ βάλωμες· εἰ δέ κε ζόῃ,
τύμπανόν γ' ἐφύση.

IX.

Εὐφορίων, ὁ περισσὸν ἐπιστάμενός τι ποιῆσαι,
Πειραϊκοῖς κεῖται τοῖσδε παρὰ σκέλεσιν.
ἀλλὰ σὺ τῷ μύστῃ ῥοιὴν, ἢ μῆλον ἄπαρξαι,
ἢ μύρτον· καὶ γὰρ ζωὸς ἐὼν ἐφίλει.

X.

Ωιχεο ἀσκίπων, Κινησία, Ερμῦ λάτρις,
ἐκτίσων Αίδῃ χρεῖος ὀφειλόμενον,
γυῖα ἔτ' ἄρτια πάντα φέρων· χρήστην δὲ δίκαιον
εὑρών σε, στέργει παντοβίης Αχέρων.

VIII. 1. Scr. Πλαταΐδα ſive Πλαταιάδα.
X. 3. Cod. γήραϊ τ' ἄρτια. Fort. γήρᾳ ἔτ'.

XI. T. II.

Οὕτω δὴ Πύλιον τὸν Ἀγήνορος, ἄκριτε Μοῖρα,
πρώϊον ἐξ ἥβας ἔθρισας Αἰολέων,
Κῆρας ἐπισσεύσασα βίῃ κύνας. ὦ πόποι, ἀνὴρ
οἷος ἀμειδήτῳ κεῖται ἕλωρ Ἀΐδῃ.

XII. p. 44.

Δηρίφατον κλαίω Τιμοσθένη, υἷα Μολόσσου,
ξεῖνον ἐπὶ ξείνῃ Κεκροπίᾳ φθίμενον.

XIII.

Τόλμα καὶ εἰς Ἀΐδαν καὶ ἐς Οὐρανὸν ἄνδρα κομίζει,
ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς,
Δωρόθεον. Φθίᾳ γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων
ἐῤῥαίσθη σηκῶν μεσσόθι καὶ Χιμάρας.

XIV.

Εὐρύσορον περὶ σῆμα τὸ Φαιναρέτης ποτὲ κοῦραι
κέρσαντο ξανθοὺς Θεσσαλίδες πλοκάμους,
προτοτόκον καὶ ἄποτμον ἀτυζόμεναι περὶ νύμφην,
Λάρισσαν δὲ φίλην ἤκαχε καὶ τοκέας.

XV.

Κληΐδες πόντου σε καὶ ἐσχατιαὶ Σαλαμῖνος,
Τίμαρχ', ὑβριστής τ' ὤλεσε Λὶψ ἄνεμος,
νηΐ τε σὺν φόρτῳ τε· κόνιν δ' οὐδ' ἀμφιμέλαιναν
δέξαντ' οἰζυροὶ, σχέτλιε, κηδεμόνες.

XII. Apogr. Buher. Dioſcoridi tribuit hoc Epigr. In marg. notatum. cod. Gaulmini: Θεωδωρίδα. 1. Cod. δηρίφαγον.
XIII. 4. Cod. Vat. χιμέρας.

T. II.

XVI.

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε. καὶ γὰρ ὅθ' ἡμεῖς
ὀλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.

XVII.

Θεύδοτε, κηδεμόνων μέγα δάκρυον, οἵ σε θανόντα
κάκυσαν, μέλεον πυρσὸν ἀναψάμενοι,
p. 45. αἰνόλινε, τρισάωρε· σὺ δ' ἀντὶ γάμου τε καὶ ἥβης
κάλλιπες ἡδίστῃ ματρὶ γόους καὶ ἄχη.

XVIII.

Πέτρος ἐγὼ τοπάλαι γυρή, καὶ ἄτριπτος ἐπιβλῆς,
τὴν Ἡρακλείτου ἔνδον ἔχω κεφαλήν.
αἰών μ' ἔτριψε κροκάλαις ἴσον· ἐν γὰρ ἀμάξῃ
παμφόρῳ αἰζήων εἰνοδίῃ τέταμαι.
ἀγγέλλω δὲ βροτοῖσι, καὶ ἄστηλός περ ἐοῦσα,
θεῖον ὑλακτητὴν δήμου ἔχουσα κύνα.

---

p. 46. # ΠΟΣΕΙΔΙΠΠΟΥ.

I.

Ναὶ ναὶ βάλλετ' Ἔρωτες· ἐγὼ σκοπὸς εἷς ἅμα πολλοῖς
κεῖμαι. μὴ φείσησθ' ἄφρονες· ἢν γὰρ ἐμὲ
νικήσητ', ὀνομαστοὶ ἐν ἀθανάτοισιν ἔσεσθε
τοξόται, ὡς μεγάλης δεσπόται ἰοδόκης.

II.

Εὔοπλον καὶ πρὸς σε μαχήσομαι, οὐδ' ἀπεροῦμαι
θνητὸς ἐών· σὺ δ', Ἔρως, μηκέτι μοι πρόσαγε.

ἢν με λάβῃς μεθύοντ', ἅπαγ' ἔκδοτον· ἄχρι δὲ νήφω, T. II.
  τὸν παραταξάμενον πρός σε λογισμὸν ἔχω.

III.

Α Κύπρον, ἅ τε Κύθηρα, καὶ ἃ Μίλητον ἐποιχνεῖς
  καὶ καλὸν Συρίης ἱπποκρότου δάπεδον,
ἔλθοις ἵλαος Καλλιστίῳ, ἣ τὸν ἐραστὴν
  οὐδέ ποτ' οἰκείων ὦσεν ἀπὸ προθύρων.

IV.

Μή με δόκει πιθανοῖς ἀπατᾷν δάκρυσσι, Φιλαινὶ,
  οἶδα, φιλεῖς γὰρ ὅλως οὐδένα μεῖζον ἐμοῦ·
τοῦτό γ', ὅσον παρ' ἐμοὶ κέκλισαι χρόνον. εἰ δ' ἕτερός σε
  εἶχε, φιλεῖν ἂν ἔφης μεῖζον ἐκεῖνον ἐμοῦ.

V. p. 47.

Πυθιὰς, εἰ μὲν ἔχεις τιν', ἀπέρχομαι· εἰ δὲ καθεύδεις
  ὧδε μόνη, μικρὸν, πρὸς Διὸς, εἰσκάλεσον.
αἶρε δὲ σημεῖον, μεθύων ὅτι καὶ διακλωπῶν
  ἦλθον, Ερωτι θρασεῖ χρώμενος ἡγεμόνι.

VI.

Εν, Παφίη Κυθέρεια, παρήϊον εἶδε Κλέανδρος
  Νικοῦς ἐν χαροποῖς κύμασι νηχομένης.
καιομένους δ' ὑπ' Ερωτος ἐνὶ φρεσὶν ἄνθρακας ὡ 'νὴρ
  ξηροὺς ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.
χὠ μὲν ἐναυάγει γαίης ἔπι· τὴν δὲ, θαλάσσης
  ψαύουσαν, πρηεῖς εἴχοσαν αἰγιαλοί.

V. 3. Cod. εἶπε δέ.
VI. 3. Scr. καιόμενος.

T. II. νῦν δ' ἴσος ἀμφοτέροις φιλίης πόθος. οὐκ ἀτελεῖς γὰρ
εὐχαί, τὰς κείνης εὔξατ' ἐπ' ἠϊόνος.

VII. Scalig. P. gr. 14.

Αὐτοὶ τὴν ἁπαλὴν Εἰρήνιον εἶδον Ἔρωτες,
Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος, οἷά τε λύγδου
γλυπτήν, παρθενίων βριθομένην χαρίτων.
καὶ πολλοῖς τότε χερσὶν ἐπ' ἠϊθέοισιν ὀϊστοὺς
τόξου πορφυρέης ἧκαν ἀφ' ἁρπεδόνης.

VIII.

Δάκρυα καὶ κῶμοι, τί μ' ἐγείρετε, πρὶν πόδας ἆραι
ἐκ πυρός, εἰς ἑτέρην Κύπριδος ἀνθρακιήν;
λήγω δ' οὔ ποτ' ἔρωτος· ἀεὶ δ' ἐμοὶ ἐξ Ἀφροδίτης
ἄλγος ὁ μὴ κραίνων κοινὸν ἄγοντι πόθος.

p. 48. IX.

Τὸν Μουσῶν τέττιγα Πόθος δήσας ἐπ' ἀκάνθαις
κοιμίζειν ἐθέλει, πῦρ ὑπὸ πλευρὰ βαλών·
ἡ δὲ πρὶν ἐν βίβλοις πεπονημένη ἄλλα θερίζει
ψυχή, ἀνιηρῷ δαίμονι μεμφομένη.

X.

Ναννοῦς καὶ Λύδης ἐπίχει δύο, καὶ φερ' ἐραστῶν,
Μιμνέρμου, καὶ τοῦ σώφρονος Ἀντιμάχου·
συγκέρασον τὸν πέμπτον ἐμοῦ· τὸν δ' ἕκτον ἑκάστου,
Ἡλιόδωρ', εἴπας ὅστις ἐρῶν ἔτυχεν·

ἕβδο-

VIII. 4. Cod. Vat. κρίνων. ſed ex correctione.
IX. 3. Scr. ἀλλ' ἀθερίζει ſive ἀθέριζε. Poſt πεπονημένη reliqua diſtichi pars et ſequ. initium deeſſe videtur.

ἕβδομον Ἡσιόδου, τὸν δ' ὄγδοον εἰπὸν Ὁμήρου, T. H.
τὸν δ' ἔνατον Μουσῶν, Μνημοσύνης δέκατον.
μεστὸν ὑπὲρ χείλους πίομαι, Κύπρι. τἄλλα δ' Ἔρωτες
νήφοντ' οἰνωθέντ' οὐχὶ λίην ἄχαριν.

XI.

Κεκροπὶ ῥαῖνε λάγυνε πολύδροσον ἰκμάδα Βάκχου,
ῥαῖνε, δροσιζέσθω συμβολικὴ πρόποσις.
σιγάσθω Ζήνων ὁ σοφὸς κύκνος, ἅ τε Κλεάνθους
μοῦσα· μέλοι δ' ἡμῖν ὁ γλυκύπικρος Ἔρως.

XII.

Τέσσαρες οἱ πίνοντες, ἐρωμένη ἔρχεθ' ἑκάστῳ·
ὀκτὼ γιγνομένοις ἓν Χίου οὐχ ἱκανόν.
παιδάριον, βαδίσας πρὸς Ἀρίστιον, εἰπὲ τὸ πρῶτον
ἡμιδεὲς πέμψαι, χοῦς γὰρ ἔνεισι δύο
ἀσφαλέως, οἶμαι δ' ὅτι καὶ πλέον. ἀλλὰ τρόχαζε·
ὥρας γὰρ πέμπτης πάντες ἀθροιζόμεθα.

XIII. p. 49.

ᵃΤίς, πόθεν ὁ πλάστης; ᵦΣικυώνιος. ᵃοὔνομα δὴ τίς;
ᵝΛύσιππος. ᵃσὺ δὲ, τίς; ᵝΚαιρὸς ὁ πανδαμάτωρ.
ᵃτίπτε δ' ἐπ' ἄκρα βέβηκας; ᵝαἰεὶ τροχάω. ᵃτί δὲ ταρσοὺς cf. Voss Anth. Br. B. I. p. 156.
ποσσὶν ἔχεις διφυεῖς; ᵝἵπταμ' ὑπηνέμιος. Vaß Anth. Br. II. p. 36. 167.
ᵃχειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ᵝἀνδράσι δεῖγμα
ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
ᵃἡ δὲ κόμη, τί κατ' ὄψιν; ᵝὑπαντιάσαντι λαβέσθαι,
νὴ Δία. ᵃτἀξόπιθεν δ' εἰς τί φαλακρὰ πέλει;

X. 7. Fort. κ. σοὶ γὰρ ἐρατὴς νήφων τ' οἰνωθεὶς τ' εὔχαρίς ἐστιν ὁμῶς.
XII. 2. Scr. χίου ἓν.

T. II. β τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶν
οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
α τοὔνεχ' ὁ τεχνίτας σε διέπλασεν; β εἵνεκεν ὑμέων,
ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

XIV.

Λύσιππε, πλάστα Σικυώνιε, θαρσαλέη χεὶρ,
δάϊε τεχνῖτα, πῦρ τοι ὁ χαλκὸς ὁρῇ,
ὃν κατ' Ἀλεξάνδρου μορφᾶς χέες. οὐκέτι μεμπτοὶ
Πέρσαι· συγγνώμη βουσὶ λέοντα φυγεῖν.

XV.

Καὶ περὶ συνθεσίης ἔφαγόν ποτε Μηόνιον βοῦν·
πάτρη γὰρ βρώμην οὐκ ἂν ἐπέσχε Θάσος
Θευγένει. ὅσσα φαγὼν ἔτ' ἐπῄτεον· οὕνεκεν οὕτω
χάλκεος ἕστηκα χεῖρα προϊσχόμενος.

T. II. p. 528. XV. a.

Οὐ ποταμὸς κελαδῶν ἐπὶ χείλεσιν, ἀλλὰ δράκοντος
εἶχέ ποτ' εὐπώγων τόνδε λίθον κεφαλὴ,
λευκὰ, φαληριόωντα. τὸ δὲ γλυφὲν ἅρμα κατ' αὐτοῦ
τοῦθ' ὑπὸ λυγκείου βλέμματος ἐγλύφετο.
ψεύδεϊ χειρὸς ὅμοιον ἀποπλασθὲν γὰρ ὁρᾶται·
γλύμμα κατὰ πλατέος δ' οὐκ ἂν ἴδοις προβόλου.
ἦ καὶ θαῦμα πέλει μόχθου μέγα, πῶς ὁ λιθουργὸς
τὰς ἀτενιζούσας οὐκ ἐμόγησε κόρας.

Scal. Poem. p. 3.
T. II. p. 49. XVI.

Ποίην τις βιότοιο τάμῃ τρίβον; εἰν ἀγορῇ μὲν
νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις

φροντίδες· ἐν δ' ἀγροῖς καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ T. II. p.50.
τάρβος. ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος·
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
ἔσσεαι. οὐ γαμέεις; ζήσῃ ἐρημότερος.
τέκνα, πόνοι· πήρωσις, ἄπαις βίος. αἱ νεότητες
ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

XVII.

Φυρόμαχον, τὸν πάντα φαγεῖν βόρον, οἷα κορώνην
παννυχίην, αὕτη ῥωγὰς ἔχει κάπετος,
χλαίνης ἐν τρύχει Πελληνίδος. ἀλλὰ σὺ τούτου
καὶ χρῖε στήλην, Ἀττικὲ, καὶ στεφάνου,
εἴ ποτέ σοι προκύων συνεκώμασεν. ἦλθε δ' ἀμαυρὰ
βλέψας ἐκ πελίων νωδὸς ἐπισκυνίων,
ὠχρὸς, διφθερίας, μονολήκυθος. ἐκ γὰρ ἀγώνων
τῶν τότε ληναϊκῶν ἦλθ' ὑπὸ κοῖλον ὀπήν.

XVIII.

Τὸν τριέτη παίζοντα περὶ φρέαρ Ἀρχιάνακτα
εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο.
ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἅρπασε μάτηρ,
σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει.
Νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνων
ματρὸς κοιμαθεὶς τὸν βαθὺν ὕπνον ἔχει.

T. II. p. 51.

XIX.

Ναυτίλοι, ἐγγὺς ἁλὸς τί με θάπτετε; πολλὸν ἄνευθεν
χῶσαι ναυηγῦ τλήμονα τύμβον ἔδει.
φρίσσω κύματος ἦχον, ἐμὸν μόρον. ἀλλὰ καὶ ὅυτως
χαίρετε, Νικήτην οἵτινες οἰκτέρετε.

XX.

Δωρίχα, ὀςέα μὲν σὰ πάλαι κοσμήσατο δεσμὸς
χαίτης, ἥ τε μύρων ἔμπνοος ἀμπεχόνη,
ᾗ ποτε τὸν χαρίεντα περιστέλλυσα Χάραξον
σύγχρυς ὀρθρινῦν ἥψαο κισσυβίων.
Σαπφῶαι δὲ μένυσι φίλης ἔτι καὶ μενέυσιν
ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες
ὄυνομα σὸν μακαριςὸν, ὃ Ναύκρατις ὧδε φυλάξει,
ἔς᾽ ἂν ἐπὶ Νείλυ ναῦς ἔφαλος γεγόνῃ.

XXI.

Τῦτο καὶ ἐν ποταμῷ καὶ ἐπὶ χθονὶ τῆς φιλαδέλφυ
Κύπριδος ἱλάσκεσθ᾽ ἱερὸν Ἀρσινόης,
ἣν ἀνακοιρανέυσαν ἐπὶ Ζεφυρηΐδος ἀκτῆς
πρῶτος ὁ ναύαρχος θήκατο Καλλικράτης.
ἡ δέ τοι εὔπλοΐην δώσει, καὶ χείματι μέσσῳ
τὸ πλατὺ λισσομένοις ἐκλιπανεῖ πέλαγος.

XIX. 2. Scr. ναυηγῦ τλήμονι. 4. Scr. ἐκτίρετε. in Cod. Vat. οἰκτίρετε.

ΦΑΝΙΟΥ.

T. II. p. 52.

I.

Ναὶ Θέμιν, ἀκρήτου καὶ τὸ σκύφος, ᾧ σεσάλευμαι,
    Πάμφιλε, βαιὸς ἔχει τὸν σὸν ἔρωτα χρόνος.
ἤδη γὰρ καὶ μηρὸς ὑπὸ τρίχα, καὶ γένυς ἡβᾷ,
    καὶ Πόθος εἰς ἑτέρην λοιπὸν ἄγει μανίην.
ἀλλ᾽ ὅτε δὴ σπινθῆρος ἔτ᾽ ἴχνια βαιὰ λέλειπται,
    φειδωλὴν ἀπόθου· ΚΑΙΡΟΣ ΕΡΩΤΙ ΦΙΛΟΣ.

II.

Σκήπωνα προποδαγὸν, ἱμάντα τε, καὶ πυρικοίταν
    νάρθηκα, κροτάφων πλάκτορα νηπιάχων,
κέρκον τ᾽ εὐόλπαν φιλοκαμπέα, καὶ μονόπελμον
    συκχίδα, καὶ τεγανὰν κρατὸς ἐρημοκόμου
Κάλλων Ἑρμείᾳ θέτ᾽ ἀνάκτορι, σύμβολ᾽ ἀγωγᾶς
    παιδείου, πολιῷ γυῖα δεθεὶς καμάτῳ.

III.

Σμίλαν Ακεσώνδας δονακογλύφον, ὄν τ᾽ ἐπὶ μισθῷ
    σπόγγον ἔχε καλάμων ψαίστορ᾽ ἀπὸ Κνιδίων,
καὶ σελίδων κανόνισμα φιλόρθιον, ἕρμα πορείας
    σαμοθέτου, καὶ τὰν εὐμέλανον βροχίδα,
κάρκινά τε σπειροῦχα, λεαντειράν τε κίσηριν,
    καὶ τὰν ἀδυφαῆ πλινθίδα καλλαΐναν,

III. 2. Cod. ἀποκνιδίων. Scr. ψαίστορα τῶν Κν. 3. Cod. ἔργμα τελείας σ.

T. II. μάζας ἀνίκ' ἔκυρσε τελωνιάδος (φιλολίχνου,
Πιερίσιν πενίας ἄρμεν' ἀνεκρέμασε.

p. 53. IV.

Ἄλκιμος ἀγρεῖφναν κενοδόντιδα, καὶ φιλόδουπον
φάρσος ἄμας, τελέου χῆρον ἐλαΐνεου,
ἐρθροπίδαν τερεάν τε, καὶ ὠλεσίβωλον ἀρούρας
σφύραν, καὶ δαπέδων μυνορύχαν ὄρυγα,
καὶ κτένας ἑλκητῆρας ἀνὰ προπύλαιον Ἀθάνας
θήκατο, καὶ ῥαπτὰς γειοφόρους σκαφίδας,
θησαυρῶν ὅτ' ἔκυρσεν, ἐπεὶ τάχ' οἱ ἁ πολυκαμπὴς
ἰξὺς κ' εἰς Ἀΐδαν ᾤχετο κυφαλέα.

V.

Φάρσος σοι γεραοῦ τόδε βότρυος, εἰνόδι' Ἑρμᾶ,
καὶ τρύφος ἰπνίτα πιαλέου φθόϊος
ἀρκεῖται, σῦκόν τε μελαντραγὲς, ἅδε τ' ἐφολκὶς
δρύππα, καὶ τυροῦ δρύψελα κυκλιάδος,
ἀκτά τε Κρηταιὶς, εὐτριβέος τ' ἐρεβίνθου
θωμὸς, καὶ Βάκχου πῶμ' ἐπιδορπίδιον·
τοῖσιν ἅδοι καὶ Κύπρις, ἐμὰ θεός· ὕμμι δὲ ῥέξειν
φημὶ παρὰ κροκάλαις ἀργιπόδαν χίμαρον.

VI.

Εὐγάθης Λαπιθανὸς ἐσοπτρίδα, καὶ φιλέθειρον
σινδόνα, καὶ πετάσου φάρσος ἐπιξυρίου,

IV. 2. Cod. ἄμα τελεῦ. 3. Cod. α. τέμεν τε.
V. 1. Cod. γεραρῶ. 2. Cod. ἰπνεύτα. 3. Cod. ἅτ' ἐφολκὶς δρύπτα. 4. Cod. δρύψια. 5. Cod. τε ῥοιῖτα.

καὶ ψήκτραν δονακῖτιν ἀπέπτυσε, καὶ λιποκώπους T. II.
φασγανίδας, καὶ τὰς συλόνυχας τόνυχας·
ἔπτυσε δ' εἰς ἅλα καὶ ξυρὰ καὶ θρόνον, εἰς δ' Ἐπικούρου
κουρεῖον προλιπὼν, ἅλατο κηπολόγου,
ἔνθα λύρας ἤκουσεν ὅπως ὄνος· ὤλετο δ' ἄν που
λιμώσσων, εἰ μὴ στέρξε παλινδρομίαν.

VII.

p. 54.

Ἀκτίτα καλαμευτὰ, ποτὶ ξερὸν ἔλθ' ἀπὸ πέτρας,
καί με λάβ' εὔαρχον πρώϊον ἐμπολέα,
αἴτε σύ γ' ἐν κύρτῳ μελανουρίδας, αἴτε τιν' ἀγρεῖς
μορμύρον, ἢ κίχλην, ἢ σπάρον, ἢ σμαρίδα·
αὐτόν τ' αὐγάσσεις με τὸν οὐ κρέας, ἀλλὰ θάλασσαν
τιμῶντα, ψαφαροῦ κλάσματος εἰς ἀπάτην.
χαλκίδας ἢν δὲ φέρῃς, φίλ', ἀκανθίδας, ἤ τινα θρίσσον,
εὐάγρει· λιθίναν οὐ γὰρ ἔχω φάρυγα.

VIII.

Ἠρίον οὐκ ἐπὶ πατρὶ, πολυκλαύτου δ' ἐπὶ παιδὸς
Λῦσις ἄχει κενεὴν τήνδ' ἀνέχωσε κόνιν,
οὔνομα ταρχύσας, ἐπεὶ οὐχ ὑπὸ χεῖρα τοκήων
ἤλυθε δυστήνου λείψανα Μαντιθέου.

VI. 3. Cod. καὶ λιποκόπτους.

T. II. p. 55.

ΧΑΙΡΗΜΟΝΟΣ.

I.

Τοῖς Ἀργείοις χᾆμιν ἴσαι χέρες, ἶσα δὲ τεύχη
συμβάλλομεν· Θυρέα δ' ἦσαν ἄεθλα δορός.
ἄμφω δ' ἀπροφάσιστα τὸν οἴκαδε νόστον ἀφέντες,
οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.

II.

Κλεύας Τιμοκλῆος, ὑπὲρ Θυρέαν δόρυ τείνας,
κάτθανες ἀμφίλογον γᾶν ἐπιεννύμενος.

III.

Εὔβουλον, ἐτέκνωσεν Ἀθηναγόρης περὶ πάντων
ἥσσονα μὲν μοίρᾳ, κρείσσονα δ' εὐλογίᾳ.

p. 56.

ΔΗΜΟΔΟΚΟΥ
ΛΕΡΙΟΥ.

I.

Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί. οὐχ ὁ μὲν, ὃς δ' οὔ·
πάντες. πλὴν Προκλέους· καὶ Προκλέης Χῖος.

II.

Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

Chaeremonis II. 1. apogr. Buher. χλεύασε Τιμοκλεῖος.

III. T. II.

Καππαδόκαι φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες,
φαυλότεροι· κέρδους δ' εἵνεκα φαυλότατοι.
ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι.
μὴ, λίτομαι βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

ΙΠΠΙΟΥ p. 57.

ΗΛΕΙΟΥ.

Σύζυγος ἦν μία πᾶσι πατρὶς, καὶ μοῖρα δὲ πάντας
ὤλεσεν ἠϊθέους, ὦ παροδῖτα, μία.
πάντας τ' αὐτὸς ἔχει πόντος, καὶ εἰκόνας αὐτὸς
τεῦξε, λυγροῖς πορθμοῦ ὀλλυμένων ῥοθίοις,
οὐ τὸ καλὸν κοσμεῖ περικείμενον οὔνομα τύμβους,
οὐ γλυκύς ἐσθ' ἡμῖν κἀν φθιμένοισιν ἔρως.

ΕΥΡΙΠΙΔΟΥ.

vide Tom. I. p. 96.

ΑΡΧΕΛΑΟΥ. p. 58.

I.

Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφὰν
Λύσιππος. τίν' ὅδε χαλκὸς ἔχει δύναμιν;
αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος ἐς Δία λεύσσων·
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ· σὺ δ' Ολυμπον ἔχε.

T. III. p. 330.

II.

Πάντα δι' ἀλλήλων ὁ πολὺς σφραγίζεται αἰών.
ἀνδρὸς γὰρ κοίλης ἐκ μυελοῦ ῥάχεως
δεινὸς γίνετ' ὄφις, νέκυος δειλοῖο σαπέντος,
ὃς νέον ἐκ τούτου πνεῦμα λάβῃ τέρατος
τεθνεότος, ζωὴν ἕλκων φύσιν· εἰ δὲ τόδ' ἐστὶν,
οὐ θαῦμα βλαστεῖν τὸν διφυῆ Κέκροπα.

III.

Εἰς ὑμᾶς κροκόδειλον ἀποφθίμενον διαλύει,
σκορπίοι, ἡ πάντα ζωοθετοῦσα Φύσις.

IV.

Ἐκ νέκυος ταύτην ἵππου γράψασθε γενέθλην,
σφῆκες. ἴδε ζώων οἷα τίθησι φύσις.

T. II. p. 58.

ΦΙΛΟΞΕΝΟΥ.

Τληπόλεμος ὁ Μυρεὺς Ἑρμᾶν ἀφετήριον ἑρμᾷ
ἱροδρόμοις θῆκεν παῖς ὁ Πολυκρίτου,
δὶς δέκ' ἀπὸ σταδίων ἐναγώνιον· ἀλλὰ πονεῖτε,
μαλθακὸν ἐκ γονάτων ὄκνον ἀπωσάμενοι.

T. II. p. 59.

ΔΟΥΡΙΔΟΣ

ΕΛΑΪΤΟΥ.

Εἰς τὸν κατακλυσμὸν Ἐφέσου.

Ηέριαι νεφέλαι, πόθεν ὕδατα πικρὰ πιοῦσαι
 νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε,
οὐ Λιβύης, Εφέσου δὲ τὰ μυρία κεῖνα ταλαίνης
 αὔλια, καὶ μακρῶν ἐξ ἐτέων κτέανα;
ποῦ δὲ σαωτῆρες τότε δαίμονες ἔτραπον ὄμμα;
 αἲ αἲ τὴν Ἰάδων πολλὸν ἀοιδοτάτην.
κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα
 εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένα.

ΞΕΝΟΚΡΑΤΟΥΣ.

Εἰς ἄγαλμα Ἑρμοῦ.

Ερμῆς οὗτος ἐγὼ κικλήσκομαι. ἀλλὰ παλαίστρῃ
 μὴ κολοβὸν χειρῶν ἵστατε, μηδ᾽ ἄποδα·
ἢ πῶς οὗτος ἐγώ; πῶς δ᾽ ὄρθια χειρονομήσω,
 ἐς βάσιν ἀμφοτέρων ὀρφανὸς ἱστάμενος;

T. II. p. 60. # Π Α Ρ Ρ Α Σ Ι Ο Υ

/b 499 ΤΟΥ ΖΩΓΡΑΦΟΥ.

I.

Αβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ᾽ ἔγραψε
Παῤῥάσιος, κλεινῆς πατρίδος ἐξ Εφέσυ
ὐδὲ πατρὸς᾽ λαθόμην Εὐήνορος, ὅς γ᾽ ἀνέφυσε
γνήσιον, Ελλήνων πρῶτα φέροντα τέχνης.

II.

Φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ᾽ ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
ὗρος. ἀμώμητον δ᾽ ὐδὲν ἔγεντο βροτοῖς.

III.

Εἰς τὸν ἐν Λίνδῳ Ηρακλέα.

Οἷος δ᾽ ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν
Παῤῥασίῳ δι᾽ ὕπνυ, τοῖος ὅδ᾽ ἐςὶν ὁρᾷν.

p. 61. # Φ Ι Λ Η Μ Ο Ν Ο Σ.

Ει ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον ἄνδρες, ὥς φασίν τινες,
ἀπηγξάμην ἂν, ὥς᾽ ἰδεῖν Εὐριπίδην.

II. 1. Scr. ὀχὶ κλύυσιν ἄπιςα λέγω τάδε. Φημὶ γὰρ ἤδη.

ΖΗΝΟΔΟΤΟΥ T. II.

ΕΦΕΣΙΟΥ.

I.

Τίς γλύψας τὸν Ἔρωτα, παρὰ κρήνῃσιν ἔθηκεν,
οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι;

II.

Τρηχείην κατ' ἐμεῦ, ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις
πάντοθεν, ἢ σκολιῆς ἄγρια σκῶλα βάτου,
ὡς ἐπ' ἐμοὶ μηδ' ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
ἴχνος, ἐρημάζω δ' ἥσυχα κεκλιμένος.
ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ' ἀστοῖσι φιληθεὶς,
Τίμων, οὐδ' Ἀΐδῃ γνήσιός εἰμι νέκυς.

III.

Κηρύσσεται ἀεὶ ἡ 'ρετή· κακὸς δ' ἀνὴρ
σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον.

ΑΡΚΕΣΙΛΑΟΥ. p. 62.

I.

Εἰς Ἄτταλον.

Πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον, ἀλλὰ καὶ ἵπποις,
πολλάκις αὐδᾶται Πῖσαν ἀνὰ ζαθέην.

III. 1. Scr. κηρύσσετ' αἰεὶ ἡ ἀρετή.

T. II. εἰ δὲ τὸν ἐκ Διόθεν θεμιτὸν θνατῷ νόον εἰπεῖν,
ἔσσεται εἰσαῦτις πολλὸν ἀοιδοτέρη.

II.

Τηλοῦ μὲν Φρυγίη, τηλοῦ δ' ἱερὴ Θυάτειρα,
ὦ Μηνόδωρε, σὴ πατρίς, Καδανάδη.
ἀλλὰ γὰρ εἰς Ἀχέροντα, τὸν οὐ φατὸν, ἶσα κέλευθα,
ὡς δεινὸς ἀνδρῶν, πάντοθεν μετρεύμενα.
σῆμα δέ τοι τόδ' ἔρεξεν ἀριφραδὲς Εὔδαμος, ᾧ σὺ,
πολλῶν πενεστέων ἦσθα προσφιλέστερος.

p. 63. ΔΩΡΙΕΩΣ.

Τοῖος ἔην Μίλων, ὅτ' ἀπὸ χθονὸς ἤρατο βρῖθος,
τετραετῆ δάμαλιν, ἐν Διὸς εἰλαπίναις,
ὤμοις δὲ κτῆνος τὸ πελώριον, ὡς νέον ἄρνα,
ἤνεγκεν δι' ὅλης κοῦφα πανηγύρεως.
καὶ θάμβος μέν· ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα
πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου.
ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
κόψας, πάντα κατ' οὖν μοῦνος ἐδαίσατό νιν.

p. 64. ΑΡΧΙΜΗΛΟΥ.

I.

Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος;

ἢ κορυφαῖς Αἴτνας παρισούμενον, ἤ τινι νάσων, T. II.
ἃς Αἰγαῖον ὕδωρ κυκλάδας ἐνδέχεται,
τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. ἦ ῥα Γίγαντες
τοῦτο πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς.
ἄστρων γὰρ ψαύει καρχήσια, καὶ τριελίκτους
θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων.
πείσμασιν ἀγκύρας ἀπερείδεται, οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.
μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
γράμμα, τίς ἐκ χέρσου τάνδ' ἐκύλισσε τρόπιν·
φασὶ γὰρ ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσῃ
καὶ νάσοις καρπῶν πίονα δωροφορῶν,
Σικελίας σκαπτοῦχος ὁ Δωρικός. ἀλλὰ Πόσειδον
σῷζε κατὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

II.

Τὴν Εὐριπίδεω μήτ' ἔρχεο, μήτ' ἐπιβάλλου,
δύσβατον ἀνθρώποις οἶμον, ἀοιδοθέτα.
λείη μὲν γὰρ ἰδεῖν καὶ ἐπίκροτος· εἰ δέ τις αὐτὴν
εἰσβαίνει, χαλεποῦ τρηχυτέρη σκόλοπος.
ἢν δὲ τὰ Μηδείης Αἰήτιδος ἄκρα χαράξῃς,
ἀμνήμων κείσῃ νέρθεν· ἔα στεφάνους.

I, 10. Scr. ἔχει ὀφίων.

T. II. p. 65.

ΔΗΜΗΤΡΙΟΥ
ΒΙΘΥΝΟΥ.

ΕΙΣ ΤΗΝ ΜΥΡΩΝΟΣ ΒΟΥΝ.

I. Gr. d. Bluml. p. 10.

Ἤν μ' ἐσίδῃ μόσχος, μυκήσεται· ἢν δέ γε ταῦρος,
βήσεται· ἢν δὲ νομεὺς, εἰς ἀγέλην ἐλάσει.

II. Gr. d. Bluml. p. 11.

Ὧδε Μύρων μ' ἔστησε τὸ βοΐδιον· οἱ δὲ νομῆες
βάλλουσί με λίθοις, ὡς ἀπολειπόμενον.

ΗΡΟΔΙΚΟΥ
ΒΑΒΥΛΩΝΙΟΥ.

Φεύγετ' Ἀριστάρχειοι ἐπ' εὐρέα νῶτα θαλάσσης
Ἑλλάδα, τῆς ξυθῆς δειλότεροι κεμάδος,
γωνιοβόμβυκες, μονοσύλλαβοι, οἷσι μέμηλε
τὸ ΣΦΙΝ, καὶ τὸ ΣΦΩΙΝ, καὶ τὸ ΜΙΝ, ἠδὲ τὸ ΝΙΝ.
τοῦθ' ὑμῖν εἴη, δυσπέμφελοι· Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι, καὶ θεόπαις Βαβυλών.

ΠΤΟΛΕ-

ΠΤΟΛΕΜΑΙΟΥ

ΒΑΣΙΛΕΩΣ.

T. II. p. 66.

I.

Πάνθ' Ἡγησιάναξ τε καὶ Ἕρμιππος τὰ κατ' αἴθρην
τείρεα, καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
βίβλοις ἐγκατέθεντο· ἀποσκόπιοι δ' ἀφάμαρτον.
ἀλλὰ τὸ λεπτολόγου σκῆπτρον Ἄρητος ἔχει.

II.

Οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφάμερος· ἀλλ' ὅταν ἄστρων
μαστεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
οὐκ ἔτ' ἐπιψαύω ποσὶ γαίης, ἀλλὰ παρ' αὐτῷ
Ζανὶ θεοτροφίης πίμπλαμαι ἀμβροσίης.

III.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Μή πόθεν εἰμὶ μάθῃς, μηδ' οὔνομα· πλὴν ὅτι θνήσκειν
τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

ΖΗΝΟΔΟΤΟΥ

ΤΟΥ ΣΤΩΙΚΟΥ.

p. 78.

Ἔκτισας αὐτάρκειαν, ἀφεὶς κενεαυχέα πλοῦτον,
Ζήνων, σὺν πολιῷ σεμνὸς ἐπισκυνίῳ.
ἄρσενα γὰρ λόγον εὗρες, ἐνηθλήσω δὲ προνοίᾳ
αἵρεσιν, βρέστου ματέρ' ἐλευθερίας.

II. 3. Melius ap. Syneſ. ἐπιψαύω γαίης ποσίν.

T. II. εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; ἦν καὶ ὁ Κάδμος
κεῖνος, ἀφ' ὧ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.

Lect. p. 267. ## ΚΟΡΝΗΛΙΟΥ ΣΥΛΛΑ.

Τόνδε σοι αὐτοκράτωρ Σύλλας ἀνέθηκ', Ἀφροδίτη,
ὥς σ' εἶδον κατ' ὄνειρον ἀνὰ στρατιὴν διέπουσαν,
τεύχεσι τοῖς Ἄρεος μαρναμένην ἔνοπλον.

T. II. p. 79. ## ΑΡΤΕΜΩΝΟΣ.

I.

Λητοΐδη, σὺ μὲν ἔσχες ἁλίῤῥυτον αὐχένα Δήλω,
κῶρε Διὸς μεγάλω, θέσφατα πᾶσι λέγων·
Κεκροπίαν δ' ἔχε Δῆμος, ὁ δεύτερος Ἀτθίδι Φοῖβος,
ᾧ καλὸν ἁβροκόμης ἄνθος ἔλαμψεν Ἔρως.
ἡ δ' ἀνὰ κῦμ' ἄρξασα, καὶ ἐν χθονὶ πατρὶς Ἀθήνη,
νῦν κάλλει δούλην Ἑλλάδ' ὑπηγάγετο.

II.

Λάθρη παπταίνοντα παρὰ φλιὴν Ἐχέδημον
λάθριος ἀκρήβην τὸν χαρίεντ' ἔκυσα.
δειμαίνω· καὶ γάρ μοι ἐνύπνιον ἦλθε, φαρέτρην
αἰτῶν, καὶ δοιὰς εἶλετ' ἀλεκτρυόνας,

I. Cod. in lemm. Δῆλον. οἱ δὲ Ἀρτέμωνος.
II. 3. Cod. δειμαίνων· κ. γ. μ. ἐνύπνιος ἠ. φαρέτρη αἰταίων, καὶ δὲς εἶχετ' ἀ. Pro αἰτῶν ſcr. αἴρων. deinde fort. δ. ἦγετ' ἀλ.

ἄλλοτε μειδιόων, ὅτε δ' ὁ φίλος. ἄρα μελισσέων T. II.
ἑσμοῦ, καὶ κνίδης, καὶ πυρὸς ἡψάμεθα.

ΔΙΟΔΩΡΟΥ ΖΩΝΑ p. 80.

ΣΑΡΔΙΑΝΟΥ.

I.

Δός μοι τὴν γαίης πεπονημένον ἄδυ κύπελλον,
ἃς γενόμαν, καὶ ὑφ' ᾇ κεῖσομ' ἀποφθίμενος.

II.

Δηοῖ λικμαίῃ, καὶ ἐναυλακοφοίτισιν Ὥραις
Ἑρμώναξ πενιχρῆς ἐξ ὀλιγηροσίης
μοῖραν ἀλωρήταις στάχυος, πάνσπερμά τε ταῦτα
ὄσπρι' ἐπὶ πλακίνου τοῦδ' ἔθετο τρίποδος,
ἐκ μικρῶν ὀλίγιστα. πέπατο γὰρ οὐ μέγα τοῦτο
κλήριον ἐν λυπρῇ τῇδε γεωλοφίῃ.

III.

Αρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον,
καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον,
πορφύρεόν τε βότρυν μεθυπίδακα, πυκνοῤῥᾶγα,
καὶ κάρυον χλωρῆς ἀρτίδορον λεπίδος
ἀγροιώτῃ τῷδε μονοστόρθυγγι Πριήπῳ
θῆκεν ὁ καρποφύλαξ, δενδριακὴν θυσίην.

II. 3. Apogr. Buher. ἀλωρήτῃ. in marg. notatur, cod. ἀλωεῖται dare.
III. 3. Scr. ex Suida: πυκνόῤῥωγα. 4. Cod. λεπτῆς ἀρτ.

T. II. IV.

Τῦτό σοι ὑλειῶτα κατ' ἀγριάδος πλατάνοιο
δέρμα λυκοῤῥαίστης ἐκρέμασεν Τελέσων,
p. 81. καὶ τὰν ἐκ κοτίνοιο καλαύροπα, τὰν πόκα τῆνος
πολλάκι ῥομβητὰν ἐκ χερὸς ἠκροβόλει.
ἀλλὰ τύ, Πὰν βυνῖτα, τὰ μὴ πολύολβά τε δέξαι
δῶρα, καὶ εὐαγρεῖν τῷδ' ἐπίνευσον ὄρει.

V.

Ὦ 'νερ, τᾶν βαλάνων τὰν ματέρα φείδεο κόπτειν,
φείδεο· γηραλέαν δ' ἐκκεράϊζε πίτυν,
ἢ πεύκαν, ἢ τάνδε πολυςέλεχον παλίυραν,
ἢ πρῖνον, ἢ τὰν αὐαλέαν κόμαρον.
τηλόθι δ' ἴσχε δρυὸς πέλεκυν. κοκύαι γὰρ ἔλεξαν
ἁμῖν ὡς πρότεραι ματέρες ἐντὶ δρύες.

VI.

Αἱ δ'. ἄγετε ξυθαὶ σιμβληΐδες ἄκρα μέλισσαι
φέρβεσθ' ἠὲ θύμων ῥικνὰ περικνίδια,
ἢ πετάλας μάκωνας, ἢ ἀςαφιδίτιδα ῥᾶγα,
ἢ ἴον, ἢ μάλων χνῦν ἐπικαρπίδιον·
πάντα περικνίξασθε, καὶ ἄγγεα κηρώσασθε,
ὄφρα μελισσοσόος Πὰν ἐπικυψέλιος
γεύσηται τὸ μὲν αὐτός· ὁ δὲ βλιςηρίδι χειρὶ
καπνώσας, βαιὴν κὔμμι λίπῃ μερίδα.

IV. 2. Recte ap. Suid. ἐκρέμασε.

VI. a

T. III. p. 331.

Ως ἀπὸ Πανός.

Νύμφαι ἐποχθίδιαι, πιδακίτιδες, εἴδετε Δάφνιν,
 χθιζὸς ἐπαχνιδίαν ὡς ἀπέλυσε κόνιν,
ὑμετέραις λιβάδεσσιν ὅτ᾽ ἔνθορε σειριόκαυτος,
 ἠρέμα φοινιχθεὶς μᾶλα παρηϊάδων.
εἴπατέ μοι, καλὸς ἦν; ἢ ἐγὼν τράγος οὐκ ἄρα ἐνάμαν
 μῶνον ἐπεγνώθην, ἀλλ᾽ ἔτι καὶ κραδίαν;

VII.

T. II. p. 81.

Αἰδῆ ὃς ταύτης καλαμώδεος ὕδατι λίμνης
 κωπεύεις νεκύων βᾶριν ἐλαυνομένην,
τῷ Κινύρου τὴν χεῖρα βατηρίδος ἐμβαίνοντι
 κλίμακος ἐκτείνας, δέξο κελαινὲ Χάρων·
πλάζει γὰρ τὸν παῖδα τὰ σάνδαλα, γυμνὰ δὲ θεῖναι
 ἴχνια δειμαίνει ψάμμον ἐπ᾽ ἠονίην.

VIII.

p. 82.

Θεῖος Αριστοφάνευς ὑπ᾽ ἐμοὶ νέκυς, εἰ τίνα πεύθῃ,
 κωμικὸν ἀρχαίης μνᾶμα χοροστασίης.

IX.

Ψυχράν σευ κεφαλᾶς ἐπαμήσομαι αἰγιαλῖτιν
 θῖνα, κατὰ κρυεροῦ χευάμενος νέκυος.
οὐ γάρ σευ μήτηρ ἐπιτύμβια κωκύουσα
 οἶδεν Αλεξάντη σὸν μόρον εἰνάλιον·

VI. a 1. Cod. καρκίδαες, εἴδ. 3. σειριόκαυθος. 4. φ. μάλλα παρ᾽ ηΐδα. 5. ὁ κάρα κ. 6. μῶνον ἐγνώθην.

VII. 1. Cod. ἄϊδη. 2. Cod. βᾶριν ἐλῶν ἐθύνεις

T. II. ἀλλά σ' ἐρημαῖοί τε καὶ ἄξεινοι πλαταμῶνες
δέξονται, γαίης γείτονες ἠϊόνες·
ὧς' ἔχε μὲν ψαμάθου μόριον βραχὺ, πουλὺ δὲ δάκρυ,
ξεῖν', ἐπεὶ εἰς ὀλοὴν ἔδραμες ἐμπορίην.

---

p. 83. # ΦΙΛΟΔΗΜΟΥ.

I.

Δημώ με κτείνει καὶ Θέρμιον· ἡ μὲν ἑταίρη
Δημώ· ἡ δ' οὔπω Κύπριν ἐπισταμένη.
καὶ τῆς μὲν ψαύω· τῆς δ' οὐ θέμις. οὐ μά σε Κύπρι,
οὐκ οἶδ' ἣν εἰπεῖν δεῖ με ποθεινοτέρην.
Δημαρίου λέξω τὴν παρθένον· οὐ γὰρ ἕτοιμα
βούλομαι, ἀλλὰ ποθῶ πᾶν τὸ φυλασσόμενον.

II.

Ηράσθην Δημοῦς Παφίης γένος· οὐ μέγα θαῦμα.
καὶ Σαμίης Δημοῦς δεύτερον· οὐχὶ μέγα.
καὶ πάλιν Ἀσιακῆς Δημοῦς τρίτον· οὐκ ἔτι ταῦτα
παίγνια· καὶ Δημοῦς τέτρατον Ἀργολίδος.
αὐταί που Μοῖραί με κατωνόμασαν Φιλόδημον,
ὡς αἰεὶ Δημοῦς θερμὸς ἔχοι με πόθος.

III.

αΧαῖρε σύ. β καὶ σύ γε χαῖρε. α τί δεῖ σε καλεῖν; β τί δέ; μήπω
τοῦτο. α φιλόσπουδος. β μήτε σύ. α μή τιν' ἔχεις;

I. 5. Cod. Δημάριον.

[β] αἰεὶ τὸν φιλέοντα. [α] θέλεις ἅμα σήμερον ἡμῖν T. II.
  δειπνεῖν; [β] εἰ σὺ θέλεις. [α] εὖγε· πόσου παρέσῃ;
[β] μηδέν μοι προδίδου. [α] τοῦτο ξένον. [β] ἀλλ' ὅσον ἄν σοι
  κοιμηθέντι δοκῇ, τοῦτο δός. [α] οὐκ ἀδικεῖς.
ποῦ γίνῃ; πέμψω. [β] καταμάνθανε. [α] πηνίκα δ' ἥξεις;
  [β] ἣν σὺ θέλεις ὥρην. [α] εὐθὺ θέλω. [β] πρόαγε.

IV. Scalig. P. p. 30. p. 84.

Ἡ κομψή, μεῖνόν με. τί σοι καλὸν οὔνομα; ποῦ σε
  ἐστὶν ἰδεῖν; ἃ θέλεις δώσομεν. οὐδὲ λαλεῖς.
ποῦ γίνῃ; πέμψω μετὰ σοῦ τινα. μή τις ἔχει σε;
  ὦ σοβαρή, ὑγίαιν'. οὐδ' ΥΓΙΑΙΝΕ λέγεις;
καὶ πάλι, καὶ πάλι σοι προσελεύσομαι. οἶδα μαλάσσειν
  καὶ σοῦ σκληροτέρας. νῦν δ' ὑγίαινε, γύναι.

V.

Καὶ νυκτὸς μεσάτης τὸν ἐμὸν κλέψασα σύνευνον
  ἦλθον, καὶ πυκινῇ τεγγομένη ψεκάδι.
τοὔνεκ' ἐν ἀπρήκτοισι καθήμεθα, κοὐχὶ λαλεῦντες
  εὕδομεν, ὡς εὕδειν τοῖς φιλέουσι θέμις;

VI. Scalig. P. p. 27.

Δακρύεις, ἐλεεινὰ λαλεῖς, περίεργα θεωρεῖς,
  ζηλοτυπεῖς, ἅπτῃ πολλάκι, πυκνὰ φιλεῖς.
ταῦτα μέν ἐστιν ἐρῶντος· ὅταν δ' εἴπω ΠΑΡΑΚΕΙΜΑΙ,
  καὶ σὺ μένεις ἅπλως, οὐδὲν ἐρῶντος ἔχεις.

V. 3. Fort. τοὔνεκεν ἄπρηκτοι κατακείμεθα.
VI. 4. Codd. ἁπλῶς.

T. II.

VII.

Νυκτερινή, δίκερως, φιλοπάννυχε φαῖνε Σελήνη,
φαῖνε δι' εὐτρήτων βαλλομένη θυρίδων·
αὔγαζε χρυσέην Καλλίστιον· ἐς τὰ φιλεύντων
ἔργα κατοπτεύειν οὐ φθόνος ἀθανάτοις.
ὀλβίζεις ταύτην τε καὶ ἡμέας, οἶδα, Σελήνη·
καὶ γὰρ σὴν ψυχὴν ἔφλεγεν Ενδυμίων.

VIII.

Πέντε δίδωσιν ἑνὸς τῇ δεῖνα ὁ δεῖνα τάλαντα,
καὶ βινεῖ φρίσσων, καί, μὰ τὸν, οὐδὲ καλήν.
p. 85. πέντε δ' ἐγὼ δραχμὰς τῶν δώδεκα Λυσιανάσσῃ,
καὶ βινῶ πρὸς τῷ κρείσσονα καὶ φανερῶς.
πάντως ἤ τοι ἐγὼ φρένας οὐκ ἔχω, ἤ τό γε λοιπὸν
τοὺς κείνου πελέκει δεῖ διδύμους ἀφελεῖν.

IX.

Εἰνὶ μύχοις κραδίας δοιοὺς περιθάλπω ἔρωτας,
τὸν μὲν Ρωμαΐδος, τὸν δὲ Κορινθιάδος.
ἡ μὲν ματρώνας τε τρόπους καὶ ἤθεα τέρπειν
οἶδ' ἀπὸ κεκρυφάλου μέχρι περισκελίδων·
ἡ δὲ χύδην παρέχει, πάσῃ φιλότητι προσηνῶς
πλατυεργοῦσα τύπους τοὺς Ελεφαντιάδος.
εἰ δὲ μίαν ταύταιν, Πεῖσον, μ' αἱρεῖν ἐπιτέλλεις,
εἰν Εφύρῃ μίμνω, τὴν δ' ἄρα Γάλλος ἔχει.

X. Scalig. P. p. 29.

Μικκὴ καὶ μελανεῦσα Φιλίννιον, ἀλλὰ σελίνων
οὐλοτέρη, καὶ μνοῦ χρῶτα τερεινοτέρη,

VII. 5. l. καὶ τήνδε καὶ ἡμ.
X. 2. Vulgo καὶ ἀμνοῦ. In praec. verſ. Cod. Vat. φιλίννιον.

καὶ κοιτῆ φωνεῦσα μαγώτερα, καὶ παρέχυσα T. II.

πάντα, καὶ αἰτῆσαι πολλάκι φειδομένη.

τοιαύτην στέργοιμι Φιλίννιον, ἄχρις ἂν εὕρω

ἄλλην, ὦ χρυσέη Κύπρι, τελειοτέρην.

XI. Scalig. P. p. 28.

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,

δάκρυα καὶ ζήλυς τὺς πρὶν ἐπισαμένη.

φησὶ μέν· ἀλλὰ φυγεῖν ὐ μοι σθένος. ἡ γὰρ ἀναιδὴς

αὕτη καὶ προλέγει, καὶ προλέγυσα φιλεῖ.

XII. p. 86

Ο πρὶν ἐγὼ καὶ πέντε καὶ ἐννέα, νῦν, Ἀφροδίτη,

ἓν μόλις ἐκ πρώτης νυκτὸς ἐς ἠέλιον.

φθίνει μοι καὶ τῦτο κατὰ βραχὺ, πολλάκι δ' ἤδη

ἡμιθανὲς θνήσκει τῦτο τὸ τερμόριον.

ὦ γῆρας, γῆρας, τί ποθ', ὕστερον ἢν ἀφίκηαι,

ποιήσεις, ὅτε νῦν ὧδε μαραινόμεθα;

XIII. Scalig. P. p. 29.

Ψαλμὸς, καὶ λαλιὴ, καὶ κωτίλον ὄμμα, καὶ ᾠδὴ

Ξανθίππης, καὶ πῦρ ἄρτι καταρχόμενον,

ὦ ψυχὴ, φλέξει σε· τὸ δ' ἐκ τίνος, ἢ πότε, καὶ πῶς,

ὐκ οἶδα· γνώσῃ δύσμορε τυφομένη.

XIV.

Ἑπτὰ τριηκόντεσσιν ἐπέρχονται λυκάβαντες,

ἤδη μοι βιότυ σχιζόμεναι σελίδες.

ἤδη καὶ λευκαί με κατασπείρυσιν ἔθειραι,

Ξανθίππη, συνετῆς ἄγγελοι ἡλικίης.

XII. 4. Fort. ἡμιτελὲς, et τερμόνιον.

T. II. ἀλλ' ἔτι μοι ψαλμός τε λάλος, κῶμοί τε μέλονται,
καὶ πῦρ ἀπλήστῳ τύφετ' ἐνὶ κραδίᾳ.
αὐτὴν ἀλλὰ τάχιστα κορωνίδα γράψατε, Μοῦσαι,
ταύτην, ἡμετέρης δεσπότιδες μανίης.

XV. Scalig. R. p. 28.

Οὔπω σοι καλύκων γυμνὸν θέρος, οὐδὲ μελαίνει
βότρυς ὁ παρθενίους πρωτοβολῶν χάριτας.
ἀλλ' ἤδη θοὰ τόξα νέοι θήγουσιν Ἔρωτες,
Λυσιδίκη, καὶ πῦρ τύφεται ἐγκρύφιον.
p. 87. φεύγωμεν δυσέρωτες, ἕως βέλος οὐκ ἐπὶ νευρῇ·
μάντις ἐγὼ μεγάλης αὐτίκα πυρκαϊῆς.

XVI. Scalig. l. l.

Ὁσσάκι Κυδίλλης ὑποκόλπιος, εἴτε κατ' ἦμαρ,
εἴτ' ἀποτολμήσας ἤλυθον ἑσπέριος,
οἶδ' ὅτι πὰρ κρημνὸν τέμνω πόρον, οἶδ' ὅτι ῥίπτω
πάντα κύβον κεφαλῆς αἰὲν ὕπερθεν ἐμῆς.
ἀλλὰ τί μοι πλέον; ἔστι γὰρ οὐ θρασὺς, ἠδ', ὅταν ἕλκῃ
πάντοσ' Ἔρως, ἀρχὴν οὐδ' ὄναρ οἶδε φόβον.

XVII. Scalig. R. p. 27.

Τὸν σιγῶντα, Φιλαινὶ, συνίστορα τῶν ἀλαλήτων ·
λύχνον ἐλαιηρῆς ἐκμεθύσασα δρόσου,
ἔξιθι· μαρτυρίην γὰρ Ἔρως μόνος οὐκ ἐφίλησεν
ἔμπνουν, καὶ πηκτὴν κλεῖε, Φιλαινὶ, θύραν.
καὶ σὺ, φίλη, ξανθῷ με . . . σὺ δ' ὦ φιλεράστρια κοίτης,
ἤδη τῆς Παφίης ἴσθι τὰ λειπόμενα.

XIV. 7. Fort. αὐταί.

XVIII. Sal. p. 28. T. II.

Ἑξήκοντα τελεῖ Χαριτὼ λυκαβαντίδας ὥρας·
ἀλλ' ἔτι κυανέων σύρμα μένει πλοκάμων,
κἠν στέρνοις ἔτι κεῖνα τὰ λύγδινα κωνία μαστῶν
ἕστηκεν μίτρης γυμνὰ περιδρομάδος,
καὶ χρὼς ἀῤῥυτίδωτος ἔτ' ἀμβροσίην, ἔτι πειθώ,
πάσας ἔτι στάζει μυριάδας χαρίτων.
ἀλλά γε τὰς ὀργῶσας ὅσοι μὴ φεύγετ' ἐρασταὶ,
δεῦρ' ἴτε, τῆς ἐτέων ληθόμενοι δεκάδος.

XIX. Sal. p. 29. p. 88.

Ἠράσθην. τίς δ' οὐχί; κεκώμακα. τίς δ' ἀμύητος
κώμων; ἀλλ' ἐμάνην. ἐκ τίνος; οὐχὶ θεοῦ;
ἐῤῥίφθω. πολιὴ γὰρ ἐπείγεται ἀντὶ μελαίνης
θρὶξ ἤδη, συνετῆς ἄγγελος ἡλικίης.
καὶ παίζειν ὅτε καιρὸς ἐπαίξαμεν· ἡνίκα καὶ νῦν
οὐκ ἔτι, λωϊτέρης φροντίδος ἁψόμεθα.

XX.

Γιγνώσκω, χαρίεσσα, φιλεῖν πάνυ τὸν φιλέοντα,
καὶ πάλι γιγνώσκω τόν με δακόντα δακεῖν·
μὴ λύπει με, λίαν στέργοντά σε, μηδ' ἐρεθίζειν
τὰς βαρυοργήτους σοὶ θέλε Πιερίδας.
τοῦτ' ἐβόων αἰεὶ, καὶ προὔλεγον· ἀλλ' ἴσα πόντῳ
Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων.
τοιγὰρ νῦν σὺ μὲν ὧδε μέγα κλαίουσα βαΰζοις·
ἡμεῖς δ' ἐν κόλποις ἥμεθα Νηϊάδος.

XVIII. 7. Codd. ἀλλὰ τιθῆς ὀργῶντας ὅσοι μὴ φλίγετ' ἐρασταί.

T. II. XXI. Scalig. p. 29.

Ὢ ποδός, ὢ κνήμης, ὢ τῶν ἀπόλωλα δικαίως
μηρῶν, ὢ γλουτῶν, ὢ κτενὸς, ὢ λαγόνων,
ὢ ὤμων, ὢ μαστῶν, ὢ τοῦ ῥαδινοῖο τραχήλου,
ὢ χειρῶν, ὢ τῶν μαίνομαι ὀμματίων,
ὢ κακοτεχνοτάτου κινήματος, ὢ περιάλλων
γλωττισμῶν, ὢ τῶν κλῶμεθα φωναρίων.
εἰ δ' ὀπικὴ καὶ χλωρὰ, καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς,
καὶ Περσεὺς Ἰνδῆς ἠράσατ' Ἀνδρομέδης.

p. 89. XXII.

Λευκοίνους πάλι δεῖ καὶ ψάλματα, καὶ πάλι Χίους
οἴνους, καὶ πάλι δὴ σμύρναν ἰδεῖν Συρίην,
καὶ πάλι κωμάζειν, καὶ ἔχειν πάλι διψάδα πόρνην;
οὐκ ἐθέλω. μισῶ ταῦτα τὰ πρὸς μανίην.
ἀλλά με ναρκίσσοις ἀναδήσατε, καὶ πλαγιαύλων
γεύσατε, καὶ κροκίνοις χρίσατε γυῖα μύροις,
καὶ Μιτυληναίῳ τὸν πνεύμονα τέγξατε Βάκχῳ,
καὶ συζεύξατέ μοι φωλάδα παρθενικήν.

XXIII.

Κράμβην Ἀρτεμίδωρος, Ἀρίσταρχος δὲ τάριχον,
βολβίσκους δ' ἡμῖν δῶκεν Ἀθηναγόρας,
ἡπάτιον Φιλόδημος, Ἀπολλοφάνης δὲ δύο μνᾶς
χοιρείου, καὶ τρεῖς ἦσαν ἀπ' ἐχθὲς ἔτι.
ὠὸν, καὶ στεφάνους, καὶ σάμβαλα, καὶ μύρον ἡμῖν
λάμβανε· τῆς δεκάτης εὐθὺ θέλω παράγειν.

XXI. 6. Cod. Vat. ὢ τῶν θέομαι φ. 7. Codd. καὶ φλωρά.

XXIV. T. II.

Κύπρι γαληναίη, φιλονύμφιε, Κύπρι δικαίων
σύμμαχε, Κύπρι Πόθων μῆτερ ἀελλοπόδων,
Κύπρι, τὸν ἡμίσπαστον ἀπὸ προκέων ἐμὲ παςῶν,
τὸν χιόσι ψυχὴν Κελτίσι νιφόμενον,
Κύπρι, τὸν ἡσύχιόν με, τὸν ὐδενὶ κωφὰ λαλεῦντα,
τὸν σέο πορφυρέῳ κλυζόμενον πελάγει,
Κύπρι φιλορμίςειρα, φιλόργιε, σῶζέ με, Κύπρι,
Ῥωμαϊκὺς ἤδη, δεσπότι, πρὸς λιμένας.

XXV. p. 99.

Ινῦς ὦ Μελικέρτα, σύ τε γλαυκῆς μεδέυσα
Λευκοθέη, πόντυ δαῖμον ἀλεξίκακε,
Νηρείδων τε χοροὶ, καὶ κύματα, καὶ σὺ Πόσειδον,
καὶ Θρήϊξ, ἀνέμων πρηΰτατε, Ζέφυρε,
ἵλαοί με φέροιτε, διὰ πλατὺ κῦμα φυγόντα,
σῶον ἐπὶ γλυκερὰν ᾐόνα Πειραέως.

XXVI.

Αντικράτης ᾔδει τὰ σφαιρικὰ μᾶλλον Αράτυ
πολλῷ, τὴν ἰδίην δ' ὐκ ἐνόει γένεσιν.
διςάζειν γὰρ ἔφη πότερ' ἐν κριῷ γεγένηται,
ἢ διδύμοις, ἢ τοῖς ἰχθύσιν ἀμφοτέροις.
εὕρηται δὲ σαφῶς ἐν τοῖς τρισί· καὶ γὰρ ὀχευτὴς
καὶ μωρὸς, μαλακός τ' ἐςὶ, καὶ ὀψοφάγος.

XXVII.

Κέντρα διωξικέλευθα, φιλοῤῥώθωνά τε κημὸν,
τόν τε περὶ ςέρνοις κόσμον ὀδοντοφόρον,

XXIV. 5. Scr. κῶφα. Cod. Vat. ἄδην κ.

T. II. οἰσοίνην δ' ἔτι ῥάβδον ἐπὶ προθύροισι, Πόσειδον,
ἄνθετό σοι νίκης Χάρμος ἀπ' Ισθμιάδος,
καὶ ψήκτρην ἵππων ἐρυσίτριχα, τήν τ' ἐπὶ νώτων
μάστιγα, ῥοίζου μητέρα θαρσαλέην.
ἀλλὰ σὺ κυανοχαῖτα, δέχευ τάδε· τὸν δὲ Λυκίνου
υἷα καὶ εἰς μεγάλην στέψον Ολυμπιάδα.

XXVIII.

Τρισσοὺς ἀθανάτους χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
μανύει τρανῶς Πᾶνα τὸν αἰγόκερων.
Vgl. Anth. Br. II. p. 302. p. 91. στέρνα δὲ καὶ νηδὺς, Ηρακλέα· λοιπὰ δὲ μηρῶν
καὶ κνήμης Ερμῆς ὁ πτερόπους ἔλαχε.
θύειν ἀρνήσῃ, ξένε, μηκέτι. τοῦ γὰρ ἑνός σοι
θύματος οἱ τρισσοὶ δαίμονες ἁπτόμεθα.

XXIX.

Τὴν πρότερον θυμέλην μήτ' ἔμβλεπε, μήτε παρέλθῃς·
νῦν ἄπαγε δραχμῆς εἰς κολοκορδόκολα.
καὶ σῦκον δραχμῆς ἐγγίνεται· ἢν δ' ἀναμείνῃς,
χίλια. ΤΟΙΣ ΠΤΩΧΟΙΣ Ο ΧΡΟΝΟΣ ΕΣΤΙ ΘΕΟΣ.

XXX.

Ηδη καὶ ῥόδον ἐστὶ, καὶ ἀκμάζων ἐρέβινθος,
καὶ καυλοὶ κράμβης, Σώσυλε, πρωτοτόμου,
καὶ μαίνη λαλαγεῦσα, καὶ ἀρτιπαγὴς ἁλίτυρος,
καὶ θριδάκων οὔλων ἀφροφυῆ πέταλα.
ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει
γινόμεθ', ὡς αἰεὶ, Σώσυλε, τοπρότερον.
καὶ μὴν Αντιγένης καὶ Βάκχιος ἐχθὲς ἔπαιζον·
νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν.

XXXI. T. II.

Ἐνθάδε τῆς τρυφερᾶς μαλακὸν ῥέθος, ἐνθάδε κεῖται
τρυγόνιον, σαβακῶν ἄνθεμα σαλμακίδων·
ᾗ καλύβη καὶ δῶπος ἐνέπρεπεν, ᾗ φιλοπαίγμων
τωμυλίη, Μήτηρ ἣν ἐφίλησε θεῶν·
ἡ μούνη τέρξασα τὰ Κύπριδος ἀμφὶ γυναικῶν
ὄργια, καὶ φίλτρων Λαΐδος ἁψαμένη.
φῦε κατὰ στήλης, ἱερὴ κόνι, τῇ φιλοβάκχῳ
μὴ βάτον, ἀλλ' ἁπαλὰς λευκοΐων κάλυκας.

XXXII. Lect. p. 144.

Ξανθοκηρόπλαστε, μυρόκροε, μυσοπρόσωπε,
εὔλαλε διπτερύγων καλὸν ἄγαλμα Πόθων,
ψιλόν μοι χερσὶ δροσιναῖς μύρον ἐν μονοκλίνῳ
δεῖ με λιθοδμήτῳ δέ ποτε πετριδίῳ
εὕδειν ἀθανάτως πολὺν χρόνον, ᾆδε πάλιν μοι
ξανθάρεον, ναὶ ναὶ τὸ γλυκὺ τοῦτο μέλος.

XXXIII. Lect. p. 145.

Αὔριον εἰς λιτήν σε καλιάδα, φίλτατε Πείσων,
ἐξ ἐνάτης ἕλκει μουσοφιλὴς ἕταρος,
εἰκάδα δειπνίζων ἐνιαύσιον.

XXXIV. Lect. p. 145.

Οὐκ ἀΐεις, ἄνθρωπε, τόκων γλύφος; ἐν μονοκλίνῳ
δεῖ σ' ἄβιον ναίειν, δύσμορε, πετριδίῳ.

XXXI. 3. Cod. Vat. καλίβη καὶ δῶμος.
XXXII. 1. Fort. μυρόχροε ſive μυρίπνοε. 3. Fort. σκεῖσον. poſt μύρον quaedam deeſſe videntur.

T. II. p. 92.

ΑΡΧΙΟΥ.

I.

Νήπι᾽ Ερως, πορθεῖς με τὸ πρήγυον. εἴς με κένωσον
πᾶν σὺ βέλος, λοιπὴν μηκέτ᾽ ἀφεὶς γλυφίδα,
ὡς ἂν μοῦνον ἕλοις ᾽Ιοῖς ἐμὲ, καί τινα χρήζων
ἄλλον οϊστεῦσαι, μηκέτ᾽ ἔχῃς ἀκίδα.

II.

Οπλίζευ, Κύπρι, τόξα, καὶ εἰς σκοπὸν ἥσυχος ἐλθέ·
ἄλλον ἐγὼ γὰρ ἔχω τραύματος ὀυδὲ τόπον.

III.

Φεύγειν δὴ τὸν Ερωτα κενὸς πόνος. οὐ γὰρ ἀλύξω,
πεζὸς ὑπὸ πτηνοῦ πυκνὰ διωκόμενος.

IV.

Τρωάδι Πελλαναῖος ἀνηέρτησεν Αθάνᾳ
αὐλὸν ἐριβρεμέταν Μίκκος Ενυαλίου,
ᾧ ποτε καὶ θυμέλῃσι καὶ ἐν πολέμοισιν ἔμελψε,
πρόσθε, τὸ μὲν σπονδᾶς σῆμα, τὸ δ᾽ εὐνομίης.

V.

Σάνδαλα ταῦτα Βίτιννα· πολυπλέκτου δὲ Φιλαινὶς
πορφύρεον χαίτας ῥύτορα κεκρύφαλον·
ξανθὰ δ᾽ Αντίκλεια νόθον κεύθουσαν ἄημα
ῥιπίδα, τὰν μαλερὸν θάλπος ἀμυνομέναν·

λεπτὸν

I. 3. Scr. ἕλῃς.
IV. 1. Cod. Παλλανεῦος. 2. Cod. ε. ἐμικρέν.

λεπτὸν δ' Ἡράκλεια τόδε προκάλυμμα προσώπου T. II. p. 93.
τευχθὲν, ἀραχναίης εἴκελον ἀρπεδόσιν·
ἁ δὲ καλὸν σπείραμα περισφυρίοιο δράκοντος
ὄνομ' Ἀριστοτέλεω πατρὸς ἐνεγκαμένα·
ἅλικες ἀγλαὰ δῶρα, γαμοστόλε, σοὶ τάδε, Κύπρι,
ὤπασαν, αἰγιαλῶν Ναυκράτιδος νάεται.

VI.

Ταῦτά σοι ἔκ τ' ὀρέων, ἔκ τ' αἰθέρος, ἔκ τε θαλάσσης
τρεῖς γνωτοὶ τέχνης σύμβολα, Πὰν, ἔθεσαν.
ταῦτα μὲν εἰναλίων Κλείτωρ λίνα· κεῖνα δὲ Πίγρης
οἰωνῶν· Δᾶμις τὰ τρίτα τετραπόδων·
οἷς ἅμα χερσαίοισιν, ἅμ' ἠερίοισιν ἐν ἄγραις,
Ἀγρεῦ, ἅμ' ἐν πλωταῖς, ὡς πρὶν, ἀρωγὸς ἴθι.

VII.

Σοὶ τάδε, Πὰν σκοπιῆτα, παναίολα δῶρα συναίμων
τρίζυγες ἐκ τρισσᾶς θέντο λινοστασίας.
δίκτυα μὲν Δᾶμις θηρῶν· Πίγρης δὲ, πετεινῶν
λαιμοπέδας· Κλείτωρ δ', εἰναλίφοιτα λίνα·
ὧν τὸν μὲν καὶ ἐσαῦθις ἐν ἠέρι, τὸν δὲ σὺ θείης
εὔστοχον ἐν πόντῳ· τὸν δὲ κατὰ δρυόχους.

VIII.

Ἀγραύλῳ τάδε Πανὶ βιαρκέος ἄλλος ἀπ' ἄλλης
αὔθαιμοι τρισσοὶ δῶρα λινοστασίης.
Πίγρης μὲν δειραγχὲς ἐΰβροχον ἅμμα πετεινῶν·
Δᾶμις δ' ὑλονόμων δίκτυα τετραπόδων·
ἄρκυν δ' εἰναλίων Κλείτωρ πόρεν· οἷς σὺ δι' αἴθρας,
καὶ γᾶς, καὶ πελάγευς εὔστοχα πέμπε λίνα.

T. II. p. 94.

IX.

Τρίζυγες, οὐρεσίοικε, κασίγνητοι τάδε τέχνας
ἄλλος ἀπ' ἀλλοίας σοὶ γέρα, Πὰν, ἔθεσαν.
καὶ τὰ μὲν ὀρνίθων, Πίγρης· τὰ δὲ δίκτυα θηρῶν,
Δᾶμις· ὁ δὲ Κλείτωρ εἰναλίων ἔπορε·
τῶν ὁ μὲν ἐν ξυλόχοισιν, ὁ δ' ἠερίῃσιν ἐν ἄγραις
αἰὲν, ὁ δ' ἐν πελάγει εὔστοχον ἄρκυν ἔχοι.

X.

Ταῦτα σαγηναίοιο λίνου δηναιὰ Πριήπῳ
λείψανα, καὶ κύρτους Φιντύλος ἐκρέμασε,
καὶ γαμψὸν χαίτῃσιν ἐφ' ἱππείῃσι πεδηθὲν
ἄγκιστρον, κρυφίην εἰναλίοισι πάγην,
καὶ δόνακα τριτάνυστον, ἀβάπτιστόν τε καθ' ὕδωρ
φελλὸν, ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων·
οὐ γὰρ ἔτι στείβει ποσὶ χοιράδας, οὐδ' ἐπιαύει
ἠϊόσιν, μογερῷ γήραϊ τειρόμενος.

XI.

Αἱ τρισσαὶ, Σατύρη τε, καὶ Ἡράκλεια, καὶ Εὐφρὼ,
θυγατέρες Ξούθου καὶ Μελίτης, Σάμιαι·
ἁ μὲν, ἀραχναίοιο μίτου πολυδίνεα λάτριν,
ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἠλακάτας·
ἁ δὲ πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων
εὔθροον· ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον.
οἷς ἔσχον χερνῆτα βίον δηναιὸν, Ἀθάνα
πότνια, ταῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

T. II. p. 95.

XII.

Εἰς τὸν Καλυδώνιον κάπρον.

Χάλκεος· ἀλλ' ἄθρησον ὅσον θράσος ἄνυσε κάπρυ
ὁ πλάστας, ἔμπνυν θῆρα τυπωσάμενος,
χαίτας αὐχενίυς πεφρικότα, θηκτὸν ὀδόντα
βρύχοντα, γλήναις φρικτὸν ἰέντα σέλας,
ἀφρῷ χείλεα πάντα δεδευμένον. ὐκέτι θάμβος,
εἰ λογάδα στρατιὴν ὤλεσεν ἡμιθέων.

XIII.

Αὐτὰν ἐκ πόντοιο τιθηνητῆρος Ἀπελλῆς
τὰν Κύπριν γυμνὰν εἶδε λοχευομέναν,
καὶ τοίαν ἐτύπωσε, διάβροχον ὕδατος ἀφρῷ
θλίβυσαν θαλεραῖς χερσὶν ἔτι πλόκαμον.

XIV.

Εἰς ἄγαλμα Ἠχῦς.

Ηχὼ πετρήεσσαν ὁρᾷς, φίλε, Πανὸς ἑταίρην,
ἀντίτυπον φθογγὴν ἔμπαλιν ᾀδομένην,
παντοίων στομάτων λάλον εἰκόνα, ποιμέσιν ἡδὺ
παίγνιον. ὅσσα λέγεις, ταῦτα κλύων ἄπιθι.

XV.

Εὔφημος γλώσσῃ παραμείβεο τὴν λάλον Ηχὼ,
κοὐ λάλον· ἤν τι κλύω, τῦτ' ἀπαμειβομέναν.
εἴς σε γὰρ ὃν σὺ λέγεις στρέψω λόγον· ἢν δὲ σιωπᾷς,
σιγήσω. τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

XVI. p. 96.

Τῇδέ με κυματοπλῆγος ἐπὶ σκοπέλοιο Πριήπον
ναῦται Θρηϊκίυ θέντο πόρυ φύλακα,

T. II. πολλάκις οἷς ἧξα ταχὺς καλέουσιν ἀρωγὸς,
ξεῖνε, κατὰ πρύμνης ἡδὺν ἄγων Ζέφυρον.
τοὔνεκεν οὔτ᾽ ἄκνισσον, ὅπερ θέμις, οὔτ᾽ ἐπιδευῆ
εἴαρος ἀθρήσεις βωμὸν ἐμὸν στεφάνων,
ἀλλ᾽ αἰεὶ θυόεντα καὶ ἔμπυρον· οὐδ᾽ ἑκατόμβη
τόσσον, ὅσον τιμὴ δαίμοσιν ἁνδάνεται.

XVII.

Βαιὸς. ἰδεῖν ὁ Πρίηπος ἐπαιγιαλίτιδα ναίω
χηλὴν, αἰθυίαις οὔποτε ἀντίβιος,
φοξὸς, ἄπους, οἷόν κεν ἐρημαίῃσιν ἐπ᾽ ἀκταῖς
ξέσσειαν μογερῶν υἱέες ἰχθυβόλων.
ἀλλ᾽ ἤν τις γριπεύς με βοηθόον, ἢ καλαμευτὴς
φωνήσῃ, πνοιῆς ἵεμαι ὀξύτερος.
λεύσσω καὶ τὰ θέοντα καθ᾽ ὕδατος. ἦ γὰρ ἀπ᾽ ἔργων
δαίμονες, οὐ μορφᾶς γνωτὸν ἔχουσι τύπον.

XVIII.

Εἰς Αἴαντα.

Μοῦνος ἐναιρομένοισιν ὑπέρμαχον ἀσπίδα τείνας,
νηυσὶ βαρὺν Τρώων, Αἶαν, ἔμεινας ἄρη·
οὐδέ σε χερμαδίων ὦσε κτύπος, οὐ νέφος ἰῶν,
οὐ πῦρ, οὐ δοράτων οὐ ξιφέων πάταγος.
ἀλλ᾽ αὔτως προβλής τε, καὶ ἔμπεδος ὥς τις ἐρίπνα
ἱδρυνθεὶς, ἔτλης λαίλαπα δυσμενέων.
p. 97. εἰ δέ σε μὴ τεύχεσσιν Ἀχιλλέος ὥπλισεν Ἑλλὰς,
ἄξιον ἀντ᾽ ἀρετῆς ὅπλα πορῦσα γέρας,
Μοιράων βουλῇσι τάδ᾽ ἤμπλακεν, ὡς ἂν ὑπ᾽ ἐχθρῶν
μή τινος, ἀλλὰ σὺ σῇ πότμον ἕλῃς παλάμῃ.

XVI. 5. Cod. Vat. ἄκνισον.

XIX. T. II.

Εἰς δακτύλιον.

Τὰς βοῦς καὶ τὸν ἴασπιν ἰδὼν περὶ χειρὶ, δοκήσεις
τὰς μὲν ἀναπνείειν, τὸν δὲ χλοηκομέειν.

XX.

Ἑρμῆ Κωρυκίων ναίων πόλιν, ὦ ἄνα, χαίροις,
Ἑρμῆ, καὶ λιτῇ προσγελάσαις ὁσίῃ.

XXI.

Ἔν ποτε παμφαίνοντι μελάμπτερος αἰθέρι νωμῶν
σκορπίον ἐκ γαίης εἶδε θορόντα κόραξ,
ὃν μάρψων ὤρουσεν· ὁ δ' ἀΐξαντος ἐπ' οὖδας
οὐ βραδὺς εὐκέντρῳ πέζαν ἔτυψε βέλει,
καὶ ζωῆς μιν ἄμερσεν. ἴδ' ὡς ὃν ἔτευχεν ἐπ' ἄλλῳ,
ἐκ κείνου τλήμων αὐτὸς ἔδεκτο μόρον.

XXII.

Εἰς Μαρσύαν.

Αἰωρῇ θήρειον ἱμασσόμενος δέμας αὔραις
τλᾶμον, ἀορτηθεὶς ἐκ λασίας πίτυος,
αἰωρῇ· Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
πρῶνα Κελαινίτην ναιετάων, Σάτυρε.
σοῦ δὲ βοὰν αὐλοῖο μελίβρομον οὐκ ἔτι Νύμφαι,
ὡς πάρος, ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.

XXIII. p. 98.

Δισσαῖς σὺν κίχλαισιν ὑπὲρ φραγμοῖο διωχθεὶς
κόσσυφος, ἠερίης κόλπον ἔδυ νεφέλης.

XX. 1. Cod. Κωρύκιε.
XXI. 1. Cod. Vat. μελάντερον. Fort. μέλαν πτερόν.
XXIII. 1. In Plan. αὐταῖς σύν.

T. II. καὶ τὰς μὲν συνοχηδὸν ἀνέκδρομος ἄχμασε θώμιγξ,
τὸν δὲ μόνον πλεκτῶν αὖ μεθέηκε λίνων.
ἱρὸν ἀοιδοπόλων ἔτυμον γένος. ἦ ἄρα πολλὴν
καὶ κωφαὶ πτανῶν φροντίδ' ἔχουσι πάγαι.

XXIV.

Ὁ πρὶν ἀελλοπόδων λάμψας πλέον Αἰετὸς ἵππων,
ὁ πρὶν ὑπαὶ μίτραις κῶλα καθαψάμενος,
ὃν Φοίβου χρησμῳδὸς ἀέθλιον ἔστεφε Πυθώ,
ὀρνύμενον πτανοῖς ὠκυπέταις ἴκελον,
καὶ Νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντες,
Πῖσά τε, καὶ δοιὰς ἠόνας Ἰσθμὸς ἔχων,
νῦν κλοιῷ δειρὴν πεπεδημένος, οἷα χαλινῷ,
καρπὸν ἀλεῖ Δηοῦς ὀκριόεντι λίθῳ,
ἴσην μοῖραν ἔχων Ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος
τόσσ' ἀνύσας δούλαν ζεῦγλαν ἐφηρμόσατο.

XXV.

Ὁ πρὶν ἐπ' Ἀλφειῷ στεφανηφόρος, ὦ 'νερ, ὁ πρὶν δὴ
δισσάκι κηρυχθεὶς Κασταλίης παρ' ὕδωρ,
ὁ πρὶν ἐγὼ Νεμέῃ βεβοημένος, ὁ πρὶν ἐπ' Ἰσθμῷ
πῶλος, ὁ πρὶν πτανοῖς ἶσα δραμὼν ἀνέμοις,
νῦν ὅτε γηραιός, γυροδρόμον ἤνιδε πέτρον
δινεύω, στεφέων ὕβρις, ἐλαυνόμενος.

p. 99.

XXVI.

Αἰὰν ὅλην νήσους τε διϊπταμένη σὺ χελιδὼν,
Μηδείης γραπτῇ πυκτίδι νοσσοτροφεῖς.
ἔλπῃ δ' ὀρταλίχων πίστιν σέο τήνδε φυλάξειν
Κολχίδα, μηδ' ἰδίων φεισαμένην τεκέων;

XXVII. T. II.

Εἰς Ἡρακλέα φονεύσαντα τὸν ἐν Νεμέᾳ λέοντα.

Μηκέτι ταυροβόροιο βαρὺ βρύχημα λέοντος
πτήσσετε, ληΐνομοι γειαρόται Νεμέης·
ἦ γὰρ ὑφ' Ἡρακλῆος ἀριστάθλοιο δέδυπεν,
αὐχένα θηροφόνοις ἀγχόμενος παλάμαις.
ποίμνας ἐξελάσασθε· πάλιν μυκηθμὸν ἀκούοι
Ηχὼ ἐρημαίης ἐνναέτειρα νάπης.
καὶ σὺ λεοντόχλαινε πάλιν θωρήσσεο ῥινῷ,
Ἥρης πρηΰνων μισονόθοιο χόλον.

XXVIII.

Ἁ πάρος ἀντίφθογγον ἀποκλάζασα νομεῦσι,
πολλάκι καὶ δρυτόμοις κίσσα καὶ ἰχθυβόλοις,
πολλάκι δὲ κρέξασα πολύθροον, οἷά τις ἀχὼ,
κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν,
νῦν εἰς γᾶν ἄγλωσσος, ἀναύδητός τε πεσοῦσα,
κεῖμαι, μιμητὰν ζᾶλον ἀνηναμένα.

XXIX.

Πρὶν μὲν ἐπὶ χλωροῖς ἐριθηλέος ἔρνεσι πεύκας
ἥμενος, ἢ σκιερᾶς ἀκροκόμου πίτυος,
ἔκρεκες εὐτάρσοιο δι' ἰξύος, ἀχέτα, μολπὰν, p. 100.
τέττιξ οἰονόμοις τερπνοτέραν χέλυος.
νῦν δέ σε, μυρμάκεσσιν ὑπ' εἰνοδίοισι δαμέντα,
Ἄϊδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός.
εἰ δ' ἑάλως, συγγνωστὸν, ἐπεὶ καὶ κοίρανος ὕμνων
Μαιονίδας γρίφοις ἰχθυβόλων ἔθανε.

XXVIII. 3. Fort. ἀχὼ κέρτομος, ἀντ.

T. II.

XXX.

Οὐκ ἔτι καφλάζοντα διαΐσσων βυθὸν ἅλμης,
δελφὶς, πτοιήσεις εἰναλίων ἀγέλας,
οὐδὲ πρὸς εὐτρήτοιο μέλος καλάμοιο χορεύων
ὑγρὸν ἀναῤῥίψεις ἅλμα παρὰ σκαφίσιν.
καὶ γὰρ ἴσον πρηῶνι Μαλείης, ὡς ἐκυκήθη,
κῦμα πολυξάντους σ' ὦσεν ἐπὶ ψαμάθους·
οὐδὲ σύ γ', ἀφρηστὰ Νηρηΐδας, ὡς πρὶν, ἀείρων
νώτοις, πορθμεύσεις Τηθύος εἰς πέρατα.

XXXI.

Θρήϊκας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
ματέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους·
ἔμπαλι δ' ὀλβίζουσιν ὅσους αἰῶνα λιπόντας
ἀπροϊδὴς Κηρῶν λάτρις ἔμαρψε Μόρος.
οἱ μὲν γὰρ ζώοντες, ἀεὶ παντοῖα περῶσιν
ἐς κακά· τοὶ δὲ κακῶν εὗρον ἄκος φθίμενοι.

XXXII.

α Καὶ γενέταν τοῦ νέρθε, καὶ οὔνομα, καὶ χθόνα φώνει,
στάλα, καὶ ποίᾳ κηρὶ δαμεὶς ἔθανε.
β γεννήτωρ Πρίαμος, γᾶ δ' Ἴλιον, οὔνομα δ' Ἕκτωρ,
ὦ 'νερ, ὑπὲρ πάτρας δ' ὤλετο μαρνάμενος.

p. 101.

XXXIII.

Οὐδὲ νέκυς, ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
κύμασιν, ἀγρύπνων λήσομαι ἠϊόνων.

XXX. 3. Cod. ἀλλ' πολυτρήτοιο. 6. Cod. κ. πολυψάμμους ὦσεν ἐπὶ ψ. Fort. πολυψάμμους σ' ὦσεν ἐπ' αἰγιαλούς.

ἢ γὰρ ἀλιῤῥήκτοις ὑπὸ δειράσιν, ἀγχόθι πόντου T. II.
δυσμενέος, ξείνων χερσὶν ἔκυρσα τάφου.
αἰεὶ δὲ βρομέοντα, καὶ ἐν νεκύεσσι, θαλάσσης
ὁ τλήμων αἴω δοῦπον ἀπεχθόμενον.
μόχθων δ' οὐδ' Ἀΐδης με κατεύνασεν, ἡνίκα μοῦνος
οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.

XXXIV.

ΩΣ ΑΠΟ ΔΙΟΓΕΝΟΥΣ.

Αἴδος ὦ νεκυηγὲ, κεχαρμένε δάκρυσι πάντων,
ὃς βαθὺ πορθμεύεις τοῦτ' Ἀχέροντος ὕδωρ,
εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
ὁλκὰς, μὴ προλίπῃς Διογένη με κύνα.
ὄλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἷμα,
καὶ πήρην, καὶ σοὶ ναυτιλίης ὀβολόν.
καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
εἶχον· ὑπ' ἠελίου δ' οὔ τι λέλοιπα φάει.

XXXV. T.II. p.528.

Ἕκτορι μὲν Τροίη συγκάτθανεν· οὐδ' ἔτι χεῖρας
ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις.
Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο. πατρίδες ἄρα
ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.

XXXIII. 8. Cod. Vat, λείῃ. at ſupra correctum τελέῃ. quod verum videtur.

T.II. p.102.

ΤΥΛΛΙΟΥ

ΛΑΤΡΕΑ.

I.

Εἴ μοι χαρτὸς ἐμὸς Πολέμων καὶ σῶος ἀνέλθοι,
οἷος ἐὴν ὑπ' ἐμοῦ, κοίρανε, πεμπόμενος,
ῥέξειν οὐκ ἀπόφημι τὸν ὀρθροβόην παρὰ βωμοῖς
ὄρνιν, ὃν εὐχωλαῖς ὡμολόγησα τεαῖς·
εἰ δέ τι τῶν ὄντων τότε ἢ πλέον, ἢ καὶ ἔλασσον
ἔλθοι ἔχων, λέλυται τοὐμὸν ὑποσχέσιον.
ἦλθε δὲ σὺν πώγωνι· τὸ δ' εἰ φίλον αὐτὸς ἑαυτῷ
εὔξατο, τὴν θυσίην πράσσει τὸν εὐξάμενον.

II.

Γρυνέα τὸν πρέσβυν, τὸν ἁλιτρύτου ἀπὸ κύμβης
ζῶντα, τὸν ἀγκίστροις καὶ μογέοντα λίνοις,
ἐκ δεινοῦ τρηχεῖα Νότου κατέδυσε θάλασσα,
ἔβρασε δ' εἰς κροκαλὴν πρώϊον ἠϊόνα,
χεῖρας ἀποβρωθέντα. τίς οὐ νόον ἰχθύσιν εἴποι
ἔμμεναι, οἳ μούνας, αἷς ὀλέκοντο, φάγον.

I. 1. Fort. ἀνῆλθεν. 2. Apogr. Buher. οἷος ἀφ' ἡμείων κοίρ. In Gaulm. apogr. ſic: οἷος α — κοίρανε. 3. Fort. ῥέζειν. 5. Cod. εἰ δ' ἔτι τ. ο. τότε πλέον ἢ — 6. Fort. ἦλθεν ἔχων. 8. Cod. τὴν θυσίην πρὸς σὲ τόν.

III.

T.II. p.103.

Εἰς Σαπφώ.

Αἰολικὸν παρὰ τύμβον ἰὼν, ξένε, μή με θανοῦσαν
τὰν Μιτυληναίαν ἔννεπ' ἀοιδοπόλον.
τόνδε γὰρ ἀνθρώπων ἔκαμον χέρες· ἔργα δὲ φωτῶν
ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα.
ἢν δ' ἐμὲ Μουσάων ἐτάσῃς χάριν, ὧν ἀφ' ἑκάστης
δαίμονος ἄνθος ἐμῇ θῆκα παρ' ἐννεάδι,
γνώσεαι ὡς Ἀΐδεω σκότον ἔκφυγον· οὐδέ τις ἔσται
τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

ΣΚΥΘΙΝΟΥ

p. 104.

ΤΗΪΟΥ.

B 621

I.

Ἦλθεν ἐμοὶ μέγα πῆμα, μέγας πόλεμος, μέγα μοι πῦρ,
Ἠλισσος πλήρης τῶν ἐς ἔρωτ' ἐτέων,
αὐτὰ τὰ καίρι' ἔχων ἑκκαίδεκα, καὶ μετὰ τούτων
πάσας τὰς μικρὰς καὶ μεγάλας χάριτας,
καὶ πρὸς ἀναγνῶναι, φωνὴν μέλι, καὶ τὸ φιλῆσαι,
χείλεα, καὶ τὸ λαβεῖν ἔνδον, ἀμεμπτότατον.
καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν μόνον. ἦ ῥ' ἀγρυπνήσω
πολλάκι, τῇ κενεῇ Κύπριδι χειρομαχῶν.

II.

Ὀρθὸν νῦν ἕστηκας ἀνώνυμον, οὐδὲ μαραίνῃ·
ἐντέτασαι δ' ὡς ἂν μή ποτε παυσόμενον.

I. 2. Fort. Ἠλισσεύς.

T. II. ἀλλ' ὅτε μοι Νεμεσηνὸς ὅλον παρέκλινεν ἑαυτὸν,
πάντῃ διδὺς ἃ θέλω, νεκρὸν ἀπεκρέμασο.
τείνεο, καὶ ῥήσσυ, καὶ δάκρυε· πάντα ματαίως.
ὐχ ἕξεις ἔλεον χειρὸς ἀφ' ἡμετέρης.

p. 105. ΠΟΜΠΗΪΟΥ

ΝΕΩΤΕΡΟΥ.

ϛϚ

I.

Εἰς Μυκήνην.

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα Μυκήνη,
εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλυ,
Ἴλυ τις καθορῶν κλεινὴν πόλιν, ἧς ἐπάτησα
τείχεα, καὶ Πριάμυ πάντ' ἐκένωσα δόμον,
γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δ' ἐμὲ γῆρας
ὕβρισεν, ἀρκῦμαι μάρτυρι Μαιονίδῃ.

II.

Εἰς Λαΐδα.

Η τὸ καλὸν καὶ πᾶσιν ἐράσμιον ἀνθήσασα,
ἡ μόνη Χαρίτων λείρια δρεψαμένη,
ὐκ ἔτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
Λαΐς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον,
κώμυς, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθεύντων
κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.

ΑΙΛΙΟΥ ΓΑΛΛΟΥ. T. II. p. 106.

I.

Η δυσὶ λειτουργοῦσα πρὸς ἓν λέχος ἀνδράσι Λύδη,
τῷ μὲν ὑπὲρ νηδὺν, τῷ δ' ἀπὸ τῶν ὄπιθεν,
εἰσδέχομαι φιλόπαιδα, γυναικομανῆ, φιλυβριστήν.
εἰ σπεύδεις, ἐλθὼν σὺν δυσὶ, μὴ κατέχε.

II.

ΕΙΣ ΤΑΝΤΑΛΟΝ ΕΠΙ ΠΟΤΗΡΙΟΥ ΓΕΓΛΥΜΜΕΝΟΝ.

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν
πολλάκι νεκταρέου πλησάμενος πόματος,
νῦν λιβάδος θνητῆς ἱμείρεται. ἡ φθονερὴ δὲ
κρᾶσις ἀεὶ χείλευς ἐστὶ ταπεινοτέρη.
ΠΙΝΕ λέγει τὸ τόρευμα, ΚΑΙ ΟΡΓΙΑ ΜΑΝΘΑΝΕ ΣΙΓΗΣ·
ΟΙ ΓΛΩΣΣῌ ΠΡΟΠΕΤΕΙΣ ΤΑΥΤΑ ΚΟΛΑΖΟΜΕΘΑ.

ΜΥΡΙΝΟΥ. p. 107.

I.

Υψηλῶν ὀρέων ἔφοροι, κεραοὶ χοροπαῖκται,
Πᾶνες, βυχίλου κρέαντορες Ἀρκαδίης,
εὔαρνον θείητε καὶ εὐχίμαρον Διότιμον,
δεξάμενοι λαμπρῆς δῶρα θυηπολίης.

Aelii I. 1. Cod. ἡ τριεί.

T. II.

II.

Τὴν μαλακὴν Παφίης, Στατύλλιον ἀνδρόγυνον, δρῦν
ἕλκειν εἰς Ἀΐδην ἡνίκ' ἔμελλε χρόνος,
τὰκ κόκκου βαφθέντα καὶ ὑσγίνοιο θέριστρα,
καὶ τοὺς ναρδολιπεῖς ἀλλοτρίους πλοκάμους,
φαικάδα τ' εὐτάρσοισιν ἐπ' ἀστραγάλοισι γελῶσαν,
καὶ τὴν γρυτοδόκην κοιτίδα βαμβακίδων,
αὐλούς θ' ἡδὺ πνέοντας ἑταιρείοις ἐνὶ κώμοις,
δῶρα Πριηπείων θῆκεν ἐπὶ προθύρων.

III.

Θύρσις ὁ κωμήτης, ὁ τὰ νυμφικὰ μῆλα νομεύων,
Θύρσις ὁ συρίζων Πανὸς ἴσον δόνακι,
ἔνδιος οἰνοπότης σκιερὰν ὑπὸ τὴν πίτυν εὕδει·
φρουρεῖ δ' αὐτὸς ἑλὼν ποίμνια βάκτρον Ἔρως.
ἆ Νύμφαι, Νύμφαι, διεγείρατε τὸν λυκοθαρσῆ
βοσκόν, μὴ θηρῶν κύρμα γένηται Ἔρως.

p. 108.

IV.

Υ τετρακόσι' ἐστίν· ἔχεις δὲ σὺ τοὺς ἐνιαυτοὺς
δὶς τόσσους, τρυφερὴ Λαὶ κορωνεκάβη,
Σισύφου ὦ μάμμη, καὶ Δευκαλίωνος ἀδελφή.
βάπτε δὲ τὰς λευκὰς, καὶ λέγε πᾶσι ΤΑΤΑ.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ. T. II.

Δάματερ πολύκαρπε, σὺ κὴν Σικελοῖσιν ἐναργής,
καὶ παρ' Ἐρεχθείδαις· ἐν δ' ἔτι θαῦμα μέγα
κρίνετ' ἐν Ἑρμιονεῦσι. τὸν ἐξ ἀγέλης γὰρ ἀφειδῆ
ταῦρον, ὃν οὐκ αἴρουσ' ἀνέρες οὐδὲ δέκα,
τοῦτον γραῦς στείχουσα μόνη μόνον οὔατος ἕλκει
τόνδ' ἐπὶ βωμόν· ὁ δ', ὡς ματέρι παῖς, ἕπεται.
σὸν τόδε, Δάματερ, σὸν τὸ σθένος. ἵλαος εἴης,
καὶ πάντων θάλλει κλᾶρος ἐν Ἑρμιόνῃ.

ΠΕΙΣΩΝΟΣ.

Γαίης ἐκ Γαλάτων μηδ' ἄνθεα, ἧς ἀπὸ κόλπων
ἀνθρώποις ὀλέτειραι Ἐριννύες ἐβλάστησαν.

ΑΝΤΙΠΑΤΡΟΥ p. 109.

ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

I.

Ὦ Ἑλικὼν Βοιωτέ, σὺ μέν ποτε πολλάκις ὕδωρ
εὐεπὲς ἐκ πηγέων ἔβλυσας Ἡσιόδῳ·
νῦν δ' ἡμῖν ἔθ' ὁ κοῦρος ὁμώνυμος Αὔσονα Βάκχου
οἰνοχοεῖ κρήνης ἐξ ἀμεριμνοτέρης.

Ariſtocl. 3. Fort. κραίνετ'.

T. II. βουλοίμην δ' ἂν ἔγωγε πιεῖν παρὰ τοῦδε κύπελλον
ἓν μόνον, ἢ παρὰ σοῦ χίλια Πηγασίδος.

II.

Πάντα καλῶς, τό γε μὴν, χρυσῆν ὅτι τὴν Ἀφροδίτην,
ἔξοχα καὶ πάντων, εἶπεν ὁ Μαιονίδης.
ἢν μὲν γὰρ τὸ χάραγμα φέρῃς, φίλος, οὔτε θυρωρὸς
ἐν ποσὶν, οὔτε κύων ἐν προθύροις δέδεται.
ἢν δ' ἑτέρως ἔλθῃς, καὶ ὁ Κέρβερος. ὦ πλεονέκται
οἱ πλοῦτοι, πενίην ὡς ἀδικεῖτε μόνοι.

III.

Χρύσεος ἦν γενεὴ, καὶ χάλκεος, ἀργυρέη τε
πρόσθεν· παντοίη δ' ἡ Κυθέρεια τανῦν.
καὶ χρυσοῦν τίει, καὶ χάλκεον ἄνδρ' ἐφίλησε,
καὶ τοὺς ἀργυρέους οὔ ποτ' ἀποστρέφεται,
Νέστωρ, ἡ Παφίη. δοκέω δ' ὅτι καὶ Δανάῃ Ζεὺς
οὐ χρυσὸς, χρυσοῦς δ' ἦλθε φέρων ἑκατόν.

p. 110. IV.

Τὴν ξηρὴν ἐπὶ νῶτα Λυκαινίδα, τὴν Ἀφροδίτης
λώβην, τὴν ἐλάφου παντὸς ἀπυγοτέρην,
αἰπόλος ἢ μεθύων οὐκ ἄν ποτε, φασὶ, συνῴκει,
γοῖ, γοῖ. τοιαῦται Σιδονίων ἄλοχοι.

Stolb. Ged. a. d. Gr. p. 94. Seul. R. p. 30.

V.

Ὀρθρὸς ἔβη, Χρύσιλλα, πάλαι δ' ἠῷος ἀλέκτωρ
κηρύσσων, φθονερὰν Ἠριγένειαν ἄγει.

ὀρνίθων

II. 4. Fort. πρ. ὑλάει.
III. 5. Scr. ἀποστρέφεται Νέστορος ἁ Π.

ὀρνίθων ἔῤῥοις φθονερώτατε, ὅς με διώκεις T. II.
οἴκοθεν εἰς πολλὰς ἠϊθέων ὀάρους.
γηράσκεις Τιθωνέ· τί γὰρ σὴν σύνετιν Ἠῶ
οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων.

VI.

Τρὶς δέκα με πνεύσειν καὶ δὶς τρία μάντιες ἄστρων
φασίν· ἐμοὶ δ' ἀρκεῖ καὶ δεκὰς ἡ τριτάτη.
τοῦτο γὰρ ἀνθρώποις βιοτῆς ὅρος· οἱ δ' ἐπὶ τούτοις
Νέστορι· καὶ Νέστωρ δ' ἤλυθεν εἰς Ἀΐδην.

VII.

Οὐ προσέχω, καίτοι πιστοί τινες. ἀλλὰ μεταξὺ,
πρὸς Διὸς, εἴ με φιλεῖς, Πάμφιλε, μή με φίλει.

VIII.

Τίς σου, Μεντορίδη, προφανῶς οὕτως μετέθηκε
τὴν πυγὴν, ὅπερ τὸ στόμ' ἔκειτο προτοῦ;
βδεῖς γὰρ, κοὐκ ἀναπνεῖς· φθέγγῃ δ' ἐκ τῶν καταγείων.
θαῦμά μ' ἔχει τὰ κάτω πῶς σου ἄνω γέγονε.

IX. p. 111.

Ζηνὶ, καὶ Ἀπόλλωνι, καὶ Ἄρεϊ τέκνον ἀνάκτων
εἴκελον, εὐκταίῃ μητέρες εὐτοκίῃ,
πάντα τοι ἐκ Μοιρέων βασιλήϊα, πάντα τέλεια
ἦλθεν· ἐποιήθης δ' ἔργον ἀοιδοπόλων.
Ζεὺς σκῆπτρον βασίλειον, Ἄρης δόρυ, καλλοσύνην δὲ
Φοῖβος ἔχει· παρὰ σοὶ δ' ἀθρόα πάντα, Κότυ.

X.

Καυσίη, ἡ τοπάροιθε Μακηδόσιν εὔκολον ὅπλον,
καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ,

T. II. ἱδρῶ διψήσασα πιεῖν τεὸν, ἄλκιμε Πείσων,
Ἠμαθὶς Αὐσονίους ἦλθον ἐπὶ κροτάφους.
ἀλλὰ φίλος δέξαι με· τάχα κρόκες, αἵ ποτε Πέρσας
τρεψάμεναι, καὶ σοὶ Θρῇκας ὑπαξόμεθα.

XI.

Ἡ κόρυς ἀμφοτέρην ἔλαχον χάριν· εἰμὶ δ' ὁρᾶσθαι
καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
ἐκ δὲ Πυλαιμένεος Πείσων μ' ἔχει. ἔπρεπεν ἄλλαις
οὔτε κόρυς χαίταις, οὔτε κόμαι κόρυθι.

XII.

Καὶ Μακεδὼν ὁ σίδηρος ἐν ἄορι, καὶ τὰ πρὸς ἀλκὴν
τῆς ἀπ' Ἀλεξάνδρου χειρὸς ἐπιστάμενος,
Πείσων, σὴν ποθέων ἱκόμην χέρα. τοῦτο δὲ φωνῶ·
Χαίρων δεξιτερὴν εὗρον ὀφειλομένην.

p. 112. XIII.

Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ,
Ἀντίπατρος Πείσωνι φέρει γέρας. ἢν δέ μ' ἀνάψας
εὔξηται, λάμψω φέγγος ἀκουσίθεον.

XIV.

Σοί με, Θρηϊκίης σκυληφόρε, Θεσσαλονίκη,
μήτηρ ἡ πάσης πέμψε Μακηδονίης·
ἀείδω δ' ὑπὸ σοὶ δεδμημένον Ἄρεα Βεσσῶν,
ὅσσ' ἐδάην πολέμου πάντ' ἀναλεξάμενος.
ἀλλ' ἐμοὶ ὡς θεὸς ἔσσο κατήκοος, εὐχομένου δὲ
κλῦθι. τίς ἐς Μούσας οὔατος ἀσχολίη;

XV. T. II.

Θευογένης Πείσωνι τὰ τεχνήεντα κύπελλα
πέμπει· χωρῦμεν δ' ὐρανὸν ἀμφότερα.
δοιὰ γὰρ ἐκ σφαίρης τετμήμεθα· καὶ τὸ μὲν ἡμέων
τὼς νοτίως, τὸ δ' ἔχει τείρεα τὰν Βορέῃ.
ἀλλὰ σὺ μηκέτ' Ἄρητον ἐπίβλεπε· δισσὰ δ' ἐν ἀμφοῖν
μέτρα πιὼν, ἄθρει πάντα τὰ φαινόμενα.

XVI.

Αὐσονίῳ Πείσωνι συνασπιστὴς Διόνυσος
ἵδρυμαι μεγάρων φρουρὸς ἐπ' εὐτυχίῃ.
ἄξιον, ὦ Διόνυσ', ἐσέβης δόμον. ἔπρεπεν ἄμφω
καὶ μέγαρον Βάκχῳ, καὶ Βρόμιος μεγάρῳ.

XVII. p. 113.

Ἀντίπατρος Πείσωνι γενέθλιον ὤπασε βίβλον
μικρὴν, ἐν δὲ μιῇ νυκτὶ πονησάμενος.
ἵλαος ἀλλὰ δέχοιτο, καὶ αἰνήσειεν ἀοιδὴν,
Ζεὺς μέγας ὡς ὀλίγῳ πειθόμενος λιβάνῳ.

XVIII.

Φοῖβε, Κεφαλλήνων λιμενοσκόπε, θῖνα Πανόρμου
ναίων, τρηχείης ἀντιπέρην Ἰθάκης,
δός με δι' εὐπλώτοιο πρὸς Ἀσίδα κύματος ἐλθεῖν,
Πείσωνος δολιχῇ νηὶ συνεσπόμενον·
καὶ τὸν ἐμὸν βασιλῆα τὸν ἄλκιμον εὖ μὲν ἐκείνῳ
ἵλαον, εὖ δ' ὕμνοις ἄρτισον ἡμετέροις.

XV. 1. Cod. Vat. Διογένης.

T. II.

XIX.

Τέσσαρες αἰωρεῦσι τετραπτερύγων ἐπὶ νώτων
Νῖκαι ἰσηρίθμους υἱέας ἀθανάτων·
ἁ μὲν Ἀθηναίαν πολεμαδόκον, ἁ δ' Ἀφροδίταν,
ἁ δὲ τὸν Ἀλκείδαν, ἁ δ' ἀφόβητον Ἄρη,
σεῖο κατ' εὐόροφον γραπτὸν τέγος· ἐς δὲ νέοντας
οὐρανὸν, ὦ Ῥώμας, Γαῖε, πάτρας ἔρυμα.
θείη ἀνίκατον μὲν ὁ βουφάγος· ἁ δέ σε Κύπρις
εὔγαμον· εὔμητιν Παλλάς· ἄτρεστον Ἄρης.

XX.

Στέλλευ ἐπ' Εὐφρήτην, Ζηνὸς τέκος· εἰς σὲ γὰρ ἤδη
ἠῷοι Πάρθων αὐτομολοῦσι πόδες.
στέλλευ ἄναξ· δήεις δὲ φόβῳ κεχαλασμένα τόξα,
Καῖσαρ· πατρῴων δ' ἄρξαι ἀπ' ἐντολέων,
p. 114. Ῥώμην δ', ὠκεανῷ περιτέρμονα πάντοθεν, αὐτὸς
πρῶτος ἀνερχομένῳ σφράγισαι ἠελίῳ.

XXI.

Ὥριον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλους
κειράμενος, γενύων ἄρσενας ἀγγελίας,
Φοίβῳ θῆκε Λύκων, πρῶτον γέρας· εὔξατο δ' οὕτως
καὶ πολιὴν λευκῶν κεῖραι ἀπὸ κροτάφων.
τοίην ἀλλ' ἐπίνευε· τίθει δέ μιν, ὡς πρό γε τοῖον,
ὡς αὖτις πολιῷ γήραϊ νιφόμενον.

XXII.

Ἡ τὰ πέδιλα φέρουσα, Μενεκρατίς· ἡ δὲ τὸ φᾶρος,
Φημονόη· Πρηξὼ δ', ἡ τὸ κύπελλον ἔχει.

τῆς Παφίης ὁ νεὼς καὶ τὸ βρέτας· ἄνθεμα δ' αὐτῶν T. II.
ξυνόν· Στρυμονίου δ' ἔργον Ἀριστομάχου.
αἱ τρεῖς ἀστῶν ἔσαν καὶ ἑταιρίδες· ἀλλὰ τυχοῦσαι
Κύπριδος εὐκταίης, νῦν ἑνὸς εἰσὶ μία.

XXIII.

Τάσδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
ὕμνοις, καὶ Μακεδὼν Πιερίας σκόπελος,
Πρήξιλλαν, Μυρὼ, Ἀνύτης στόμα, θῆλυν Ομηρον,
Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων,
Ηρινναν, Τελέσιλλαν ἀγακλέα, καὶ σὲ, Κόριννα,
θοῦριν Ἀθηναίης ἀσπίδα μελψαμέναν,
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,
πάσας ἀενάων ἐργάτιδας σελίδων.
ἐννέα μὲν Μούσας μέγας Οὐρανός· ἐννέα δ' αὐτὰς
Γαῖα τέκε, θνατοῖς ἄφθιτον εὐφροσύναν.

XXIV. p. 115.

Ὄβριμον εὐκαμάτου τίχον αἴνεσον Ἀντιμάχοιο,
ἄξιον ἀρχαίων ὀφρύος ἡμιθέων,
Πιερίδων χαλκευτὸν ἐπ' ἄκμοσιν, εἰ τορὸν οὖας
ἔλλαχες, εἰ ζαλοῖς τὴν ἀγέλαστον ὄπα,
εἰ τὰν ἄτριπτον καὶ ἀνέμβατον ἀτραπὸν ἄλλοις
μαίεαι. εἰ δ' ὕμνων σκᾶπτρον Ομηρος ἔχει,
καὶ Ζεύς τοι κρείσσων Ἐνοσίχθονος· ἀλλ' Ἐνοσίχθων
τοῦ μὲν ἔφυ μείων, ἀθανάτων δ' ὕπατος.
καὶ ναετὴρ Κολοφῶνος ὑπέζευκται μὲν Ομήρῳ,
ἀγεῖται δ' ἄλλων πλήθεος ὑμνοπόλων.

T. II.

XXV.

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος, αἷσιν Ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνιδ' ὅσον Διόνυσον ἔχει σελὶς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ ἤθεσιν Ἑλλάδος ἶσα
κωμικὲ, καὶ στύξας ἄξια καὶ γελάσας.

XXVI.

Αὐτά τοι, τρέσσαντι παρὰ χρέος, ὤπασεν ᾅδαν,
βαψαμένα κοίλων ἐντὸς ἄρη λαγόνων,
μάτηρ, ἅ σ' ἔτεκεν, Δαμάτριε· φᾶ δὲ σίδαρον
παιδὸς ἑοῦ φύρδαν μεστὸν ἔχουσα φόνου,
ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον,
δερκομένα λοξαῖς, οἷα Λάκαινα, κόραις·
Λεῖπε τὸν Εὐρώταν, ἴθι Τάρταρον· ἁνίκα δειλὰν
οἶσθα φυγὰν, τελέθεις οὔτ' ἐμὸς, οὔτε Λάκων.

p. 116.

XXVII.

Αὐτὸν Βακχευτὴν ἐνέδυ θεὸν, ἡνίκα Βάκχας
ἐκ Θηβῶν Ἰταλὴν ἤγαγε πρὸς θυμέλην,
ἀνθρώποις Πυλάδης τερπνὸν δέος. οἷα χορεύων
δαίμονος ἀκρήτου πᾶσαν ἔπλησε πόλιν.
Θῆβαι γιγνώσκουσι τὸν ἐκ πυρός· οὐράνιος δὲ
οὗτος, ὁ παμφώνοις χερσὶ λοχευόμενος.

XXVIII.

Ὀρφεὺς θῆρας ἔπειθε· σὺ δ' Ὀρφέα. Φοῖβος ἐνίκα
τὸν Φρύγα· σοὶ δ' εἴκει μελπομένῳ, Γλάφυρε.

οὔνομα καὶ τέχνης καὶ σώματος. οὔ κεν Ἀθήνη T. II.
ἔῤῥιψε λωτοὺς, τοῖα μελιζομένη,
οἷα σὺ ποικιλότερπες· ἀφυπνώσαι κεν ἀκούων
αὐτὸς Πασιθέης Ὕπνος ἐν ἀγκαλίσι.

XXIX.

Ἵμερον αὐλήσαντι πολυτρήτων διὰ λωτῶν
εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ Γλαφύρῳ·
Μαρσύη, ἐψεύσω τεὸν εὕρεμα, τοὺς γὰρ Ἀθήνης
αὐλοὺς ἐκ Φρυγίης οὗτος ἐληΐσατο·
εἰ δὲ σὺ τοιούτοις τότ' ἐνέπνεες, οὐκ ἂν Ὕαγνις
τὴν ἐπὶ Μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

XXX.

Ἀρκεῖ τέττιγας μεθύσαι δρόσος· ἀλλὰ πιόντες
ἀείδειν κύκνων εἰσὶ γεγωνότεροι.
ὣς καὶ ἀοιδὸς ἀνὴρ, ξενίων χάριν, ἀνταποδοῦναι
ὕμνους εὐέρκταις οἶδε, παθὼν ὀλίγα.
τοὔνεκά σε πρώτως μὲν ἀμείβομαι· ἢν δ' ἐθέλωσι p. 117.
Μοῖραι, πολλάκι μοι κείσεαι ἐν σελίσι.

XXXI.

Μηδείης τύπος οὗτος· ἴδ' ὡς τὸ μὲν εἰς χόλον αἴρει
ὄμμα, τὸ δ' εἰς παίδων ἔκλασε συμπαθίην.

* XXXII.

Ἡ καὶ ἔτ' ἐκ βρέφεος κοιμωμένη Ἀντιοδημὶς
πορφυρέων, Παφίης νοσσὶς, ἐπὶ κροκίδων,

XXX. 5. Vat. Cod. ἐθέλωσιν. 6. Idem Cod. κείσεαι.
XXXII. 2. Cod. Vat. κροκίδων.

T. II. ἡ τακεραῖς λεύσσουσα κόραις μαλακώτερον ὕπνω,
λύσιδος ἀλκυών, τερπνὸν ἄθυρμα μέθης.
ὑλαστίναις φορέουσα βραχίοσιν, ἡ μόνη ὑπὸ
ὁ λόχμη, (ἦν γὰρ ὅλη τὸν πελάγεσσι γάλα)
Ἰταλίην ἤμειψεν, ἵνα πτολέμοιο καὶ αἰχμῆς
ἀμπαύσῃ Ῥώμην μαλθακίνῃ χάριτι.

XXXIII.

Λευκάδος ἀντί με Καῖσαρ, ἰδ' Ἀμβρακίης ἐριβώλου,
Θυρρείου τε πέλας, ἀντί τ' Ἀνακτορίου,
Ἄργεος Ἀμφιλόχου τε, καὶ ὁππόσα ῥαίσατο κύκλῳ
ἄστε' ἐπιθρώσκων δουρομανὴς πόλεμος,
εἵσατο Νικόπολιν, θείην πόλιν· ἀντὶ δὲ νίκης
Φοῖβος ἄναξ ταύτην δείκνυται Ἀκτιάδος.

XXXIV.

Στρυμόνι καὶ μεγάλῳ πεπολισμένη Ἑλλησπόντῳ,
ἠρίον Ἠδωνῆς Φυλλίδος, Ἀμφίπολι,
λοιπά τοι Αἰθοπίης Βραυρωνίδος ἴχνια νηοῦ
μίμνει, καὶ ποταμοῦ τἀμφιμάχητον ὕδωρ.
p. 118. τὴν δέ ποτ' Αἰγείδαις μεγάλην ἔριν, ὡς ἁλιανθὲς
τρῦχος, ἐπ' ἀμφοτέραις δερκόμεθ' ἠϊόσι.

XXXV.

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.
οὐκ ἂν χητοσύνην τόσον ἔστενον. οἴ ἐμὲ δειλὴν,
ὅσσαις Ἑλλήνων νηυσὶ παραπλέομαι,

Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας. ὀψέ μοι Ἥρη T. H.
 Λητοῦς, ἀλλ᾽ οἰκτρὴν τήνδ᾽ ἐπέθηκε δίκην.

XXXVI.

Κλεινὴν οὐκ ἀπόφημι· σὲ γὰρ προπάροιθεν ἔθηκαν
 κλῄζεσθαι πτηνοί, Τῆνε, Βορηϊάδαι.
ἀλλὰ καὶ Ορτυγίην εἶχε κλέος, οὔνομα δ᾽ αὐτῆς
 ἤρχετο Ριπαίων ἄχρις ὑπερβορέων.
νῦν δὲ σὺ μὲν ζώεις, ἡ δ᾽ οὐκ ἔτι. τίς κεν ἐώλπει
 ὄψεσθαι Τήνου Δῆλον ἐρημοτέρην.

XXXVII.

Νῆσοι ἐρημαῖαι, τρύφεα χθονὸς, ἃς κελαδεινὸς
 ζωστὴρ Αἰγαίου κύματος ἐντὸς ἔχει,
Σίφνον ἐμιμήσασθε καὶ αὐχμηρὴν Φολέγανδρον,
 τλήμονες, ἀρχαίην τ᾽ ὠλέσατ᾽ ἀγλαΐην.
ἦ ῥ᾽ ὑμᾶς ἐδίδαξεν ἑὸν τρόπον ἡ ποτὲ κλεινὴ
 Δῆλος, ἐρημαίου δαίμονος ἀρξαμένη.

XXXVIII.

Κρῆσσα κύων ἐλάφοιο κατ᾽ ἴχνεος ἔδραμε γοργὴ,
 ἔγκυος, ἀμφοτέρην Ἄρτεμιν εὐξαμένη.
τίκτε δ᾽ ἀποκτείνουσα, θοὴ δ᾽ ἐπένευσεν Ἐλευθὼ p. 119.
 ἄμφω, εὐαγρίης δῶρα καὶ εὐτοκίης·
καὶ νῦν ἐννέα παισὶ δίδοι γάλα. φεύγετε Κρῆσσαι
 κεμμάδες, ἐκ τοκάδος τέκνα διδασκόμεναι.

XXXIX. Holl. Gad. a. d. Gr. p. 312.

Ἴσχετε χεῖρα μυλαῖον, ἀλετρίδες, εὕδετε μακρὰ,
 κἢν ὄρθρον προλέγῃ γῆρυς ἀλεκτρυόνων.

XXXV. 5. ὀψέ ποι.

T, II. ἡ τακεραῖς λεύσσουσα κόραις μαλακώτερον ὕπνου,
λύσιδος ἀλκυὼν, τερπνὸν ἄθυρμα μέθης.
ὑδατίνους φορέουσα βραχίονας, ἡ μόνη ὀστῶν
οὐ λάχεν, (ἦν γὰρ ὅλη τῶν ταλάροισι γάλα)
Ἰταλίην ἤμειψεν, ἵνα πτολέμοιο καὶ αἰχμῆς
ἀμπαύσῃ Ῥώμην μαλθακίνῃ χάριτι.

XXXIII.

Λευκάδος ἀντί με Καῖσαρ, ἰδ' Ἀμβρακίης ἐριβώλου,
Θυῤῥείου τε πέλειν, ἀντί τ' Ἀνακτορίου,
Ἄργεος Ἀμφιλόχου τε, καὶ ὁππόσα ῥαίσατο κύκλῳ
ἄστε' ἐπιθρώσκων δουρομανὴς πόλεμος,
εἵσατο Νικόπολιν, θείην πόλιν· ἀντὶ δὲ νίκης
Φοῖβος ἄναξ ταύτην δείκνυται Ἀκτιάδος.

XXXIV.

Στρυμόνι καὶ μεγάλῳ πεπολισμένη Ἑλλησπόντῳ,
ἠρίον Ἠδωνῆς Φυλλίδος, Ἀμφίπολι,
λοιπά τοι Αἰθοπίης Βραυρωνίδος ἴχνια νηοῦ
μίμνει, καὶ ποταμοῦ τἀμφιμάχητον ὕδωρ.
p. 118. τὴν δέ ποτ' Αἰγείδαις μεγάλην ἔριν, ὡς ἁλιανθὲς
τρῦχος, ἐπ' ἀμφοτέραις δερκόμεθ' ἠϊόσι.

XXXV.

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.
οὐκ ἂν χητοσύνην τόσον ἔστενον. οἶ ἐμὲ δειλὴν,
ὅσσαις Ἑλλήνων νηυσὶ παραπλέομαι,

Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας. ὀψέ μοι Ἥρη T. II.
Λητοῦς, ἀλλ' οἰκτρὴν τήνδ' ἐπέθηκε δίκην.

XXXVI.

Κλεινὴν οὐκ ἀπόφημι· σὲ γὰρ προπάροιθεν ἔθηκαν
κλῄζεσθαι πτηνοί, Τῆνε, Βορηϊάδαι.
ἀλλὰ καὶ Ὀρτυγίην εἶχε κλέος, οὔνομα δ' αὐτῆς
ἤχετο Ῥιπαίων ἄχρις ὑπερβορέων.
νῦν δὲ σὺ μὲν ζώεις, ἡ δ' οὐκ ἔτι. τίς κεν ἐώλπει
ὄψεσθαι Τήνου Δῆλον ἐρημοτέρην.

XXXVII.

Νῆσοι ἐρημαῖαι, τρύφεα χθονός, ἃς κελαδεινὸς
ζωστὴρ Αἰγαίου κύματος ἐντὸς ἔχει,
Σίφνον ἐμιμήσασθε καὶ αὐχμηρὴν Φολέγανδρον,
τλήμονες, ἀρχαίην τ' ὠλέσατ' ἀγλαΐην.
ἦ ῥ' ὑμᾶς ἐδίδαξεν ἑὸν τρόπον ἡ ποτὲ κλεινὴ
Δῆλος, ἐρημαίου δαίμονος ἀρξαμένη.

XXXVIII.

Κρῆσσα κύων ἐλάφοιο κατ' ἴχνεος ἔδραμε γοργή,
ἔγκυος, ἀμφοτέρην Ἄρτεμιν εὐξαμένη.
τίκτε δ' ἀποκτείνουσα, θοὴ δ' ἐπένευσεν Ἐλευθὼ p. 119.
ἄμφω, εὐαγρίης δῶρα καὶ εὐτοκίης·
καὶ νῦν ἐννέα παισὶ δίδοι γάλα. φεύγετε Κρῆσσαι
κεμμάδες, ἐκ τοκάδος τέκνα διδασκόμεναι.

XXXIX.

Ἴσχετε χεῖρα μυλαῖον, ἀλετρίδες, εὕδετε μακρά,
κἢν ὄρθρον προλέγῃ γῆρυς ἀλεκτρυόνων.

XXXV. 5. ὀψέ ποι.

T. II. Δηὼ γὰρ Νύμφαισι χερῶν ἐπετείλατο μόχθους·
αἳ δὲ κατ' ἀκροτάτην ἁλλόμεναι τροχιὴν,
ἄξονα δινεύουσιν· ὁ δ' ἀκτίνεσσιν ἑλικταῖς
στρωφᾶται πισύρων κοῖλα βάρη μυλάκων.
γευόμεθ' ἀρχαίου βιότου πάλιν, εἰ δίχα μόχθου
δαίνυσθαι Δηοῦς ἔργα διδασκόμεθα.

XL.

Ξεῖνοι, παρθένος εἰμὶ τὸ δένδρεον, ἥ ποτε Δάφνη,
φείσασθε, δμώων χεῖρες ἑτοιμοτόμοι.
ἀντὶ δ' ἐμεῦ κομάρου τις ὁδοιπόρος ἢ τερεβίνθου
δρεπτέσθω, χθαμάλην εἰς χύσιν, οὐ γὰρ ἑκάς·
ἀλλ' ἀπ' ἐμεῦ ποταμὸς μὲν ὅσον τρία, τοῦ δ' ἀπὸ πηγῶν
ὕλη πανθηλὴς δοιὰ πέλεθρ' ἀπέχει.

XLI.

Πηρὸς, ἄπαις, ἢ φέγγος ἰδεῖν, ἢ παῖδα τεκέσθαι
εὐξαμένη, δοιῆς ἔμμορεν εὐτυχίης.
τίκτε γὰρ υἱὸν ἄελπτα μετ' οὐ πολὺ, καὶ τριποθήτου
αὐτῆμαρ γλυκερὸν φέγγος ἐσεῖδε φάους.
Ἄρτεμις ἀμφοτέροισιν ὑπήκοος, ἥ τε λοχείης
μαῖα, καὶ ἀργεννῶν φωσφόρος εἶ σελάων.

p. 120.

XLII.

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδατι, δῆριν ἔθεντο
δισσοὶ ὑπὲρ μούνης μαρνάμενοι σανίδος.
τύψε μὲν Ἀνταγόρης Πεισίστρατον. οὐ νεμεσητὸν,
ἦν γὰρ ὑπὲρ ψυχῆς· ἀλλ' ἐμέλησε Δίκῃ.

XLI. 5. Scr. ἐπήκοος.

νήχεθ' ὁ μέν· τὸν δ' εἷλε κύων ἅλιος. Παναλάστωρ T. II.
Κηρῶν οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

XLIII.

Πριομένα κάλλει Γανυμήδεος, εἶπέ ποθ' Ηρα,
θυμοβόρον ζάλου κέντρον ἔχουσα νόῳ·
Αρσεν πῦρ ἔτεκε Τροία Διΐ· τοιγὰρ ἐγὼ πῦρ
πέμψω ἐπὶ Τροίᾳ, πῆμα φέροντα Πάριν·
ἥξει δ' Ιλιάδαις οὐκ αἰετός, ἀλλ' ἐπὶ θοίναν
γῦπες, ὅταν Δαναοὶ σκῦλα φέρωσι πόνων.

XLIV.

Πούλυπος εἰναλίῃ ποτ' ἐπὶ προβλῆτι τανυσθεὶς
ἠελίῳ ψύχειν πολλὸν ἀνῆκε πόδα·
οὔπω δ' ἦν πέτρῃ ἴκελος χρόα, τοὔνεκα καί μιν
αἰετὸς ἐκ νεφέων ὀξὺς ἔμαρψεν ἰδών·
πλοχμοῖς δ' εἱλιχθεὶς πέσεν εἰς ἅλα δύσμορος. ἦ ῥα
ἄμφω καὶ θήρης ἤμβροτε καὶ βιότου.

XLV.

Φεύγεθ' ὅσοι λόκκας, ἢ λοφνίδας, ἢ καμασήνας
ᾄδετε, ποιητῶν φῦλον ἀκανθολόγων,
οἵ τ' ἐπέων κόσμον λελιγυσμένον ἀσκήσαντες
κρήνης ἐξ ἱερῆς πίνετε λιτὸν ὕδωρ.
σήμερον Αρχιλόχοιο καὶ ἄρσενος ἦμαρ Ομήρου p. 121.
σπένδομεν· ὁ κρητὴρ οὐ δέχεθ' ὑδροπότας.

XLVI.

Αντιγένης ὁ Γελῷος ἔπος ποτὲ τοῦτο θυγατρὶ
εἶπεν, ὅτ' ἦν ἤδη νεύμενος εἰς Αΐδην·

T. II. πολλάκι δ' ἐξ ὑμέων ἐστιγμένον ὠλέσατ', αἶ αἶ,
κέντροις. εἶτ' ὀφίων φωλεὰ μεμφόμεθα;
πείθεο Λυσιδίκῃ καὶ Αμύντορι, μηδὲ μελίσσας
αἰνεῖν· κἀκείναις πικρὸν ἔνεστι μέλι.

LIV.

Οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου
πορθμὸς, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς·
ταῦθ' Ηρῦς τὰ πάροιθεν ἐπαύλια, τοῦτο τὸ πύργου
λείψανον, ὁ προδότης ὧδ' ἐπέκειτο λύχνος.
κοινὸς δ' ἀμφοτέρους ὅδ' ἔχει τάφος, εἰσέτι καὶ νῦν
κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.

LV.

Μούναν σὺν τέκνοις νεκυοστόλε δέξο με πορθμεῦ
τὰν λάλον. ἀρκεῖ σοι φόρτος ὁ Ταντάλιδος.
πληρώσει γαστὴρ μία σὸν σκάφος, εἴσιδε κούρους
καὶ κούρας, Φοίβου σκῦλα καὶ Αρτέμιδος.

LVI.

Ανέρα μὴ πέτρῃ τεκμαίρεο. λιτὸς ὁ τύμβος
ὀφθῆναι· μεγάλου δ' ὀστέα φωτὸς ἔχει.
εἰδήσεις Αλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης
ἔξοχον, ὃν Μουσῶν ἐννέ' ἀριθμὸς ἔχει·
p. 124. κεῖται δ' ἠπείροις διδύμαις ἔρις, εἴθ' ὅ γε Λυδὸς,
εἴτε Λάκων. πολλαὶ πατρίδες ὑμνοπόλων.

LVII.

Ο τραγικὸν φώνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν
πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ,

LVI, 6. Vat. Cod. πολλαὶ μητέρες.

Αἰσχύλος Εὐφορίωνος, Ἐλευσινίης ἑκὰς αἴης T. II.
κεῖται, κυδαίνων σήματι Τρινακρίην.

LVIII.

Οὐχὶ Θεμιστοκλέους Μάγνης τάφος· ἀλλὰ κέχωσμαι
Ἑλλήνων φθονερῆς σῆμα κακοτροπίης.

LIX.

Η χθαμαλὴν ὑπέδυς ὁ τόσος κόνιν; εἰς σέ τις ἀθρῶν,
Σώκρατες, Ἑλλήνων μέμψεται ἀκρισίην·
νηλέες, οἳ τὸν ἄριστον ἀπώλεσαν, οὐδὲν ἐν αἰδοῖ
δόντες. τοιοῦτοι πολλάκι Κεκροπίδαι.

LX.

Αὐσονίη με Λίβυσσαν ἔχει κόνις, ἄγχι δὲ Ῥώμης
κεῖμαι παρθενικὴ τῇδε παρὰ ψαμάθῳ·
ἡ δ' ἐμὲ θρεψαμένη Πομπηΐη ἀντὶ θυγατρὸς,
κλαυσαμένη τύμβῳ θῆκεν ἐλευθερίῳ,
πῦρ ἕτερον σπεύδουσα· τὸ δ' ἔφθασεν, οὐδὲ κατ' εὐχὴν
ἡμετέρην ἧψε λαμπάδα Περσεφόνη.

LXI.

Οὐδετέρης ὅλος εἰμὶ θανὼν νέκυς, ἀλλὰ θάλασσα
καὶ χθὼν τὴν ἀπ' ἐμεῦ μοῖραν ἔχουσιν ἴσην.
σάρκα γὰρ ἐν πόντῳ φάγον ἰχθύες· ὀστέα δ' αὖτε P. 125.
βέβρασται ψυχρῇ τῇδε παρ' ἠϊόνι.

LXII.

Ανθέα τὸν ναύηγον, ἐπὶ στόμα Πηνειοῖο
νυκτὸς ὑπὲρ βαιῆς νηξάμενον σανίδος,

LVII. 4. Scr. Τρινακίην.
LVIII. 2. Cod. Vat. r. κακοκρισίης, ſed ex correctione.

T. II. μούνιος ἐκ θάμνοιο θορὼν λύκος ἄσκοπον ἄνδρα
ἔκτανεν. ὦ γαίης κύματα πιστότερα.

LXIII.

Εἴκοσιν Ἑρμοκράτεια καὶ ἐννέα τέκνα τεκοῦσα
οὔθ' ἑνὸς οὔτε μιῆς ἠυγασάμην θάνατον.
οὐ γὰρ ἀπωΐστευσεν ἐμοὺς υἱῆας Ἀπόλλων,
οὐ βαρυπενθήτους Ἄρτεμις εἷλε κόρας.
ἔμπαλι δ' ἡ μὲν ἔλυσεν ἐμὴν ὠδῖνα μολοῦσα·
Φοῖβος δ' εἰς ἥβην ἄρσενας ἠγάγετο,
ἀβλαβέας νούσοισιν. ἴδ' ὡς νίκημι δικαίως
παισὶν καὶ γλώσσῃ σώφρονι Ταντάλιδα.

LXIV.

Αὔσονος Ἡγερίη με λέγειν νέκυν, ᾧ μετιόντι
νύμφην ὀφθαλμοὺς ἀμβλὺ κατέσχε νέφος·
ὄμματι δὲ πνοιὴν συναπέσβεσε μοῦνον ἰδόντος
κούρην. φεῦ κείνης, Ἥλιε, θευμορίης.
ἔρροι δὴ κεῖνο φθονερὸν σέλας, εἴθ' Ὑμέναιος
ἧψέ μιν οὐκ ἐθέλων, εἴτ' Ἀΐδης ἐθέλων.

LXV.

p. 126. Χειμερίου νιφετοῖο περὶ θριγκοῖσι τακέντος,
δῶμα πεσὸν τὴν γραῦν ἔκτανε Λυσιδίκην·
σῆμα δέ οἱ κωμῆται ὁμώλακες, οὐκ ἀπ' ὀρυκτῆς
γαίης, ἀλλ' αὐτὸν πύργον ἔθεντο τάφον.

LXVI.

LXII. 4. Cod. Vat. πιερότερα. ſed ſupra correctum πιστότερα.
LXIII. 8. Fort. παισί τε καὶ γλ.

LXVI.

T. II.

Δύσμορε Νικᾶνορ, πολιῷ μεμορημένε πόντῳ,
κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠϊόνι,
ἢ σύ γε πρὸς πέτρῃσι· τὰ δ' ὄλβια κεῖνα μέλαθρα
φροῦδά τε, καὶ πάσης ἐλπὶς ὄλωλε Τύρου.
οὐδέ τι σε κτεάνων ἐῤῥύσατο· φεῦ, ἐλεεινέ,
ὤλεο μοχθήσας ἰχθύσι καὶ πελάγει.

LXVII.

Κυλλήνην ὄρος Ἀρκάδων ἀκούεις·
αὕτη σῆμ' ἐπίκειτ' Ἀπολλοδώρῳ.
Πίσηθέν μιν ἰόντα νυκτὸς ὥρῃ
ἔκτεινεν Διόθεν πεσὼν κεραυνός.
τηλοῦ δ' Αἰγανέης τε καὶ Βεροίης,
νικηθεὶς Διός, ὁ δρομεὺς καθεύδει.

LXVIII.

Γλύκων, τὸ Περγαμηνὸν Ἀσίδι κλέος,
ὁ παμμάχων κεραυνός, ὁ πλατὺς πόδας,
ὁ καινὸς Ἄτλας, αἵ τ' ἀνίκατοι χέρες
ἔῤῥοντι, τῶν τε πρόσθεν, αἵ τ' ἐν Ἰταλοῖς,
αἵ θ' Ἑλλάδι τὸ πρῶτον, αἵ τ' ἐν Ἀσίδι.
ὁ πάντα νικῶν Ἀΐδης ἀνέτραπε.

LXIX.

p. 127.

Καὶ νέκυν ἀπρήϋντος ἀνιήσει με θάλασσα,
Λῦσιν, ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
τρηχὺς ἀεὶ φωνεῦσα παρ' οὔατα, καὶ παρὰ κωφὸν
σῆμα. τί μ', ὦ 'νθρωποι, τῇδε παρῳκίσατε,

LXVII. 5. Scr. Αἰανίης.

T. II. ἡ πνοιῆς χήρωσε, τὸν οὐκέτι φορτίδι νηῒ
ἔμπορον, ἀλλ' ὀλίγης ναυτίλον εἰρεσίης
δηκαμένη ναυηγόν; ὁ δ' ἐκ πόντοιο ματεύων
ζωὴν, ἐκ πόντου καὶ μόρον εἱλκυσάμην.

Lect. p. 155. LXX.

Πέντε Διωνύσοιο θεραπνίδες αἵδε σαυτῳ
ἐντύνουσι θεαῖ ἔργα χοροστασίης.
ἁ μὲν ἀερτάζουσα δέμας βλοσυροῖο λέοντος,
ἁ δὲ Λυκαόνιον καλλίκερων ἔλαφον·
ἁ τριτάτα δ' οἰωνὸν εὔπτερον· ἁ δὲ τετάρτα
τύμπανον· ἁ πέμπτα χαλκοβαρὲς κρόταλον.
πᾶσαι φοιταλέαι τὸ παρηόριον δι' ὄνομα
ἐκ πλαγίας-λύσσαι δαίμονος εὐϊάδι.

T. II. p. 127. ΒΟΗΘΟΥ.

Εἰς Πυλάδην τὸν ὀρχηστὴν ὑποκρινόμενον τὸν Διόνυσον.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν Ὄλυμπον,
κωμάζων Λήναις σύν ποτε καὶ Σατύροις,
οἷον ὁ τεχνήεις Πυλάδης ὠρχήσατο κεῖνον,
ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων,
παυσαμένη ζήλου Διὸς ἂν φάτο σύγγαμος Ἥρη·
Ἐψεύσω, Σεμέλη, Βάκχον· ἐγὼ δ' ἔτεκον.

LXIX. 5. Fort. ἐκ ἐπὶ φ.

LXX. 1. Fort. σαύτῳ. ſive σαύτῃ σ. θεῷ. 7. Fort. φ. τὸ παρηόριόν τε νόημα ἐκπλαγίες, λύσσᾳ δ. ε.

ΑΛΦΕΙΟΥ

T.II. p.128. φ

ΜΙΤΥΛΗΝΑΙΟΥ.

I.

Τλήμονες, οἷς ἀνέραστος ἔφυ βίος, οὔτε γὰρ ἔρξαι
  εὐμαρὲς, οὔτ' εἰπεῖν ἐςί τι νόσφι πόθων.
καὶ γὰρ ἐγὼ νῦν εἰμὶ λίην βραδύς· εἰ δ' ἐσίδοιμι
  Ζηνόφιλον, ςεροπῆς πτήσομαι ὀξύτερος.
τοὔνεκεν οὐ φεύγειν γλυκὺν ἵμερον, ἀλλὰ διώκειν,
  πᾶσι λέγω. ΨΥΧΗΣ ΕΣΤΙΝ ΕΡΩΣ ΑΚΟΝΗ.

II.

Πανὶ κασιγνήτων ἱερὴ τριὰς, ἄλλος ἀπ' ἄλλης,
  ἄνθετ' ἀπ' οἰκείης σύμβολον ἐργασίης.
Πίγρης ὀρνίθων, ἁλίων ἀπομοίρια Κλείτωρ,
  ἔμπαλιν ἰθυτενῶν Δᾶμις ἀπὸ ςαλίκων.
ἀνθ' ὧν εὐαγρίην τῷ μὲν χθονὸς, ᾧ δὲ διδοίης
  ἐξ ἁλὸς, ᾧ δὲ νέμοις ἠέρος ὠφελίην.

III.

Εἰς Ερωτα κοιμώμενον.

Αρπάσομαι πυρόεσσαν, Ερως, χερὸς ἐκ σέο πεύκην,
  συλήσω δ' ὤμων ἀμφικρεμῆ φαρέτρην,
εἴ γ' ἐτύμως εὕδεις, πυρὸς ἔγγονε, καὶ σέο φῶτες
  πρὸς βαιὸν τόξων εὐνομίην ἄγομεν.

II. Titulus in membr. Ἀλφείε Μιτ. at correctum Ἀλκαίε.

T.II.p.129. ἀλλὰ καὶ ὥς σε δέδοικα, δολοπλόκε, μή τινα κεύθῃς
εἰς ἐμέ, κἢν ὕπνῳ πικρὸν ὄνειρον ἴδῃς.

IV.

Οὐ στέργω βαθυληΐους ἀρούρας,
οὐκ ὄλβον πολύχρυσον, οἷα Γύγης.
αὐτάρκους ἔραμαι βίου, Μακρῖνε·
τὸ ΜΗΘΕΝ γὰρ ΑΓΑΝ ἄγαν με τέρπει.

V.

Ἀνδρομάχης ἔτι θρῆνον ἀκούομεν, εἰσέτι Τροίην
δερκόμεθ' ἐκ βάθρων πᾶσαν ἐρειπομένην,
καὶ μόθον Αἰάντειον, ὑπὸ στεφάνῃ τε πόληος
ἕκδετον ἐξ ἵππων Ἕκτορα συρόμενον,
Μαιονίδεω διὰ Μοῦσαν, ὃν οὐ μία πατρὶς ἀοιδὸν
κοσμεῖται, γαίης δ' ἀμφοτέρης κλίματα.

VI.

Νηῶν ὠκυπόρων ὃς ἔχεις κράτος, ἵππιε δαῖμον,
καὶ μέγαν Εὐβοίης ἀμφικρεμῆ σκόπελον,
οὔριον εὐχομένοισι δίδου πλόον Ἄργεος ἄχρις
ἐς πόλιν, ἐκ Συρίης πείσματα λυσαμένοις.

VII.

Κλεῖε, θεός, μεγάλοιο πύλας ἀκμῆτας Ὀλύμπου,
φρούρει, Ζεῦ, ζαθέαν αἰθέρος ἀκρόπολιν.
ἤδη γὰρ καὶ πόντος ὑπέζευκται δορὶ Ῥώμης,
καὶ χθών· οὐρανίη δ' οἶμος ἔτ' ἐστ' ἄβατος.

T.II.p.130.

VIII.

Ἡρώων ὀλίγαι μὲν ἐν ὄμμασιν, αἱ δ' ἔτι λοιπαὶ
πατρίδες οὐ πολλὸν αἰπύτεραι πεδίων,
οἵην καί σε, τάλαινα, παρερχόμενός γε, Μυκήνη,
ἔγνων, αἰπολίου παντὸς ἐρημοτέρην,
αἰπολικὸν μήνυμα· γέρων δέ τις, Η ΠΟΛΥΧΡΥΣΟΣ,
εἶπεν, ΚΥΚΛΩΠΩΝ ΤΗΙΔ' ΕΠΕΚΕΙΤΟ ΠΟΛΙΣ.

IX.

Αργος, Ομηρικὲ μῦθε, καὶ Ελλάδος ἱερὸν οὖδας,
καὶ χρυσέη τοπάλαι Περσέος ἀκρόπολι,
ἐσβέσαθ' ἡρώων κείνων κλέος, οἵ ποτε Τροίης
ἤρειψαν κατὰ γῆς θειόδομον στέφανον.
ἀλλ' ἡ μὲν κρείσσων ἐστὶ πτόλις· αἱ δὲ πεσοῦσαι
δείκνυσθ' εὐμύκων αὔλια βουκολίων.

X.

Λητοῦς ὠδίνων ἱερὴ τροφὲ, τὴν ἀσάλευτον
Αἰγαίῳ Κρονίδης ὡρμίσατ' ἐν πελάγει,
οὔ νύ σε δειλαίην, μὰ τοὺς, δέσποινα, βοήσω,
δαίμονας, οὐδὲ λόγοις ἕψομαι Αντιπάτρου.
ὀλβίζω δ' ὅτι Φοῖβον ἐδέξαο, καὶ μετ' Ολυμπον
Αρτεμις οὐκ ἄλλην ἤ σε λέγει πατρίδα.

XI.

Επὶ τῷ Φιλοποίμενος ἀνδριάντι ἐν Τεγέᾳ.

Τοῦδ' ἀρετὰ καὶ δόξα καθ' Ελλάδα, πολλὰ μὲν ἀλκαῖς,
πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου,
Αρκάδος αἰχμητᾶ Φιλοποίμενος, ᾧ μέγα κῦδος
ἕσπετ' ἐνὶ πτολέμῳ, δούρατος ἁγεμόνι.

T.II.p.131. μανύει δὲ τρόπαια τετυγμένα δισσὰ τυράννων
Σπάρτας· αὐξομέναν δ᾽ ἄρατο δυλοσύναν.
ὧν ἕνεκεν Τεγέα μεγαλόφρονα Κραύγιδος υἱὸν
τᾶσεν ἀμωμήτυ κράντορ᾽ ἐλευθερίας.

XII.

Χειμερίοις νιφάδεσσι παλυνομένα τιθὰς ὄρνις,
τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας,
μέσφα μιν ὠράνιον κρύος ὤλεσεν· ἦ γὰρ ἔμεινεν
αἰθέρος ἠδ᾽ αἰνῶν ἀντίπαλος νεφέων.
Πρόκνη καὶ Μήδεια, κατ᾽ Αἴδος αἰδέσθητε,
μητέρες, ὀρνίθων ἔργα διδασκόμεναι.

---

p. 132. ΑΠΟΛΛΩΝΙΔΑ

ΣΜΥΡΝΑΙΟΥ.

I.

Υπνώεις, ὦ ᾽ταῖρε· τὸ δὲ σκύφος αὐτὸ βοᾷ σε·
ἔγρεο, μὴ τέρπυ μοιρίδίῃ μελέτῃ.
μὴ φείσῃ, Διόδωρε· λάβρος δ᾽ εἰς Βάκχον ὀλισθὼν
ἄχρις ἐπὶ σφαλερῦ ζωροπότει γόνατος.
ἔσσεθ᾽, ὅθ᾽ ὐ πιόμεσθα, πολὺς χρόνος. ἀλλ᾽ ἄγ᾽ ἐπείγυ·
ἡ συνετὴ κροτάφων ἅπτεται ἡμετέρων.

II.

Θαύμασε τὸν Κινύρην ὁ πάλαι χρόνος, ἢ Φρύγας ἄμφω·
σὸν δὲ, Λέων, ἡμεῖς κάλλος ἀεισόμεθα,
Κερκαφίδη περίβωτε. μακαρτάτη ἔτ᾽ ἄρα νήσων
καὶ Ῥόδος, ἣ τοίῳ λάμπεται ἠελίῳ.

III.

T. II.

Εἰ τοιόσδε Λέων λάχεν ἀντίος Ἡρακλῆϊ,
    οὐκ ἦν Ἀλκίδεω τοῦτο τὸ δωδέκατον.

IV.

Οὐκέτι Τιμόκλεια τεῶν φάος ὤλεσας ὄσσων
    κούρους διοτόκῳ νηδύϊ γειναμένη·
ὄμμασι δ' ἐν πλεόνεσσιν ἀθρεῖς πυριθαλπὲς ὄχημα
    ἠελίου, προτέρης οὖσα τελειοτέρη.

V.

p. 133.

Σώφρων οὐ πεδίου πολυαύλακος εἴμ' ὁ γεραιὸς,
    οὐδὲ πολυγλεύκου γειομόρος βότρυος·
ἀλλ' ἀρότρῳ βραχύβωλον ἐπικνίζοντι χαράσσω
    χέρσον, καὶ βαιοῦ πίδακα ῥαγὸς ἔχω.
σοὶ νῦν ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης
    πλείονα, καὶ πολλῶν, δαῖμον, ἀπαρξόμεθα.

VI.

Σμήνεος ἔκ με ταμὼν, γλυκερὸν θέρος, ἀντὶ νομαίων,
    γηραιὸς Κλείτων σπεῖσε μελισσοπόνος,
ἀμβροσίων ἔαρος κηρῶν μέλι πολλὸν ἀμέλξας,
    δῶρον ἀποιμάντου τηλοπέτευς ἀγέλης.
θείης δ' ἑσμοτόκον χορὸν ἄπλετον, ἐκ δὲ μελιχροῦ
    νέκταρος ἐμπλήσαις κηροπαγεῖς θαλάμας.

VII.

Τρίγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοι λιμενῖτιν,
    Ἄρτεμι, δωρεῦμαι Μῆνις ὁ δικτυβόλος,

III. 2. Scr. Ἀλκεΐδεω.
VI. 1. Cod. Ϡ. ἀμφινόμαιον.
VII. 1. Cod. Vat. λιμενῆτιν.

Τ. Π. καὶ ζωρὸν, κεράσας ἰσοχειλέα, καὶ τρύφος ἄρτου,
αὖον ἐπιθραύσας, τὴν πενιχρὴν θυσίην·
ἀνθ' ἧς μοι πλησθέντα δίδου θηράμασιν αἰεὶ
δίκτυα· σοὶ δέδοται πάντα, μάκαιρα, λίνα.

VIII.

Ηδὺ παρῃϊάδων πρῶτον θέρος ἤματι τούτῳ
κείρεο, καὶ γενύων ἠΐθεος ἕλικας,
Γάϊε· σὸν δὲ πατὴρ χερὶ δέξεται εὐκτὸν ἴουλον
Λεύκιος, αὐξομένου πουλὺν ἐς ἠέλιον.
p. 134. δωρεῦνται χρυσέοισιν, ἐγὼ δ' ἱλαροῖς ἐλέγοισιν·
ΟΥ ΓΑΡ ΔΗ ΠΛΟΥΤΟΥ ΜΟΥΣΑ ΧΕΡΕΙΟΤΕΡΗ.

IX.

Ανθετ' Αναξαγόρης με, τὸν οὐκ ἐπὶ ποσσὶ Πρίηπον,
ἐν χθονὶ δ' ἀμφοτέρῳ γούνατι κεκλιμένον.
τεῦξε δὲ Φυλόμαχος. Χαρίτων δέ μοι ἐγγύθι καλὴν
ἀθρήσας, δίζευ μηκέτι πῶς ἔπεσον.

X.

Αγροτέρων θεός εἰμι. τί μοι χρυσέοις δεπάεσσι
σπένδετε; τοῦ δ' Ιταλοῦ χεῖτε μέθυ Βρομίου,
καὶ γυροὺς ταύρων πέτρῃ προσδεῖτε τένοντας;
φείσασθ'· οὐ τούτοις θύμασι τερπόμεθα.
Πὰν ὁ παρωρείτης, αὐτόξυλος, ἀγνεοθοίνης
εἰμὶ, καὶ ἐγχθονίου γλευκοπότης κύλικος.

IX. 3. Scr. Φυρόμαχος.

XI. T. II.

ΕΙΣ ΠΗΓΗΝ ΟΝΟΜΑΖΟΜΕΝΗΝ ΚΑΘΑΡΗΝ.

Ἡν ΚΑΘΑΡΗ (Νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων
κρήνη πασάων δῶκαν ἐμοὶ λιβάδων)
ληϊστὴς ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας,
καὶ φονίην ἱεροῖς ὕδασι λῦσε χέρα.
κεῖνον ἀναστρέψασα γλυκὺν ῥόον, οὐκ ἔθ' ὁδίταις
βλύζω. τίς γὰρ ἐρεῖ τὴν ΚΑΘΑΡΗΝ ἔτι με;

XII.

Αἴλιος Αὐσονίης στρατίης πρόμος, ὁ χρυσέοισι
τέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,
νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρμα τ' ἄφυκτον p. 135.
εἶδεν, ἀριστείην ἔφθανεν εἰς ἰδίην.
πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος, εἶπέ τε θνήσκων·
Αὐτὸς ἑκὼν ἐδάμην, μὴ νόσος εὖχος ἔχοι.

XIII.

Καὶ πότε δὴ νάεις ἄφοβος πόρος, εἰπὲ θάλασσα,
εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα,
ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
νήνεμον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην;
ἀλλὰ καὶ ἡνίκα γαῖα καὶ ὠδίνεσσιν ἀπήμων
αὐχεῖς, σὺν φόρτῳ δῦσας Ἀριστομένην.

XIV.

Ὁ πρὶν ἐγὼ Ῥοδίοισιν ἀνέμβατος ἱερὸς ὄρνις,
ὁ πρὶν Κερκαφίδαις αἰετὸς ἱστορίη,

XII. 4. Codd. ἀ. ἐμφανὲς. Mallem ἔφθασεν.
XIII. 5. Scr. ἡνίκα μαῖα.

T. II. ὑψιπετῆ τότε ταρσὸν ἀνὰ πλατὺν ἠέρ' ἀερθεὶς,
ἤλυθον, Ἠελίου νῆσον ὅτ' εἶχε Νέρων·
κείνου δ' αὐλίσθην ἐνὶ δώμασι, χειρὶ συνήθης
κράντορος, οὐ φεύγων Ζῆνα τὸν ἐσσόμενον.

XV.

Δειματόεις ἐλάφων κεραὸς λόχος, εὖτε κρυώδεις
πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες,
δείλαιαι ποταμοῖσιν ἐφωρμίσαν, ἐλπίσι φρούδαις
χλιῆναι νοτεροῖς νάμασιν ὠκὺ γόνυ.
τὰς δὲ περιφράξας ἐχθρὸς ῥόος ἀθρόον ἄφνω
χειμερίῃ στυγερῇ δῆσε πάγοιο πέδῃ.
πληθὺς δ' ἀγροτέρων ἀλίνου θοινήσατο θήρης,
ἣ φύγεν ἀρπεδόνην πολλάκι καὶ στάλικας.

p. 136. XVI.

Σκύλλις, ὅτε Ξέρξου δολιχὸς στόλος Ἑλλάδα πᾶσαν
ἤλαυνε, βυθίην εὕρατο ναυμαχίην,
Νηρῆος λαθρίοισιν ὑποπλώσας τενάγεσσι,
καὶ τὸν ἀπ' ἀγκύρης ὅρμον ἔκειρε νεῶν.
αὔτανδρος δ' ἐπὶ γῆς ὠλίσθανε Περσὶς ἄναυδος
ὀλλυμένη, πρώτη πεῖρα Θεμιστοκλέους.

XVII.

Ἀγγελίης ἤκουσεν ἀναίτου Μελίτινα,
υἱέα σὺν φόρτῳ κύματι κρυπτόμενον·
ἠϊόσιν δ' ἐπικάλεσαν ἁλίκλυστον δέμας ἄλλου,
δύσμορος οἰκείης σύμβολον εἶδε τύχης,

XVI. 1. Cod. Vat. Σκύλλος.
XVII. 1. Cod. Vat. Μελίτεια.

υἱέα δ' ὡς ἔστειλε. Δίων δ' ἐπὶ νηὸς ἀθραύστου T. II.
ἤλυθεν ἐς γαίην σῶος ἀπ' ἐμπορίης.
μητέρες ὡς ἄνισον μοίρης λάχον. ἡ μὲν ἄελπτον
ζωὸν ἔχει· κείνη δ' ὄψεται οὐδὲ νέκυν.

XVIII.

Ξεῖνον ὁπηνίκα θαῦμα κατείδομεν Ἀσὶς ἅπασα,
πῶλον ἐπ' ἀνδρομέαν σάρκα φρυασσόμενον,
Θρηϊκίης φάτνης πολιὸς λόγος εἰς ἐμὸν ὄμμα
ἤλυθε. δίζημαι δεύτερον Ἡρακλέα.

XIX.

Πρὸς παίδων, εἶπε, γουνάζομαι, ἤν με θανοῦσαν
στείλης, μὴ σπεῖσαι δεύτερα φίλτρα γάμου.
εἶπεν· ὁ δ' εἰς ἑτέρην ἐσπούδασεν. ἀλλὰ Φίλιννα
Διογένην λήθης τίσατο καὶ φθιμένη.
νυκτὶ γὰρ ἐν πρώτῃ θάλαμον σχάσε μῆνις ἄφυκτος, p. 137.
ὡς μὴ λέκτρον ἰδεῖν δεύτερον ἠέλιον.

XX.

Γήθησαν περὶ παιδὸς Ἀριστίπποιο τοκῆες,
καὶ κλαῦσαν· μοίρης δ' ἦμαρ ἓν ἀμφοτέρης.
εὖτε γὰρ αἰθόμενον δόμον ἔκφυγεν, ἰθὺ κεραυνοῦ
Ζεὺς κατά οἱ κεφαλῆς ἄσπετον ἧκε σέλας.
τοῦτο δ' ἔπος τότ' ἔλεξαν ὅσοι νέκυν ὠδύροντο·
Ω πυρὶ δαιμονίῳ τλῆμον ὀφειλόμενε.

XXI.

Ἰοτυπὴς Διὸς ὄρνις ἐτίσατο Κρῆτα φαρέτρης,
οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος·

XVII. 6. Cod. Vat. ἐκ γαίης.

T. II. κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα,
ἠερόθεν πίπτων δ' ἔκτανεν, ὡς ἔθανε.
μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι Κρῆτες ὀϊστοῖς
αὐχεῖθ'· ὑμνείσθω καὶ Διὸς εὐστοχίη.

XXII.

Λαίλιος, Αὐσονίων ὑπάτων κλέος, εἶπεν ἀθρήσας
Εὐρώταν· Σπάρτης χαῖρε φέριστον ὕδωρ.
Μουσάων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορι βίβλῳ,
εἶδεν ὑπὲρ κορυφῆς σύμβολον εὐμαθίης.
κίσσαι, μιμηλὸν βιότου πτερὸν, ἐν σκιεροῖσιν
ἄγκεσι παμφώνων μέλπον ἀπὸ στομάτων.
θερμήθη δ' ἐπὶ παισί. τί δ' οὐ ζηλωτὸς ὁ μόχθος,
εἰ καὶ πτηνὰ ποθεῖ γάρυος ἡμετέρης;

p.138.

XXIII.

Ἰχθυοθηρητῆρα Μενέστρατον ὤλεσεν ἄγρη,
δόνακος ἱππείης ἐκ τριχὸς ἑλκομένη,
εἶδαρ ὅτ' ἀγκίστρου φόνιον πλάνος ἀμφιχανοῦσα
ὀξείην ἐρυθρὴ φυκὶς ἔφριξε γένυν.
ἀγχομένη δ' ὑπ' ὀδόντι κατέκτανεν, ἅλματι λάβρῳ
ἐντὸς ὀλισθηρῶν δυσαμένη φαρύγων.

XXIV.

Ἕβρου καὶ Δήλοιο κλύδων μέσος υἷα Μενοίτην
σὺν φόρτῳ Σαμίου κρύψε Διοφανέος,
εἰς ὅσιον σπεύδοντα πλόου τάχος. ἀλλὰ θάλασσα
ἐχθρὴ, καὶ νύσσῃ πατρὸς ἐπειγόμενον,

XXIII. 2. Cod. Vat. ἱππίης ἐκ τ.

XXV. T. II.

Θάμνου ποτ' ἄκρους ἀμφὶ κλῶνας ἥμενος
τέττιξ πτερῷ, φλέγοντος ἡλίου μέσου,
νηδὺν ῥαπίζων δαίδαλ', αὐτουργῷ μέλει
ἡδὺς κατωργάνιζε τῆς ἐρημίας.
Κρίτων δ' ὁ πάσης ἐξοεργὸς Πιαλεὺς
θήρης, ἄσαρκα νῶτ' ἐδουνακεύσατο.
τίσιν δ' ἔτισεν· εἰς γὰρ ἠθάδας πάγας
σφαλεὶς ἀλᾶται παντὸς ἱμείρων πτεροῦ.

XXVI.

Γλῆνιν παρηονῖτις ἀμφέχω χερμὰς,
πικρῇ κατασπασθέντα κύματος δίνῃ,
ὅτ' ἰχθυάζετ' ἐξ ἄκρης ἀποῤῥῶγος·
χῶσαν δέ μ' ὅσσος λαὸς ἦν συνεργήτης,
Πόσειδον, οὓς σὺ σῶζε, καὶ γαληναίην p. 139.
αἰὲν διδοίης ὁρμηβόλοις θῖνα.

XXVII.

Ἦν ἄρα Μιλήτου Φοιβήϊον ὅρμον ἵκησθε,
λέξατε Διογένει πένθιμον ἀγγελίην,
παῖς ὅτι οἱ ναυηγὸς ὑπὸ χθονὶ κεύθεται Ἄνδρου
Δίφιλος, Αἰγαίου κῦμα πιὼν πελάγευς.

XXVIII.

Ἔφθανεν Ἡλιόδωρος, ἐφέσπετο δ', οὐδ' ὅσον ὥρῃ
ὕστερον, ἀνδρὶ φίλῳ Διογένεια δάμαρ.
ἄμφω δ' ὡς Ὑμεναίου ὑπὸ πλακὶ τυμβεύονται,
ξυνὸν ἀγαλλόμενοι καὶ τάφον ὡς θάλαμον.

XXVI. 4. Cod. Vat. συνεργήτης. Vulgo συνεργέτης.

T. II.

XXIX.

Ἠλλάχθη θανάτοιο τεὸς μόρος, ἀντὶ δὲ σεῖο,
δέσποτα, δοῦλος ἐγὼ στυγνὸν ἔπλησα τάφον,
ἡνίκα σεῦ δακρυτὰ κατὰ χθονὸς ἠρία τεῦχον,
ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω·
ἀμφὶ δ' ἔμ' ὤλισθεν γυρὴ κόνις. οὐ βαρὺς ἡμῖν
ἔστ' Ἀίδης· ζήσω τὸν σὸν ὑπ' ἠέλιον.

XXX.

Καὶ τίς, ὃς οὐκ ἔτλη κακὸν ἔσχατον, υἱέα κλαύσας ἐρῷ
ἀλλ' ὁ Ποσειδίππου πάντας ἔθαψε δόμος,
τέσσαρας, οὓς Ἀίδαο συνήριθμον ἥρπασεν ἦμαρ,
τὴν πολλὴν παίδων ἐλπίδα κειραμένου.
πατρὸς δ' ὄμματα λυγρὰ κατομβρηθέντα γόοισιν
ὤλετο· κοινή που νὺξ μία πάντας ἔχει.

Lect. p. 159.

XXXI.

Μητρὶ περιστρεφέα σηκὸν Κυθέρεια θαλάσσῃ
κρηπῖδας βυθίας οἴδματι πηξαμένη
χαίρει δ' ἀμφί σε πόντος ἐπὶ ζεφύροιο πνοῇσιν
ἀφρὸν ὑπὲρ νώτου κυάνεον γελάσας.
εἵνεκα δ' εὐσεβίης, νηοῦ θ' ὃν ἐγείνατο σεῖο
Πόστυμος αὐχήσει μεζονα φλουσι πάφου.

XXXI. 5. Scr. ὃν ἐδείματο.

ΚΡΙΝΑΓΟΡΟΥ

T.II. p.140.

φ

ΜΙΤΥΛΗΝΑΙΟΥ.

I.

Εἰς ἄγαλμα Ἔρωτος δεδεμένου.

Καὶ κλαῖε, καὶ στέναζε, συσφίγγων χεροῖν
τένοντας, ὦ 'πίβουλε· τοῖά τοι πρέπει.
οὐκ ἔσθ' ὁ λύσων· μὴ 'λεεῖν ὑποβλέπε.
αὐτὸς γὰρ ἄλλων ἐκ μὲν ὀμμάτων δάκρυ
ἔθλιψας, ἐν δὲ πικρὰ καρδίαις βέλη
πήξας, ἀφύκτων ἰὸν ἔσταξας πόθων,
Ἔρως· τὰ θνητῶν δ' ἐστί σοι γέλως ἄχη.
πέπονθας οἷ' ἔρεξας. ΕΣΘΛΟΝ Η ΔΙΚΗ.

II.

Τὸν σκοπὸν Εὐβοίης ἁλικύμονος ᾖσεν Ἀριστώ,
Ναύπλιον· ἐκ μολπῆς δ' ὁ θρασὺς ἐφλεγόμην.
ὁ ψεύστης δ' ὑπὸ νύκτα Καφηρείης ἀπὸ πέτρης
πυρσὸς ἐμὴν μετέβη δύσμορον εἰς κραδίην.

III.

Κἢν ῥίψῃς ἐπὶ λαιὰ, καὶ ἢν ἐπὶ δεξιὰ ῥίψῃς,
Κριναγόρη, κενεοῦ σαυτὸν ὕπερθε λέχους,
εἰ μή σοι χαρίεσσα παρακλίνοιτο Γέμελλα,
γνώσῃ κοιμηθεὶς οὐχ ὕπνον, ἀλλὰ κόπον.

II. 4. Fort. δυσμόρου.

T.II.p.141.

IV.

Ἀργύρεόν σοι τόνδε, γενέθλιον ἐς τεὸν ἦμαρ,
Πρόκλε, νεόσμηκτον δωράτιον, κάλαμον,
εὖ μὲν ἐϋσχίστοισι διάγλυπτον κεράεσσι,
εὖ δὲ ταχυνομένην εὔροον εἰς σελίδα,
πέμπει Κριναγόρης, ὀλίγην δόσιν, ἀλλ' ἀπὸ θυμοῦ
πλείονος, ἀρτιδαεῖ σύμπονον ἐργασίῃ.

V.

Αἰετοῦ ἀγκυλόχειλος ἀκρόπτερον ὀξὺ, σιδήρῳ
γλυφθὲν, καὶ βαπτῇ πορφύρεον κυάνῳ,
ἤν τι λάθῃ μίμνον μεταδόρπιον ἐγγὺς ὀδόντων,
ἐκκνῆσαι πρηεῖ κέντρῳ ἐπιστάμενον,
βαιὸν ἀπ' οὐκ ὀλίγης πέμπει φρενὸς, οἷα δεδοικὼς –
δῶρον ὀπάσσαι σοι, Λεύκιε, Κριναγόρης.

VI.

Βότρυες οἰνοπέπαντοι, ἐϋσχίστοιό τε ῥοιῆς
θρύμματα, καὶ ξανθοὶ μύελοι ἐκ στροβίλων,
καὶ δειλαὶ δάκνεσθαι ἀμυγδάλαι, ἥ τε μελισσῶν
ἀμβροσίη, πυκναί τ' ἰτρινέαι πόπαδες,
καὶ πότιμοι γελγίδες, ἰδ' ὑαλοχρώδεες ὄγχναι,
δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπεισόδια·
Πανὶ φιλοσκήπωνι, καὶ εὐστόρθυγγι Πριήπῳ
ἀντίθεται λιτὴν δαῖτα Φιλοξενίδης.

VII.

IV. 2. Cod. δωρατίην. Fort. ſcr. δωράτιον, et ἀργύρεον ad ἦμαρ referendum.

V. 4. Cod. κνῆσαι. 5. Cod. οἷα δεδαπώς.

VI. 5. ἰδ' ὑελακυνάδες. Cod. et γέλγιθες.

VII. T. II.

Σπήλυγγες Νυμφῶν εὐπίδακες, αἳ τόσον ὕδωρ
εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος,
Πανός τ' ἠχήεσσα πιτυστέπτοιο καλιή, p. 142.
τὴν ὑπὸ Κασταλίης ποσσὶ λέλογχε πέτρης,
ἱερὰ δ' ἀγρευτῆσι γεράνδρυα ἀρκεύθοιο
πρέμνα, λιθηλογέες θ' Ἑρμέω ἱδρύσιες,
αὐταί θ' ἱλήκοιτε, καὶ εὐθήροιο δέχεσθε
Σωσάνδρου ταχινῆς σκῦλ' ἐλαφηβολίης.

VIII.

Χάλκεον ἀργυρέῳ με πανείκελον, Ἰνδικὸν ἔργον,
ὄλπην, ἡδίστου ξείνιον εἰς ἑτάρου,
ἦμαρ ἐπεὶ τόδε σεῖο γενέθλιον, υἱὲ Σίμωνος,
πέμπει γηθομένῃ σὺν φρενὶ Κριναγόρης.

IX.

Εἴαρος ἠνθοῦμεν τοπρὶν ῥόδα, νῦν δ' ἐνὶ μέσσῳ
χείματι πορφυρέας ἐσχάσαμεν κάλυκας,
σοὶ ἐπιμειδήσαντα, γενεθλίῃ ἄσμενα τῇδε
ἠοῖ, νυμφιδίων ἀσσοτάτῃ λεχέων.
καλλίστης ὀφθῆναι ἐπὶ κροτάφοισι γυναικὸς
λώϊον, ἢ μίμνειν ἠρινὸν ἠέλιον.

X.

Τυρσηνῆς κελάδημα διαπρύσιον σάλπιγγος,
πολλάκι Πισαίων στρηνὸς ὑπὲρ πεδίων

VII. 4. Cod. Vat. Κασπίνης. Fort. Κωρυκίης. 5. Scr. ἱερά τ' ἀγρ.
IX. 3. Cod. σοῖ ἐπι.

T. II. φθεγξαμένης, ὃ πρὶν μὲν ἔχει χρόνος ἐν δυσὶ νίκαις.
εἰ δὲ σὺ καὶ τρισσοὺς ἤγαγες εἰς στεφάνους
ἀστὸς Μίλητον Δημόσθενες, ἦ ποτε κώδων
χάλκεος ἤχησεν πλειοτέρῳ στόματι.

p. 143. XI.

Ἑσπερίῃ Μάρκελλος ἀνερχόμενος πολέμοιο
σκυλοφόρος κραναῆς τέρμα παρ' Ἰταλίης,
ξανθὴν πρῶτον ἔκειρε γενειάδα. βούλετο πατρὶς
οὕτω καὶ πέμψαι παῖδα, καὶ ἄνδρα λαβεῖν.

XII.

Ἠοῖ ἐπ' εὐκταίῃ τάδε ῥέζομεν ἱρὰ τελείῳ
Ζηνὶ, καὶ ὠδίνων μειλίχῳ Ἀρτέμιδι.
τοῖσι γὰρ ὑμὸς ὅμαιμος ἔτ' ἄχνοος εὔξατο θήσειν
τὸ πρῶτον γενύων ἠϊθέοισιν ἔαρ.
δαίμονες ἀλλὰ δέχοισθε, καὶ αὐτίκα τῶνδ' ἀπ' ἰούλων
Εὐκλείδην πολιῆς ἄχρις ἄγοιτε τριχός.

XIII.

Ἥρη Ἐληθυιῶν μῆτερ, Ἥρη τε τελείη,
καὶ Ζεῦ, γινομένοις ξυνὸς ἅπασι πάτερ,
ὠδῖνας νεύσαιτ' Ἀντωνίῃ ἵλαοι ἐλθεῖν
πρηείας, μαλακαῖς χερσὶ σὺν Ἠπιόνης,
ὄφρα κε γηθήσειε πόσις, μήτηρ θ', ἑκυρά τε.
ἡ νηδὺς οἴκων αἷμα φέρει μεγάλων.

XIII. 1. Cod. Ἥρη δὲ τελ.

XIV. T. II.

Βύβλων ἡ γλυκερὴ λυρικῶν ἐν τεύχεϊ τῷδε
πεντὰς, ἀμιμήτων ἔργα φέρει Χαρίτων,
ἃς πρέσβυς ἡδὺς Ανακρέων ὁ Τήϊος
ἔγραψεν ἢ παρ' οἶνον, ἢ σὺν Ιμέροις·
δῶρον δ' εἰς ἱερὴν Αντωνίῃ ἥκομεν ἠῶ,
κάλλευς καὶ πραπίδων ἔξοχ' ἐνεγκαμένῃ.

XV. p. 144.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ
ἀνὴρ τοὺς Μουσέων πάντας ἔσεισε κάλως.
ἀείδει δ' Εκάλης τε φιλοξείνοιο καλιὴν,
καὶ Θησεῖ Μαραθῶν' οὓς ἐπέθηκε πόνους,
τοῦ σοὶ καὶ νεαρὸν χειρῶν σθένος εἴη ἀρέσθαι,
Μάρκελλε, κλεινοῦ τ' αἶνον ἴσον βιότου.

XVI.

Εἰς εἰκόνα Πραξαγόρου ἰατροῦ.

Αὐτός σοι Φοίβοιο πάϊς λαθικηδέα τέχνης
ἰδμοσύνην, πανάκῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο. τοιγὰρ ἀνῖαι
ὔρνυνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν,
καὶ ὁπόσα τμηθέντος ἐπὶ χροὸς ἄρκια θεῖναι
φάρμακα, πρηείης οἶσθα παρ' Ηπιόνης.
θνητοῖσιν δ' εἰ τοῖοι ἐπήρκεον ἰηπῆρες,
οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος.

XVII.

Εἰς εἰκόνα Κρίσπου.

Γείτονες οὐ τρισσαὶ μοῦνον Τύχαι ἔπρεπον εἶναι,
Κρίσπε, βαθυπλούτου σῆς ἕνεκεν κραδίης,

T. II. ἀλλὰ καὶ αἱ πάντων πᾶσαι. τί γὰρ ἀνδρὶ τοσῷδε
ἀρκέσει εἰς ἑτάρων μυρίον εὐφροσύνην;
νῦν δέ σε καὶ τούτων κρέσσων ἐπὶ μεῖζον ἀέξοι
Καῖσαρ. τίς κείνου χωρὶς ἄρηρε Τύχη;

p. 145. XVIII.

Εἰς εἰκόνα Νέρωνος.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα. ἀλλὰ Νέρωνος
ἔργα δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
ἥλιος Ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
κείνου, Γερμανίην δ' εἶδε κατερχόμενος.
δισσὸν ἀειδέσθω πολέμου κράτος· οἶδεν Ἀράξης
καὶ Ῥῆνος, δούλοις ἔθνεσι πινόμενοι.

XIX.

Ἀγχουροι μεγάλαι κόσμου χθόνες, ἃς διὰ Νεῖλος
πιμπλάμενος μελάνων τέμνει ἀπ' Αἰθιόπων,
ἀμφότεραι βασιλῆας ἐκοινώσασθε γάμοισιν,
ἓν γένος Αἰγύπτου καὶ Λιβύης θέμεναι.
ἐκ πατέρων εἴη παισὶν πάλι τοῖσιν ἀνάκτων
ἔμπεδον ἠπείροις σκῆπτρον ἐπ' ἀμφοτέραις.

XX.

Οἵους ἀνθ' οἵων οἰκήτορας, ὦ ἐλεεινή,
εὕρεο. φεῦ μεγάλης Ἑλλάδος ἀμμορίης.
αὐτίκα καὶ πόντου χθαμαλωτέρη εἴθε Κόρινθε
κεῖσθαι, καὶ Λιβυκῆς ψάμμου ἐρημοτέρη,
ἢ τοίοις διὰ πᾶσα παλιμπρήτοισι δοθεῖσα
θλίβειν ἀρχαίων ὀστέα Βακχιαδῶν.

XX. 3. Cod. αὐτίκα καὶ γᾶς ἢ χθαμ. Fort. ὤφελες ἢ πόντου χθ. ε. Κ. κ. ἢ Λ.

XXI.

T. II.

Κὴν μυχὸν Ὀρκυναῖον, ἢ ἐς πύματον Σολόεντα
ἔλθῃ, καὶ Λιβυκῶν κράσπεδον Ἑσπερίδων
Καῖσαρ ὁ πουλυσέβαστος, ἅμα κλέος εἶσιν ἐκείνῳ
πάντῃ. Πυρήνης ὕδατα μαρτύρια.
οἷσι γὰρ οὐδὲ πέριξ δρυτόμοι ἀπεφαιδρύναντο, p. 146.
λουτρὰ καὶ ἠπείρων ἔσσεται ἀμφοτέρων.

XXII.

Τῆς ὄϊος γενεὴ μὲν Ἀραββική, ἔνθα γ' Ἀράξεω
ὕδωρ πιλοφόροις πίνεται Ἀρμενίοις.
χαῖται δ' οὐ μήλων ἅτε που μαλακοῖς ἐπὶ μάλλοις,
ψεδναὶ δ' ἀγροτέρων τρηχύτεραι χιμάρων.
νηδὺς δὲ τριτοκεῖ ἀνὰ πᾶν ἔτος, ἐκ δὲ γάλακτος
θηλὴ ἀεὶ μαστοῦ πλήθεται οὐθατίου·
βληχὴ δ' ἀσσοτάτω τερένης μυκήματι μόσχου.
ἄλλα γὰρ ἀλλοῖαι πάντα φέρουσι γέαι.

XXIII.

Νῆσον, τὴν εἰ κ' οἵ με περιγράψαντες ἔχουσι
μετρῆσαι βαίην, ἑπτὰ μόνον σταδίους,
ἔμπης καὶ τίκτουσαν ἐν αὔλακι πῖαρ ἀρούρης
ὄψει, καὶ παντὸς κάρπιμον ἀκροδρύου,
καὶ πολλαῖς εὔαγρον ἐπ' ἰχθύσι, καί, ὑπὸ μαίρην,
εὐάνεμον, λιμένων δ' ἤπιον ἀτρεμίῃ,
ἀγχόθι Κορκύρης Φαιηκίδος. ἀλλὰ γελᾶσθαι
τῷ ἔπι ὠρίσθην, τοῦτ' ἐθέμην ὄνομα.

XXII. 1. Cod. ἐντὸς A. 3. Cod. μήλοις.

XXIV.

T. II. Πλῶς μοι ἐπ' Ἰταλίην ἐντύνεται, ἐς γὰρ ἑταίρους
στέλλομαι, ὧν ἤδη δηρὸν ἄπειμι χρόνον.
διφέω δ' ἡγητῆρα περίπλοον, ὅς μ' ἐπὶ νήσους
Κυκλάδας, ἀρχαίην τ' ἄξει ἐπὶ Σχερίην.
σύν τι μοι ἀλλά, Μένιππε, λάβε φίλος, ἴστορα κύκλον
γράψας, ὦ πάσης ἴδρι γεωγραφίης.

XXV.

p. 147. Ὀθρυάδην, Σπάρτης τὸ μέγα κλέος, ἢ Κυνέγειρον
ναύμαχον, ἢ πάντων ἔργα κάλει πολέμων.
Αββιος αἰχμητὴς Ἰταλὸς παρὰ χεύμασι Ῥήνου
κλινθεὶς, ἐκ πολλῶν ἡμιθανὴς βελέων,
αἰετὸν ἁρπασθέντα φίλου στρατοῦ ὡς ἴδ' ὑπ' ἐχθροῖς,
αὖτις ἀρηϊφάτων ἄνθορεν ἐκ νεκύων.
κτείνας δ', ὅς σφ' ἐκόμιζεν, ἑοῖς ἀνεσώσατο ταγοῖς,
μοῦνος ἀήττητον δεξάμενος θάνατον.

XXVI.

Αἰγά με τὴν εὔθηλον, ὅσων ἐκένωσεν ἀμολγεὺς
οὔθατα, πασάων πουλυγαλακτοτάτην,
γευσάμενος, μελιηδὲς ἐπεὶ ἐφράσσατο πῖαρ
Καῖσαρ, κἠν νηυσὶ σύμπλοον ἠγάγετο.
ἥξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας· ᾧ γὰρ ἐπέσχον
μαζὸν ἐμὸν, μείων οὐδ' ὅσον Αἰγιόχου.

XXVII.

Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγοτευχέα κύρτον,
ἤλυθεν ἐς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.

αἰεὶ δ' ἐκμελετῶν ἀσπάσμαι Καίσαρα κλεινὸν, T. II.

ἐδ' ἐνὶ ὥρῃ λήθην ἤγαγεν ὀνόματος.

ἔδραμε δ' ἀκύδίδακτος ἅπας οἰωνὸς, ἐρίζων

τίς φθῆναι δύναται δαίμονι ΧΑΙΡ' ἐνέπειν.

Ορφεὺς θῆρας ἔπεισεν ἐν ὤρεσιν· ἀλλά σε, Καῖσαρ,

νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

XXVIII.

p. 148.

Οὔρεα Πυρηναῖα, καὶ αἱ βαθυάγκεες Αλπεις,

αἳ Ρήνε προχοὰς ἐγγὺς ἀποβλέπετε,

μάρτυρες ἀκτίνων, Γερμανικὸς ἃς ἀνέτειλεν,

ἀστράπτων Κελτοῖς πυλὺν ἐνυάλιον.

οἱ δ' ἄρα δυπήθησαν ἀολλέες· εἶπε δ' Ενυὼ

Αρεϊ· Τοιαύταις χερσὶν ὀφειλόμεθα.

XXIX.

Οὐδ' ἢν Ωκεανὸς πᾶσαν πλημμῦραν ἐγείρῃ,

ἐδ' ἢν Γερμανίη Ρῆνον ἅπαντα πίῃ,

Ρώμης ἐδ' ὅσσον βλάψει σθένος, ἄχρι κε μίμνῃ

δεξιὰ σημαίνειν Καίσαρι θαρσαλέη.

ὥτως καὶ ἱεραὶ Ζηνὸς δρύες ἔμπεδα ῥίζαις

ἑςᾶσιν, φύλλων δ' αὖα χέυσ' ἄνεμοι.

XXX.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, ἐδὲ θάλασσαν

ἔπλως, χερσαίας τ' ἐκ ἐπάτησας ὁδὲς,

ἔμπης Κεκροπίης ἐπιβήμεναι, ὄφρ' ἂν ἐκείνας

Δήμητρος μεγάλων νύκτας ἴδῃς ἱερῶν,

XXVIII. 1. Cod. Vat. Πυῤῥηναῖα.

T. II. χθὼν ὦ δυσνύμφευτε, κακοσκήνευς ἐπὶ τέφρῃ
ἀνδρὸς μὴ κούφη κέκλισο, μηδ' ὀλίγη.

XXXVIII.

Καὐτὴ δή ῥ' ἤχλυσεν ἀκρέσπερος ἀντέλλουσα
Μήνη, πένθος ἑὸν νυκτὶ καλυψαμένη,
p. 151. οὕνεκα τὴν χαρίεσσαν ὁμώνυμον εἶδε Σελήνην
ἄπνουν εἰς ζοφερὸν δυομένην Ἀΐδην.
κείνῃ γὰρ καὶ κάλλος ἑοῦ κοινώσατο φωτὸς,
καὶ θάνατον κείνης μῖξεν ἑῷ κνέφεϊ.

XXXIX.

Ποιμὴν ὦ μάκαρ, εἴθε κατ' οὔρεος ἐπροβάτευον
κἠγὼ, ποιηρὸν τοῦτ' ἀνὰ λευκόλοφον,
κριοῖς ἀγητῆρσί ποτε βληχήμενα βάζων,
ἢ πικρῇ βάψαι νήοχα πηδάλια
ἅλμῃ. τοιγὰρ ἔδυν ὑποβένθιος. ἀμφὶ δὲ ταύτην
θῖνά με ῥοιβδήσας Εὖρος ἀπημέσατο.

XL.

Εἰς γυναῖκα δύο τέκνα ἔχουσαν, ὧν τὸ ἓν ἠσθένει, τὸ δ' ἕτερον ὑγιὲς ἦν· τοῦ μὲν ἐν ἀσθενείας ἐγερθέντος, ὁ ὑγιὴς τέθνηκε.

Παίδων ἀλλαχθέντι μόρῳ ἔπι, τοῦτ' ἐλεεινὴ
μήτηρ, ἀμφοτέρους, εἶπε, περισχομένη·
Καὶ νέκυν οὐ σέο, τέκνον, ἐπ' ἤματι τῷδε γοήσειν
ἤλπισα, καὶ ζωοῖς οὐ σε μετεσσόμενον
ὄψεσθαι. νῦν δ' οἱ μὲν ἐς ὑμέας ἠμείφθησαν
δαίμονες· ἄψευστον δ' ἵκετο πένθος ἐμοί.

XXXIX. 2. Fort. τόνδε πρὸς ἀκρόλοφον. 3. Hic verſus deſperatus eſt. 6. Cod. εὖρος ἐφημίσατο.

XLI. T. II.

Εἰς κόρην καλουμένην Πρώτην.

Δειλαίη, τί σε πρῶτον ἔπος, τί δέ σ' ὕστατον εἴπω;
δειλαίη. τοῦτ' ἐν παντὶ κακῷ ἔτυμον.
οἴχεαι, ὦ χαρίεσσα γύναι, καὶ ἐς εἶδεος ὥρην
ἄκρα, καὶ εἰς ψυχῆς ἄνθος ἐνεγκαμένη.
Πρώτη σοι ὄνομ' ἐςὶν ἐτήτυμον· ἦν γὰρ ἅπαντα p. 152.
δεύτερ' ἀμιμήτων τῶν ἐπὶ σοι χαρίτων.

XLII.

Υμνίδα τὴν Εὐάνδρου, ἐράσμιον αἰὲν ἄθυρμα
οἰκογενὲς, κούρην αἱμύλον εἰναέτιν,
ἥρπασας, ὦ ἄλλιτ' Ἀΐδη· τί πρόωρον ἐφιεὶς
μοῖραν τῇ πάντως σεῖό ποτ' ἐσσομένῃ;

XLIII.

Γῆ μου καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
καὶ νέκυν. οὐ κείνης ἧδε χερειοτέρη.
ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μητρὸς
ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
κεῖμαι δὲ ξείνῃ ὑπὸ χερμάδι, μακρὰ γοηθεὶς,
Ἴναχος, εὐπειθὴς Κριναγόρου θεράπων.

XLIV.

Ω δύστην' ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
σκῆπτρα, καὶ αἱ βασιλέων ἄφθονοι εὐτυχίαι,
αἷσιν ἐπῃώρησας ἀεὶ βίον; ἢ ῥ' ἐπὶ Νείλῳ
[κεῖσαι Ἰου] δαίοις ὢν περίοπτος ὅροις.

XLII. 2. Cod. Vat. εἰναίτιν. 3. Id. cod. ἄλις'. Florent. ἄλιτ'. Fort. ἄπλης' A.

XLIV. 4. quae uncis ſunt incluſa, in nullo cod. leguntur.

T. II. φθεγξαμένης, ὃ πρὶν μὲν ἔχει χρόνος ἐν δυσὶ νίκαις.
εἰ δὲ σὺ καὶ τρισσοὺς ἤγαγες εἰς στεφάνους
ἀστὸς Μίλητον Δημόσθενες, οὔ ποτε κώδων
χάλκεος ἤχησεν πλειοτέρῳ στόματι.

p. 143.

XI.

Ἑσπερίη Μάρκελλος ἀνερχόμενος πολέμοιο
σκυλοφόρος κραναῆς τέρμα παρ' Ἰταλίης,
ξανθὴν πρῶτον ἔκειρε γενειάδα. βούλετο πατρὶς
οὕτω καὶ πέμψαι παῖδα, καὶ ἄνδρα λαβεῖν.

XII.

Ἠοῖ ἐπ' εὐκταίῃ τάδε ῥέζομεν ἱρὰ τελείῳ
Ζηνὶ, καὶ ὠδίνων μειλίχῳ Ἀρτέμιδι.
τοῖσι γὰρ ὑμὸς ὕμαιμος ἔτ' ἄχνοος εὔξατο θήσειν
τὸ πρῶτον γενύων ἠϊθέοισιν ἔαρ.
δαίμονες ἀλλὰ δέχοισθε, καὶ αὐτίκα τῶνδ' ἀπ' ἰούλων
Εὐκλείδην πολιῆς ἄχρις ἄγοιτε τριχός.

XIII.

Ἥρη Ἐληθυιῶν μῆτερ, Ἥρη τε τελείη,
καὶ Ζεῦ, γινομένοις ξυνὸς ἅπασι πάτερ,
ὠδῖνας νεύσαιτ' Ἀντωνίῃ ἵλαοι ἐλθεῖν
πρηείας, μαλακαῖς χερσὶ σὺν Ἠπιόνης,
ὄφρα κε γηθήσειε πόσις, μήτηρ θ', ἑκυρά τε.
ἡ νηδὺς οἴκων αἷμα φέρει μεγάλων.

XIII. 1. Cod. Ἥρη δὲ τελ.

XIV.

T. II.

Βύβλων ἡ γλυκερὴ λυρικῶν ἐν τεύχεϊ τῷδε
πεντὰς, ἀμιμήτων ἔργα φέρει Χαρίτων,
ἃς πρέσβυς ἡδὺς Ανακρέων ὁ Τήϊος
ἔγραψεν ἢ παρ' οἶνον, ἢ σὺν Ιμέροις·
δῶρον δ' εἰς ἱερὴν Αντωνίῃ ἥκομεν ἠῶ,
κάλλευς καὶ πραπίδων ἔξοχ' ἐνεγκαμένῃ.

XV.

p. 144.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ
ἀνὴρ τοὺς Μουσέων πάντας ἔσεισε κάλως.
ἀείδει δ' Εκάλης τε φιλοξείνοιο καλιὴν,
καὶ Θησεῖ Μαραθὼν οὓς ἐπέθηκε πόνους,
τοῦ σοὶ καὶ νεαρὸν χειρῶν σθένος εἴη ἀρέσθαι,
Μάρκελλε, κλεινοῦ τ' αἶνον ἴσον βιότου.

XVI.

Εἰς εἰκόνα Πραξαγόρου ἰατροῦ.

Αὐτός σοι Φοίβοιο πάϊς λαθικηδέα τέχνης
ἰδμοσύνην, πανάκῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο. τοιγὰρ ἀνῖαι
εὐνῶνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν,
καὶ ὁπόσα τμηθέντος ἐπὶ χροὸς ἄρκια θεῖναι
φάρμακα, πρηείης οἶσθα παρ' Ηπιόνης.
θνητοῖσιν δ' εἰ τοῖοι ἐπήρκεον ἰητῆρες,
οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος.

XVII.

Εἰς εἰκόνα Κρίσπου.

Γείτονες οὐ τρισσαὶ μοῦνον Τύχαι ἔπρεπον εἶναι,
Κρίσπε, βαθυπλούτου σῆς ἕνεκεν κραδίης,

T. II. ἀλλὰ καὶ αἱ πάντων πᾶσαι. τί γὰρ ἀνδρὶ τοσῷδε
ἀρκέσει εἰς ἑτέρων μυρίον εὐφροσύνην;
νῦν δέ σε καὶ τούτων κρέσσων ἐπὶ μεῖζον ἀέξοι
Καῖσαρ. τίς κείνου χωρὶς ἄρηρε Τύχη;

p. 145.

XVIII.

Εἰς εἰκόνα Νέρωνος.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα. ἀλλὰ Νέρωνος
ἔργα δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
ἥλιος Ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
κείνου, Γερμανίην δ' εἶδε κατερχόμενος.
δισσὸν ἀειδέσθω πολέμου κράτος· οἶδεν Ἀράξης
καὶ Ῥῆνος, δούλοις ἔθνεσι πινόμενοι.

XIX.

Ἄγχουροι μεγάλαι κόσμου χθόνες, ἃς διὰ Νεῖλος
πιμπλάμενος μελάνων τέμνει ἀπ' Αἰθιόπων,
ἀμφότεραι βασιλῆας ἐκοινώσασθε γάμοισιν,
ἓν γένος Αἰγύπτου καὶ Λιβύης θέμεναι.
ἐκ πατέρων εἴη παισὶν πάλι τοῖσιν ἀνάκτων
ἔμπεδον ἠπείροις σκῆπτρον ἐπ' ἀμφοτέραις.

XX.

Οἵους ἀνθ' οἵων οἰκήτορας, ὦ ἐλεεινή,
εὕραο. φεῦ μεγάλης Ἑλλάδος ἀμμορίης.
αὐτίκα καὶ πόντου χθαμαλωτέρη εἴθε Κόρινθε
κεῖσθαι, καὶ Λιβυκῆς ψάμμου ἐρημοτέρη,
ἢ τοίοις διὰ πᾶσα παλιμπρήτοισι δοθεῖσα
θλίβειν ἀρχαίων ὀστέα Βακχιαδῶν.

XX. 3. Cod. αὐτίκα καὶ γᾶς ἡ χθαμ. Fort. ὤφελες ἢ πόντου χθ. ε. Κ. κ. ἢ Λ.

T. II.

XXI.

Κῆν μυχὸν Ὀρκυναῖον, ἢ ἐς πύματον Σολόεντα
ἔλθῃ, καὶ Λιβυκῶν κράσπεδον Ἑσπερίδων
Καῖσαρ ὁ πουλυσέβαστος, ἅμα κλέος εἶσιν ἐκείνῳ
πάντῃ. Πυρήνης ὕδατα μαρτύρια.
οἷσι γὰρ οὐδὲ πέριξ δρυτόμοι ἀπεφαιδρύναντο, p. 146.
λουτρὰ καὶ ἠπείρων ἔσσεται ἀμφοτέρων.

XXII.

Τῆς ὄϊος γενεὴ μὲν Ἀγαῤῥικὴ, ἔνθα γ' Ἀράξεω
ὕδωρ πιλοφόροις πίνεται Ἀρμενίοις.
χαῖται δ' οὐ μήλων ἅτε που μαλακοῖς ἐπὶ μάλλοις,
ψεδναὶ δ' ἀγροτέρων τρηχύτεραι χιμάρων.
νηδὺς δὲ τριτοκεῖ ἀνὰ πᾶν ἔτος, ἐκ δὲ γάλακτος
θηλὴ ἀεὶ μαστοῦ πλήθεται οὐθατίου·
βληχὴ δ' ἀσσοτάτω τερένης μυκήματι μόσχου.
ἄλλα γὰρ ἀλλοῖαι πάντα φέρουσι γέαι.

XXIII.

Νῆσον, τὴν εἰ χ' οἵ με περιγράψαντες ἔχουσι
μετρῆσαι βαιὴν, ἑπτὰ μόνον σταδίους,
ἔμπης καὶ τίκτουσαν ἐν αὔλακι πῖαρ ἀρούρης
ὄψει, καὶ παντὸς κάρπιμον ἀκροδρύου,
καὶ πολλοῖς εὔαγρον ἐπ' ἰχθύσι, καὶ, ὑπὸ μαίρην,
εὐάνεμον, λιμένων δ' ἤπιον ἀτρεμίῃ,
ἀγχόθι Κορκύρης Φαιηκίδος. ἀλλὰ γελᾶσθαι
τῷ ἔπι ἀρίσθην, τοῦτ' ἐθέμην ὄνομα.

XXII. 1. Cod. ἔνθα A. 3. Cod. μήλοις.

T. II.

XXIV.

Πλῶς μοι ἐπ' Ἰταλίην ἐντύνεται, ἐς γὰρ ἑταίρους
στέλλομαι, ὧν ἤδη δηρὸν ἄπειμι χρόνον.
διφέω δ' ἡγητῆρα περίπλοον, ὅς μ' ἐπὶ νήσους
Κυκλάδας, ἀρχαίην τ' ἄξει ἐπὶ Σχερίην.
σύν τι μοι ἀλλὰ, Μένιππε, λάβε φίλος, ἱστορα κύκλον
γράψας, ὦ πάσης ἴδρι γεωγραφίης.

p. 147.

XXV.

Ὀθρυάδην, Σπάρτης τὸ μέγα κλέος, ἢ Κυνέγειρον
ναύμαχον, ἢ πάντων ἔργα κάλει πολέμων.
Ἄῤῥιος αἰχμητὴς Ἰταλὸς παρὰ χεύμασι Ῥήνου
κλινθεὶς, ἐκ πολλῶν ἡμιθανὴς βελέων,
αἰετὸν ἁρπασθέντα φίλου στρατοῦ ὡς ἴδ' ὑπ' ἐχθροῖς,
αὖτις ἀρηϊφάτων ἄνθορεν ἐκ νεκύων.
κτείνας δ', ὅς σφ' ἐκόμιζεν, ἑοῖς ἀνεσώσατο ταγοῖς,
μοῦνος ἀήττητον δεξάμενος θάνατον.

XXVI.

Αἰγά με τὴν εὔθηλον, ὅσων ἐκένωσεν ἀμολγεὺς
οὔθατα, πασάων πουλυγαλακτοτάτην,
γευσάμενος, μελιηδὲς ἐπεὶ ἐφράσσατο πῖαρ
Καῖσαρ, κὴν νηυσὶ σύμπλοον ἠγάγετο.
ἥξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας· ᾧ γὰρ ἐπέσχον
μαζὸν ἐμὸν, μείων οὐδ' ὅσον Αἰγιόχου.

XXVII.

Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγοτευχέα κύρτον,
ἦλθεν ἐς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.

αἰεὶ δ' ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινὸν, T. II.

οὐδ' ἐνὶ ὕρη λήθην ἤγαγεν οὐνόματος.

ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς, ἐρίζων

τίς φθῆναι δύναται δαίμονι ΧΑΙΡ' ἐνέπειν.

Ορφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν· ἀλλά σε, Καῖσαρ,

νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

XXVIII. p. 148.

Οὔρεα Πυρηναῖα, καὶ αἱ βαθυάγκεες Αλπεις,

αἳ Ρήνου προχοὰς ἐγγὺς ἀποβλέπετε,

μάρτυρες ἀκτίνων, Γερμανικὸς ἃς ἀνέτειλεν,

ἀστράπτων Κελτοῖς πουλὺν ἐνυάλιον.

οἱ δ' ἄρα δουπήθησαν ἀολλέες· εἶπε δ' Ενυὼ

Αρεϊ· Τοιαύταις χερσὶν ὀφειλόμεθα.

XXIX.

Οὐδ' ἢν Ωκεανὸς πᾶσαν πλημμῦραν ἐγείρῃ,

οὐδ' ἢν Γερμανίη Ρῆνον ἅπαντα πίῃ,

Ρώμης οὐδ' ὅσσον βλάψει σθένος, ἄχρι κε μίμνῃ

δεξιὰ σημαίνειν Καίσαρι θαρσαλέη.

οὕτως καὶ ἱεραὶ Ζηνὸς δρύες ἔμπεδα ῥίζαις

ἑστᾶσιν, φύλλων δ' αὖα χέουσ' ἄνεμοι.

XXX.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν

ἔπλως, χερσαίας τ' οὐκ ἐπάτησας ὁδοὺς,

ἔμπης Κεκροπίης ἐπιβήμεναι, ὄφρ' ἂν ἐκείνας

Δήμητρος μεγάλων νύκτας ἴδῃς ἱερῶν,

XXVIII. 1. Cod. Vat. Πυῤῥηναῖα.

T. II. τῶν ἄπο κὴν ζωοῦσιν ἀκηδέα, κεὖτ' ἂν ἵκηαι
ἐς πλεόνων, ἕξεις θυμὸν ἐλαφρότερον.

XXXI.

Λῶπος ἐκκλύζουσα παρὰ κροκάλαισι θαλάσσης
χερνῆτις, διεροῦ τυτθὸν ὕπερθε πάγου,
χέρσον ἐπεκβαίνοντι κατασπασθεῖσα κλύδωνι,
δειλαίη πικροῦ κῦμ' ἔπιεν θανάτου·
p. 149. πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηῒ
θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

XXXII.

Ἔρδοι τὴν ἔμαθέν τις, ὅπου καὶ ὑπ' Ἄλπιας ἄκρας
ληϊσταὶ λασίαις ἀμφίκομοι κεφαλαῖς,
φωρῆς ἁπτόμενοι, φύλακας κύνας οὐδ' ἀλέονται.
χρίονται νεφροῖς πῖαρ ἄπεστι νόσου,
ψευδόμενοι ῥινῶν ὀξὺν στίβον. ὦ κακὸν εὑρεῖν
ῥηΐτεραι Λιγύων μήτιες, ἢ ἀγαθόν.

XXXIII.

Ἄχρι τεῦ, ἆ δείλαιε, κεναῖς ἐπὶ ἐλπίσι, θυμὲ,
πωτηθεὶς ψυχρῶν ἀσσοτάτω νεφέων,
ἄλλοις ἄλλ' ἐπ' ὄνειρα διαγράψεις ἀφένοιο;
κτητὸν γὰρ θνητοῖς οὐδὲ ἓν αὐτόματον.
Μουσέων ἀλλ' ἐπὶ δῶρα μετέρχεο· ταῦτα δ' ἀμυδρὰ
εἴδωλα ψυχῆς ἠλεμάτοισι μέθες.

XXXIV.

Μὴ εἴπῃς θάνατον βιότου ὅρον· εἰσὶ καμοῦσιν,
ὡς ζωοῖς, ἀρχαὶ συμφορέων ἕτεραι.

ἄθρει Νικίεω Κῴου μόρον· ἤδη ἔκειτο T. II.
εἰν Ἀΐδῃ· νεκρὸς δ' ἦλθεν ὑπ' ἠέλιον.
ἀστοὶ γὰρ τύμβοιο μετοχλίσσαντες ὀχῆας,
εἴρυσαν ἐς ποινὰς τλήμονα δυσθανέα.

XXXV.

p. 150.

Βρέγμα πάλαι λαχναῖον, ἐρημαῖόν τε κέλυφος
ὄμματος, ἀγλώσσου θ' ἁρμονίη στόματος,
ψυχῆς ἀσθενὲς ἕρκος, ἀτυμβεύτου θανάτοιο
λείψανον, εἰνόδιον δάκρυ παρερχομένων,
κεῖσο πέλας σὺ κατὰ πρέμνοιο παρ' ἀτραπὸν, ὄφρα
ἀθρήσῃς τί πλέον φειδομένῳ βιότου.

XXXVI.

Εἰ καὶ τὸ σῆμα λυγδίνης ἀπὸ πλακὸς,
καὶ ξεστὸν ὀρθῇ λαοτέκτονος στάθμῃ,
οὐκ ἀνδρὸς ἐσθλοῦ. μὴ λίθῳ τεκμαίρεο,
ὦ λῷστε, τὸν θανόντα. κωφὸν ἡ λίθος,
τῇ καὶ ζοφώδης ἀμφιέννυται νέκυς.
κεῖται δὲ τῇδε τὐλιγηπελὲς ῥάκος
Εὐνικίδαο, σήπεται θ' ὑπὸ σποδῷ.

XXXVII.

Τήνδ' ὑπὸ δύσβωλον θλίβει χθόνα φωτὸς ἀλιτροῦ
ὀστέα μισητῆς τύμβος ὑπὲρ κεφαλῆς,
στέρνα τε πλεῖα δόλοιο, καὶ οὐκ εὔοδμον ὀδόντων
πρίονα, καὶ κώλων δούλιον οἰοπέδην,
ἄτριχα καὶ κόρσην, Εὐνικίδου ἡμιπύρωτα
λείψαν', ἔτι χλωρῆς ἔμπλεα τηκεδόνος.

T. II. χθὼν ὦ δυσνύμφευτε, κακοσκήνευς ἐπὶ τέφρῃ
ἀνδρὸς μὴ κούφη κέκλισο, μηδ' ὀλίγη.

XXXVIII.

Καὐτὴ δή ῥ' ἤχλυσεν ἀκρέσπερος ἀντέλλουσα
Μήνη, πένθος ἑὸν νυκτὶ καλυψαμένη,
p. 151. οὕνεκα τὴν χαρίεσσαν ὁμώνυμον εἶδε Σελήνην
ἄπνουν εἰς ζοφερὸν δυομένην Ἀΐδην.
κείνῃ γὰρ καὶ κάλλος ἑοῦ κοινώσατο φωτὸς,
καὶ θάνατον κείνης μίξεν ἑῷ κνέφεϊ.

XXXIX.

Ποιμὴν ὦ μάκαρ, εἴθε κατ' οὔρεος ἐπροβάτευον
κἠγὼ, ποιηρὸν τοῦτ' ἀνὰ λευκόλοφον,
κριοῖς ἀγητῆρσί ποτε βληχήμενα βάζων,
ἢ πικρῇ βάψαι νήοχα πηδάλια
ἅλμῃ. τοιγὰρ ἔδυν ὑποβένθιος. ἀμφὶ δὲ ταύτην
θῖνά με ῥοιβδήσας Εὖρος ἀπημέσατο.

XL.

Εἰς γυναῖκα δύο τέκνα ἔχουσαν, ὧν τὸ ἓν ἠσθένει, τὸ δ' ἕτερον ὑγιὲς ἦν· τοῦ μὲν ὄντος ἀσθενοῦς ἐγερθέντος, ὁ ὑγιὴς τέθνηκε.

Παίδων ἀλλαχθέντι μόρῳ ἔπι, τοῦτ' ἐλεεινὴ
μήτηρ, ἀμφοτέρους, εἶπε, περισχομένη·
Καὶ νέκυν οὐ σέο, τέκνον, ἐπ' ἤματι τῷδε γοήσειν
ἤλπισα, καὶ ζωοῖς οὔ σε μετεσσόμενον
ὄψεσθαι. νῦν δ' οἱ μὲν ἐς ὑμέας ἠμείφθησαν
δαίμονες· ἄψευστον δ' ἵκετο πένθος ἐμοί.

XXXIX. 2. Fort. τόνδε πρὸς ἀκρόλοφον. 3. Hic verſus deſperatus eſt. 6. Cod. εὖρος ἐφημίσατο.

XLI. T. II.

Εἰς κόρην καλουμένην Πρώτην.

Δειλαίη, τί σε πρῶτον ἔπος, τί δέ σ' ὕστατον εἴπω;
δειλαίη. τοῦτ' ἐν παντὶ κακῷ ἔτυμον.
οἴχεαι, ὦ χαρίεσσα γύναι, καὶ ἐς εἴδεος ὥρην
ἄκρα, καὶ εἰς ψυχῆς ἄνθος ἐνεγκαμένη.
Πρώτη σοι οὔνομ' ἐστὶν ἐτήτυμον· ἦν γὰρ ἅπαντα p. 152.
δεύτερ' ἀμιμήτων τῶν ἐπί σοι χαρίτων.

XLII.

Ὑμνίδα τὴν Εὐάνδρου, ἐράσμιον αἰὲν ἄθυρμα
οἰκογενὲς, κούρην αἱμύλον εἰναέτιν,
ἥρπασας, ὦ ἄλλιστ' Ἀΐδη· τί πρόωρον ἐφιεὶς
μοῖραν τῇ πάντως σεῖό ποτ' ἐσσομένῃ;

XLIII.

Γῆ μευ καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
καὶ νέκυν. οὐ κείνης ἥδε χερειοτέρη.
ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μητρὸς
ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
κεῖμαι δὲ ξείνῃ ὑπὸ χερμάδι, μακρὰ γοηθεὶς,
Ιναχος, εὐπειθὴς Κριναγόρου θεράπων.

XLIV.

Ὦ δύστην' ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
σκῆπτρα, καὶ αἱ βασιλέων ἄφθονοι εὐτυχίαι,
αἷσιν ἐπῃώρησας ἀεὶ βίον; ἦ ῥ' ἐπὶ Νείλῳ
[κεῖσαι Ἰου] δαίοις ὢν περίοπτος ὅροις.

XLII. 2. Cod. Vat. εἰναίτιν. 3. Id. cod. ἄλιστ'. Florent. ἄληστ'. Fort. ἄπληστ' A.

XLIV. 4. quae uncis ſunt incluſa, in nullo cod. leguntur.

T. II. ὀθνεῖοι καμάτους τοὺς σοὺς διεμοιρήσαντο,
σοὺς δὲ νέκυς ψαφαρῇ κείσετ' ἐν ὀστρακίνῃ.

XLV.

Δείλαιοι, τί κενοῖσιν ἀλώμεθα θαρσήσαντες
ἐλπίσιν, ἀτηροῦ ληθόμενοι θανάτου;
ἦν ὅδε καὶ μύθοισι καὶ ἤθεσι πάντα Σέλευκος
ἄρτιος, ἀλλ' ἥβης βαιὸν ἐπαυρόμενος.
p. 153. ὑστατίοις ἐν Ἴβηρσι, τόσον δίχα τηλόθι Λέσβου,
κεῖται ἀμετρήτων ξεῖνος ἐπ' αἰγιαλῶν.

XLVI.

Ἠρνήσαντο καὶ ἄλλαι ἑὸν πάρος οὔνομα νῆσοι
ἀκλεὲς, εἰς δ' ἀνδρῶν ἦλθον ὁμωνυμίην.
κληθείητε καὶ ὔμμες ΕΡΩΤΙΔΕΣ. οὐ νέμεσίς τοι
ἥξει τοιαύτην κλῆσιν ἀμειψαμέναις.
παιδὶ γὰρ, ὃν τύμβῳ δίης ὑπεθήκατε βώλου,
οὔνομα καὶ μορφὴν αὐτὸς ἔδωκεν ΕΡΩΣ.
ὦ χθὼν σηματόεσσα, καὶ ἡ παρὰ θινὶ θάλασσα,
παιδὶ σὺ μὲν κούφη κεῖσο, σὺ δ' ἡσυχίη.

Lect. p. 164. XLVII.

Θάρσει, καὶ τέτταρσι διαπλασθέντα προσώποις
μύθων καὶ τύπων γράψαι ἐνὶ πλέοσιν·
οὔτε σο γὰρ λείψουσι Φιλωνίδι οὔτε Βαθύλλου
τὸν μὲν, ἀοιδάων, τὸν δὲ χορὸν χάριτες.

XLVII. 2. Scr. μύθων κ. τ. γράψον ἔτι π. 3. Scr. Φιλωνίδα ε. Βαθύλλου. 4. Scr. χεροῖν χάριτες.

ΒΙΑΝΟΡΟΣ

T.II. p. 154.

ΒΙΘΥΝΟΥ.

I.

Ἔστησεν Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,
καὶ τὸν ἀπολλυμένῳ σύνδρομον νηξάμενον
εἰνάλιον δελφῖνα· λέγει δ' ὁ 'π' Ἀρίονι μῦθος·
Κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

II.

Ἀκταίην παρὰ θῖνα, διαυγέος ἔνδοθεν ἅλμης
ἰχθὺν πουλυπόδην ἔδρακεν ἰχθυβόλος·
νηχομένῳ δ' ἐπόρουσε καὶ ἐξ ἁλὸς ἧκ' ἐπὶ χέρσον
ἁρπάγδην, ἄγρης δεσμὸν ὑποφθάμενος.
αὐτὰρ ὁ δισκευθεὶς κατακαίριος ἔμπεσε δειλῷ
πτωκὶ παχυσχοίνῳ· κεῖτο γὰρ ὑπναλέος·
τὸν δὲ χυθεὶς περὶ πάντα πεδήσατο, φωτὶ δ' ὑπ' ἄγρῃ
ἐμβυθίην, ἄγρη χερσόθεν ἠντίασε.

III.

Καύματος, ἐν θάμνοισι λαλίστατος ἡνίκα τέττιξ
φθέγξατο διγλώσσῳ μελπόμενος στόματι,
δυνακόεντα Κρίτων συνθεὶς δόλον, εἷλεν ἀοιδὸν
ἠέρος, οὐκ ἰδίην ἐξοβολῶν μελέτην.
ἄξια δ' οὐχ ὁσίης θήρης πάθεν· οὐ γὰρ ἔτ' ἄλλων p. 155.
πήξατ' ἐπ' ὀρνίθων εὔστοχον, ὡς πρίν, ἄγρην.

II. 6. Fort. πτ. δασυκνήμῳ.

T. II. IV.

Κερφαλέος δίψει Φοίβου λάτρις εὖτε γυναικὸς
εἶδεν ὑπὲρ τύμβου κρώσσιον ὀμβροδόκον,
κλάγξεν ὑπὲρ χείλους, ἀλλ' οὐ γένυς ἥπτετο βυσσοῦ·
Φοῖβε, σὺ δ' εἰς τέχνην ὄρνιν ἐκαιρομάνεις.
χερμάδας ἐκ ψάμμων αἴρων ποθὲν, ἄρπαγι χείλει
ἔφθακ' ἀνιμάσσων λαοτίνακτον ὕδωρ.

V.

Λάρνακα, πατρῴων ἔτι λείψανα κοιμίζουσαν
νεκρῶν, χειμάρρῳ παῖς ἴδε συρομένην·
καί μιν ἄχος τόλμης ἐπλήσατο, χεῦμα δ' ἀναιδὲς
εἰσέθορεν, πικρὴν δ' ἦλθ' ἐπὶ συμμαχίην.
ὀστέα μὲν γὰρ ἔσωσεν ἀφ' ὕδατος, ἀντὶ δὲ τούτων
αὐτὸς ὑπὸ βλοσυροῦ χεύματος ἐφθάνετο.

VI.

Οὗτος ὁ μηδὲν, ὁ λιτὸς, ὁ καὶ λάτρις οὗτος, ὁρᾶτε,
ἐστὶ τίνος ψυχῆς κύριος; ἀλλοτρίης.

VII.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ' ἐπὶ παιδὶ
νηπιάχῳ Ζεφύρου πολλὸν ἐλαφρότερος·
φείσατο κουροσύνης καὶ ἐρείπιον. ὦ μεγάλαυχοι
μητέρες, ὠδίνων καὶ λίθος αἰσθάνεται.

p. 156. VIII.

Φῶρες ὅτ' εἰνάλιοι Τυρσηνίδος ἀγχόθι δίνης
φορμικτὰν ἀκάτου θῆκαν ὑπερβύθιον,

IV. 5. Cod. χερμάδα δὲ ψαλμῶν σφαῖρεν ποτὸν α. χ. ἔφθανε μαι-μάσσων.

αὐτίκα μιν κιθάρῃ λιγυαχέϊ δέξατο δελφὶν T. II.
σύνθροον, ἐκ δὲ βυθοῦ νήχεθ' ἑλισσόμενος,
μέχρις ἐπ' Ἰσθμὸν ἔκελσε Κορίνθιον. ἦ ῥα θάλασσα
ἰχθῦς ἀνθρώπων εἶχε δικαιοτέρους.

IX.

Τὸ σκάφος ὁ βυθὸς εἷλε. πόθεν βυθός; οὐ γὰρ ἔπλωσεν.
οὐδὲ Νότος. πρὸ Νότου δ' ὤλετο καὶ πελάγευς.
ἤδη γάρ μιν ἅπασαν ἐπὶ ζυγὰ γομφωθεῖσαν
ἤλειφον πεύκης τῇ λιπαρῇ νοτίδι·
πίσσα δ' ὑπερβρασθεῖσα πυρὸς φλογὶ τὴν ἁλὶ πιστὴν
τευχομένην, γαίῃ δεῖξεν ἀπιστοτέρην.

X.

Ἀγγελίην παρὰ Ζηνὸς ἐπεὶ φέρεν ἠεροδίνης
αἰετὸς, οἰωνῶν μοῦνος ἀνουράνιος,
οὐκ ἔφθη τὸν Κρῆτα, θοὴν δ' ἐπετείνατο νευρήν·
πτηνὸν δ' ὁ πτερόεις ἰὸς ἐληΐσατο.
Ζηνὸς δ' οὔτι Δίκην ἔλαθεν μόνος. ἔμπεσε δ' ὄρνις
ἀνδρὶ, τὰ δ' εὐστοχίης ἀνταπέτισε βέλη.
αὐχένι δ' ἰὸν ἔπηξεν, ὃν ἤπατι κοίμισεν αὐτός·
ἓν δὲ βέλος δισσῶν αἷμ' ἔπιεν θανάτων.

XI.

Πῶλον, τὸν πεδίων, ἀλλ' οὐχ ἁλὸς ἱππευτῆρα,
νηὶ διαπλώειν πόντον ἀναινόμενον,
μὴ θάμβει χρεμέθοντα, καὶ ἐν ποσὶ λὰξ πατέοντα p. 157.
τοίχους, καὶ θυμῷ δεσμὰ βιαζόμενον.
ἄχθεται εἰ φόρτου μέρος ἔρχεται. οὐ γὰρ ἐπ' ἄλλοις
κεῖσθαι τὸν πάντων ἔπρεπεν ὠκύτατον.

T. II.

XII.

Σάρδιες αἱ τοπάλαι Γύγου πόλις, αἵ τ' Ἀλυάττου
Σάρδιες, αἷς βασίλει Περσὶς ἐν Ἀσιάδι,
αἱ χρυσῷ τὸ παλαιὸν ἐπλινθώσασθε μέλαθρον,
ὄλβον Πακτωλοῦ ῥεύματι δεξάμεναι·
νῦν δὲ ὅλαι δύστηνοι ἐς ἓν κακὸν ἁρπασθεῖσαι,
ἐς βυθὸν ἐξ ἀχανοῦς χάσματος ἠρίπετε.
Βοῦρα κ' ἴσ' Ἑλίκῃ κεκλυσμένα· αἱ δ' ἐνὶ χέρσῳ
Σάρδιες ἐμβυθίαις εἰς ἓν ἵκεσθε τέλος.

XIII.

Ἁ Μακέτις σε κέκευθε τάφου κόνις· ἀλλὰ πυρωθεὶς
Ζανὶ κεραυνείῳ, γαῖαν ἀπημφιάσω.
τρὶς γὰρ ἐπαστράψας Εὐριπίδῃ ἐκ Διὸς αἰθὴρ
ἥγνισε τὰν θνατὰν σήματος ἱστορίαν.

XIV.

Ἰχθύσι καὶ ποταμῷ Κλειτώνυμον ἐχθρὸς ὅμιλος
ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
ἀλλὰ Δίκη μιν ἔθαψεν· ἀποσπασθεῖσα γὰρ ὄχθη
πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέρισε.
κεῖται δ' οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένη δὲ
Γῆ κεύθει τὸν ἑῆς ὅρμον ἐλευθερίης.

p. 158.

XV.

Κῦρον ἀποπλανίην ἐπιμάζιον Ἑρμώνακτα,
φεῦ, βρέφος ὡς ἀδίκως εἵλετε βουγενέες.

ἠγνοίη-

XII. 2. Cod. Σ. αἱ β. 3. Cod. Vat. χρυσῷ. 7. Cod. Βοῦρα καὶ εἰς Ἑλίκην κεκλυσμένα.

XIII. 2. Vat. Cod. γαῖαν ἀπηχθιάσας.

ἠγνοίησεν ὁ δειλὸς ἐς ὑμέας οἷα μελίσσας T. II.
ἐλθών· αἱ δ' ἐχέων ἦτε χερειότεραι.
ἀντὶ δὲ οἱ θοίνης ἐνεμάξατε φοίνια κέντρα,
ὦ πικραὶ, γλυκερῆς ἀντίπαλοι χάριτος.

XVI.

Πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὔτως
Ἄτταλον; οὐ σὸς ἔην, κἂν θάνε γηραλέος;

XVII.

Ὕστατον ἐθρήνησε τὸν ὠκύμορον Κλεαρίστη
παῖδα, καὶ ἀμφὶ τάφῳ μικρὸν ἔπαυσε βίον.
κωκύσασα γὰρ ὅσσον ἐχάνδανε μητρὸς ἀνίη,
οὐκ ἔτ' ἐπιστρέψαι πνεύματος ἔσχε τόνους.
θηλύτεραι, τί τοσοῦτον ἐμετρήσασθε τάλαιναι
θρῆνον, ἵνα κλαύσητ' ἄχρι καὶ εἰς Ἀΐδεω;

XVIII.

Οἰδίποδος παίδων Θήβη τάφος· ἀλλ' ὁ πανώλης
τύμβος ἔτι ζώντων αἰσθάνεται πολέμων.
κείνους οὔτ' Ἀΐδης ἐδαμάσσατο, κὴν Ἀχέροντι
μάρνανται· κείνων χὠ τάφος ἀντίπαλος,
καὶ πυρὶ πῦρ ἤλεγξαν ἐναντίον. ὦ ἐλεεινοὶ
παῖδες, ἀκοιμήτων ἁψάμενοι δοράτων.

XIX. p. 159.

Θειονόης ἔκλαιον ἐμῆς μόρον, ἀλλ' ἐπὶ παιδὸς
ἐλπίσι κουφοτέρας ἔστενον εἰς ὀδύνας.

XV. 5. Cod. Vat. ἐναιμάξατε.
XIX. 1. Vat. Cod. ἐμῆς γάμον, ſed ſupra correctum μόρον.

T. II. νῦν δ' ἐμὲ καὶ παιδὸς φθονερή τις ἐνόσφισε Μοῖρα.
φεῦ, βρέφος ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
Φερσεφόνη, τό γε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον,
θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.

ΓΕΡΜΑΝΙΚΟΥ ΚΑΙΣΑΡΟΣ.

Εἰς λαγωὸν ὑπὸ κυνῶν διωκόμενον, ὃν ἐμπεσόντα εἰς θάλασσαν ἥρπασε κύων θαλάσσιος.

Ἐκ κυνὸς εἷλε κύων με. τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
ὑγροὶ καὶ πεζοὶ θυμὸν ἔχουσιν ἕνα.
αἰθέρα λοιπὸν ἔχοιτε λαγοὶ βατόν. ἀλλὰ φοβοῦμαι,
Οὐρανέ· καὶ σὺ φέρεις ἀστερόεντα κύνα.

---

p. 169. ΛΟΛΛΙΟΥ ΒΑΣΣΟΥ.

I.

Οὐ μέλλω ῥεύσειν χρυσός ποτε· βοῦς δὲ γένοιτε
ἄλλος, ἢ μελίθρους κύκνος ἐπηόνιος.
Ζηνὶ φυλασσέσθω τάδε παίγνια· τῇ δὲ Κορίννῃ
τοὺς ὀβολοὺς δώσω τοὺς δύο, κοὐ πέτομαι.

II.

Ἡ πολιὴ κροτάφοισι Κοτύτταρις, ἡ πολύμυθος
γραῖα, δι' ἣν Νέστωρ οὐκ ἔτι πρεσβύτατος,

XIX. 4. Scr. καὶ σὺ λειπομένα.

ἢ φάος ἀθρήσασ' ἐλάφου πλέον, ἢ χερὶ λαιῇ T. II.
γῆρας ἀριθμεῖσθαι δεύτερον ἀρξαμένη,
ζώει καὶ λεύσσουσα καὶ ἄρτιπος, οἷά τε νύμφη,
ὥστε με διστάζειν μή τι πέπονθ' Ἀΐδης.

III.

Τὴν δύσκωφον γραῖαν, Ὀνήσιμε, πρὸς Διός, ἔξω
ἔκβαλε. πολλὰ λίην πράγματά μοι παρέχει.
ἣν αὐτῇ τυροὺς ἁπαλοὺς εἴπωμεν ἐνέγκαι,
οὐ τυρούς, πυροὺς δ' ἔρχετ' ἔχουσα νέους.
πρώην τὴν κεφαλὴν ἐπόνουν, καὶ πήγανον αὐτὴν
ᾔτουν· ἡ δ' ἔφερε τήγανον ὀστράκινον.
ἣν ὄπον αἰτήσω, δοκὸν εἰσφέρει. ἂν, Λάχανόν μοι, p. 161.
εἴπω, δὸς, πεινῶν, εὐθὺ φέρει λάσανον.
ὄξος ἂν αἰτήσω, τόξον φέρει· ἂν δέ γε τόξον,
ὄξος· ὅλως δ' ὃ λέγω, οὔποτ' ἐπαισθάνεται.
αἰσχρὸν τῆς γραός με χάριν κήρυκα γενέσθαι,
καὶ μελετᾶν ἔξω, νυκτὸς ἐγειρόμενον.

IV.

Ἄρρηκτοι Μοιρῶν πυμάτην ἐσφράγισαν ὅρκοι
τῷ Φρυγὶ πὰρ βωμῷ τὴν Πριάμου θυσίην.
ἀλλὰ σοί, Αἰνεία, στόλος ἱερὸς Ἰταλὸν ἤδη
ὅρμον ἔχει, πάτρης φροίμιον οὐρανίης.
ἐς καλὸν ὤλετο πύργος ὁ Τρώϊος. ἦ γὰρ ἐν ὅπλοις
ἠγέρθη κόσμου παντὸς ἄνασσα πόλις.

III, 3. Fort. εἴπω μοι.

T. II.

V.

Οὐλόμεναι νήεσσι Καφηρίδες, αἵ ποτε νόστον
 ὠλέσαθ' Ἑλλήνων καὶ στόλον Ἰλιόθεν,
πυρσὸς ὅτε ψεύστης χθονίης δνοφερώτερα νυκτὸς
 ἧψε σέλα, τυφλὴ δ' ἔδραμε πᾶσα τρόπις
χοιράδας ἐς πέτρας, Δαναοῖς πάλιν Ἴλιος ἄλλη
 ἔπλετο, καὶ δεκέτους ἐχθροτέρη πολέμου.
καὶ τὴν μὲν τότ' ἔπερσαν· ἀνίκητος δὲ Καφηρεὺς,
 Ναύπλιε· σοὶ γὰρ πᾶν Ἑλλὰς ἔκλαυσε δάκρυ.

VI.

Μήτε με χείματι πόντος ἄγει θρασὺς, οὐδὲ γαλήνης
 ἀργῆς ἠσπασάμην τὴν πολυνηνεμίην.
αἱ μεσότητες ἄρισται, ὅπη δέ γε πρᾶξις ἀνδρῶν·
 καὶ μάλα μέτρον ἐγὼ τἄρκιον ἠσπασάμην.
p. 162. τοῦτ' ἀγάπα, φίλε Λάμπι, κακὰς δ' ἔχθαιρε θυέλλας·
 εἰσὶ τινὲς πρηεῖς καὶ βιότου Ζέφυροι.

VII.

Ληθαίης ἀκάτοιο τριηκοσίους ὅτε ναύτας
 δεύτερον ἔσχ' Ἀΐδης, πάντας ἀρηϊφάτους,
Σπάρτας ὁ στόλος, εἶπεν· ἴδ' ὡς πάλι πρόσθια πάντα
 τραύματα, κἠν στέρνοις δῆρις ἔνεστι μόνοις·
νῦν γε μόθου κορέσασθε, καὶ εἰς ἐμὸν ἀμπαύσασθε
 ὕπνον, ἀνικήτου δῆμος Ἐνυαλίου.

VIII.

Φωκίδι πὰρ πέτρῃ δέρκευ τάφον· εἰμὶ δ' ἐκείνων
 τῶν ποτὲ Μηδοφόνων μνᾶμα τριηκοσίων,

ἃ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέσον, ἀμβλύναντες
Ἄρεα καὶ Μήδων καὶ Λακεδαιμονίων.
ἣν δ' ἐσορῇς ἐπ' ἐμεῦ εὐβοστρύχου εἰκόνα θηρὸς,
ἔννεπε· Τοῦ ταγοῦ μνᾶμα Λεωνίδεω.

IX.

Ηδ' ἐγὼ ἡ τοσάκις Νιόβη λίθος, ὁσσάκι μήτηρ
δύσμορος ἐκ μαστῶν θερμὸν ἔτηξα γάλα.
Ἀίδεω πολὺς ὄλβος ἐμῆς ὠδῖνος ἀριθμὸς,
ᾧ τέκον. ὢ μεγάλης λείψανα πυρκαϊῆς.

X.

Κλειδοῦχοι νεκύων, πάσας Ἀΐδαο κελεύθους
φράγνυτε, καὶ στομίοις κλεῖθρα δέχεσθε πύλαι·
αὐτὸς ἐγὼν Ἀΐδας ἐνέπω. Γερμανικὸς ἄστρων,
οὐκ ἐμός· οὐ χωρεῖ νῆα τόσην Ἀχέρων.

XI. p. 163.

Γαῖα Ταραντίνων ἔχε μείλιχος ἀνέρος ἐσθλοῦ
τόνδε νέκυν. ψεῦσαν δαίμονες ἀμερίων.
ἦ γὰρ ἰὼν Θήβηθεν Ἀτύμνιος οὐκέτι πρόσσω
ἤνυσεν, ἀλλὰ τεὴν βῶλον ὑπῳκίσατο.
ὀρφανικῷ δ' ἐπὶ παιδὶ λιπὼν βίον, εὔνιν ἔθηκεν
ὀφθαλμῶν. κείνῳ μὴ βαρὺς ἔσσο τάφος.

VIII. 5. Vat. Cod. βοότρυχον v. 2.

T.II.p.164.

ΘΑΛΛΟΥ

ΜΙΛΗΣΙΟΥ.

ς

I.

Ἑσπερίοις μέγα χάρμα καὶ ἠῴοις περάτεσσι,
Καῖσαρ, ἀνικάτων ἔκγονε Ῥωμυλιδῶν,
αἰθερίην γένεσιν σέο μέλπομεν, ἀμφὶ δὲ βωμοῖς
γηθοσύνης λοιβὰς σπένδομεν ἀθανάτοις.
ἀλλὰ σὺ παππῴοις ἐπὶ βήμασιν ἴχνος ἐρείδων,
εὐχομένοις ἡμῖν πουλὺ μένοις ἐπ' ἔτος.

II.

Ἀσπίδα μὲν Πρόμαχος, τὰ δὲ δούρατα θῆκεν Ἀκοντεὺς,
τὸ ξίφος Εὐμήδης, τόξα δὲ ταῦτα Κύδων,
Ἱππομέδων τὰ χαλινὰ, κόρυν δ' ἀνέθηκε Μελάνθης,
κνημῖδας Νίκων, κόντον Ἀριστόμαχος,
τὸν θώρηκα Φιλῖνος· ἀεὶ δ', Ἆρες βροτολοιγὲ,
σκῦλα φέρειν δῴης πᾶσιν ἀπ' ἀντιπάλων.

III.

Αἱ πτελέαι τῷ Πανὶ, καὶ αἱ τανυμήκεες αὗται
ἰτέαι, ἥ θ' ἱερὰ κἀμφιλαφὴς πλάτανος,
καὶ λιβάδες, καὶ ταῦτα βοτηρικὰ Πανὶ κύπελλα
ἄγκειται, δίψης φάρμακ' ἀλεξίκακα.

p. 165.

IV.

Ἁ χλοερὰ πλατάνιστος ἴδ' ὡς ἔκρυψε φιλεύντων
ὄργια, τὰν ἱερὰν φυλλάδα τεινομένα.

ἀμφὶ δ' ἄρ' ἀκρεμόνεσσιν ἑοῖς κεχαρισμένος ὥραις T. II.
ἡμερίδος λαρῆς βότρυς ἀποκρέμαται.
οὕτως, ὦ πλατάνιστε, φύοις· χλοερὰ δ' ὑπὸ σεῖο
φυλλὰς ἀεὶ κεύθοι τȣ̀ς Παφίης ἑτάρȣς.

V.

Δισσὰ φάη, Μίλητε, τεῆς βλαστήματα γαίης,
Ἰταλὶς ὠκυμόρȣς ἀμφεκάλυψε κόνις·
πένθεα δὲ στεφάνων ἠλλάξαο· λείψανα δ', αἶ, αἶ,
ἔδρακες ἐν βαιῇ κάλπιδι κευθόμενα.
φεῦ, πάτρα τριτάλαινα· πόθεν πάλιν, ἢ πότε τοίȣς
ἀστέρας αὐχήσεις Ἑλλάδι λαμπομένȣς;

ΓΝΑΙΟΥ ΛΕΝΤΟΥΛΟΥ ΓΑΙΤΟΥΛΙΚΟΥ. p. 166.

I.

Ἀγχιάλȣ ῥηγμῖνος ἐπίσκοπε, σοὶ τάδε πέμπω
ψαιστία, καὶ λιτῆς δῶρα θυηπολίης.
αὔριον Ἰονίȣ γὰρ ἐπὶ πλατὺ κῦμα περήσω,
σπεύδων ἡμετέρης κόλπον ἐς Εἰδοθέης.
οὔριος ἀλλ' ἐπίλαμψον ἐμῷ καὶ ἔρωτι καὶ ἱστῷ,
δεσπότι καὶ θαλάμων, Κύπρι, καὶ ἠϊόνων.

II.

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος Ἄρης
ἔσπασεν Ἀργείων καὶ Λακεδαιμονίων,
ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλον
πίπτοντες· Θυρέα δ' ἦσαν ἄεθλα δορός.

Ψ. Π.

III.

Λάζεο, τιμήεσσα Κυθηριὰς, ὑμνοπόλοιο
αἶψα τάδε κλειτοῦ δῶρα Λεωνίδεω·
πεντάδα τὴν σταφυλῆς εὐρώγεα, καὶ μελιηδὲς
πρώϊον εὐφύλλων σῦκον ἀπ' ἀκρεμόνων,
καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην,
καὶ ψαιστῶν ὀλίγων δράγμα πενιχραλέον,
καὶ σταγόνα σπονδῖτιν, ἀεὶ θυέεσσιν ὀπηδὸν,
τῆς κύλικος βαιῷ πυθμένι κευθομένην.
p. 167. εἰ δ', ὡς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις
καὶ πενίην, δώσω πιαλέον χίμαρον.

IV.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί·
θηρὸς δ' οὐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
ἤϊξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῇδε φαρέτρην,
σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης.

V.

Παίδων Μηδείας οὗτος τάφος, οὓς ὁ πυρίπνους
ζᾶλος τῶν Γλαύκης θῦμ' ἐποίησε γάμων,
οἷς αἰεὶ πέμπει μειλίγματα Σισυφὶς αἶα,
ματρὸς ἀμείλικτον θυμὸν ἱλασκομένα.

VI.

Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,

III. 10. Codd. δώσει. et ſupra correctum δώσω. Fort. θύσω.

αἱμάξας Ἑλικῶνα τὸν ἥμερον. οἶδε Λυκάμβης, T. II.
μυρόμενος τρισσῶν ἅμματα θυγατέρων.
ἠρέμα δὴ παράμειψον, ὁδοιπόρε, μή ποτε τῷδε
κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.

VII.

Ἁ Πέλοπος νᾶσος, καὶ δύσπλοος ὤλεσε Κρήτα,
καὶ Μαλέου τυφλαὶ καμπτομένου σπιλάδες
Δάμιδος Ἀστυδάμαντα Κυδώνιον. ἀλλ᾽ ὁ μὲν ἤδη
θηρῶν ἔπλησε νηδύας εἰναλίων·
τὸν ψεύσταν δ᾽ ἐμὲ τύμβον ἐπὶ χθονὶ θέντο. τί θαῦμα, p. 168.
Κρῆτες ὅπου ψεῦσται, καὶ Διὸς ἐστι τάφος;

VIII.

Ὦ Κρόνε, παντοίων θνητοῖς πανεπίσκοπε δαῖμον,
ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων·
ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην,
Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

IX.

Τετράκις ἀμφορέως περὶ χείλεσι χείλεα θεῖσα
Σιληνὶς πάσας ἐξερόφησε τρύγας.
εὐχαῖτα Διόνυσε, σὲ δ᾽ ὕδασιν οὐκ ἐμίηνεν·
ἀλλ᾽ οἷος πρώτης ἦλθες ἀπ᾽ οἰνοπέδης,
τοῖόν σε προὔπινεν, ἀφειδέες ἄγγος ἔχευσα,
εἰσότε καὶ νεκύων ἦλθεν ἐπὶ ψάμαθον.

IX. 5. Fort. ἀφειδὲς ἐς ἄγγος ἔλεισα.

T.II.p.169.

ΑΝΤΙΦΙΛΟΥ
ΒΥΖΑΝΤΙΟΥ.

I.

Ἤμην καὶ προπάροιθε συνέμπορος ἀνέρι κέρδους,
ἡνίκα δημοτέρην Κύπριν ἐναυτολόγει·
κεῖθεν καὶ συνέπηξεν ἐμὴν τρόπιν, ὄφρα με λεύσσῃ
Κύπρις, τὴν ἀπὸ γῆς εἰν ἁλὶ ῥεμβομένην.
ἔστιν ἑταίρειος μὲν ἐμοὶ στόλος, εἰσὶ δὲ λεπτὰ
κάρβασα, καὶ λεπτὸν φῦκος ὑπὲρ σανίδων.
ναυτίλοι, ἀλλ' ἄγε πάντες ἐμῆς ἐπιβαίνετε πρύμνης
θαῤῥαλέως· πολλοὺς οἶδα φέρειν ἐρέτας.

II.

Εἶπον ἐγὼ καὶ πρόσθεν, ὅτ' ἦν ἔτι φίλτρα Τερείνης
νήπια· Συμφλέξει πάντας ἀεξομένη.
οἱ δ' ἐγέλων τὸν μάντιν. ἴδε, χρόνος, ὅν ποτ' ἐφώνουν,
οὗτος· ἐγὼ δὲ πάλαι τραύματος ᾐσθανόμην.
καὶ τί πάθω; λεύσσειν μὲν, ὅλαι φλόγες· ἢν δ' ἀπονεύσω,
φροντίδες· ἢν δ' αἰτῶ, παρθένος. οἰχόμεθα.

III.

Χεῦμα μὲν Εὐρώταο Λακωνικόν· ἁ δ' ἀκάλυπτος,
Λήδα· χὠ κύκνῳ κρυπτόμενος, Κρονίδας.
οἱ δ' ἐμὲ τὸν δυσέρωτα καταίθετε, καὶ τί γένωμαι
ὄρνεον; εἰ γὰρ Ζεὺς κύκνος, ἐγὼ κόρυδος.

IV.

T.II. p.170.

Βουστρόφον ἀγρεσίδαρον, ἐπειλητῆρα μύωπα,
καὶ πήραν μέτρου σιτοδόκον σπορίμου,
γαμψόν τε δρέπανον, σταχυητόμον ὅπλον ἀρούρης,
καὶ παλινηρόφορον, χεῖρα θέρευς, θρίνακα,
καὶ τρητοὺς ποδεῶνας ὁ γατόμος ἄνθετο Δηοῖ
Πάρμις, ἀνιήρων παυσάμενος καμάτων.

V.

Εἰνοδίη, σοὶ τόνδε φίλης ἀνεθήκατο κόρσης
πῖλον, ὁδοιπορίης σύμβολον, Ἀντίφιλος.
ἤσθα γὰρ εὐχωλῇσι κατήκοος, ἔν τε κελεύθοις
ἵλαος· οὐ πολλὴ δ' ἡ χάρις, ἀλλ' ὁσίη.
μηδέ τις ἡμετέρου μάρψῃ χερὶ μαργὸς ὁδίτης
ἀνθέματος· συλᾶν ἀσφαλὲς οὐδ' ὀλίγα.

VI.

Αὐτὸς ἐγὼ τὰ Τύχης, ὦ δέσποτι· φημὶ δὲ πολλῶν
ὄλβον ὑπερκύπτειν, ὅσσον ἀπὸ κραδίης.
ἀλλὰ δέχευ μνιαροῖο βαθυρρήνοιο τάπητος
ἔνδυτον, εὐανθεῖ πορφύρῃ εἰδόμενον,
εἴριά τε ῥοδόεντα, καὶ, ἐς κυανότριχα χαίτην,
νάρδον, ὑπὸ γλαύκης κλειομένην ὑάλου,
ὄφρα χιτὼν μὲν χρῶτα περισκέπῃ, ἔργα δ' ἐλέγχῃ
χεῖρας, ὁ δ' εὐώδης ἀτμὸς ἔχῃ πλοκάμους.

VII.

Τίς με, Διωνύσῳ πεπλασμένον ἀμφιφορῆα,
τίς με, τὸν Ἀδριακοῦ νέκταρος οἰνοδόκον,

VI. 1. Cod. ἐγὼ τύχης. Suid. ἐγώ τ' ἀτυχής. 2. Cod. τὸν [illegible] ἀπό.

T.II p.171. Δηοῦς ἐπλήρωσε; τίς ὁ φθόνος εἰς ἐμὰ Βάκχου,
ἢ σπάνις οἰκείου τεύχεος ἀσταχύων;
ἀμφοτέρους ᾔσχυνε· σεσύληται μὲν ὁ Βάκχος,
Δημήτηρ δὲ μέθην σύντροφον ἐνδέχεται.

VIII.

Μῆλον ἐγὼ στρύθειον ἀπὸ προτέρης ἔτι ποίης
ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον,
ἄσπιλον, ἀῤῥυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν,
ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρέμοσιν,
ὥρης χειμερίης σπάνιον γέρας. εἰς σὲ δ', ἄνασσα,
τοίην χὠ νιφόεις κρυμὸς ὀπωροφορεῖ.

IX.

Δοῦρας Ἀλεξάνδροιο· λέγει δέ σε γράμματ' ἐκεῖνον
ἐκ πολέμου θέσθαι σύμβολον Ἀρτέμιδι,
ὅπλον ἀνικήτοιο βραχίονος. ἆ καλὸν ἔγχος,
ᾧ πόντος καὶ χθὼν εἶκε κραδαινομένῳ.
ἵλαθι δοῦρας ἀταρβές· ἀεὶ δέ σε πᾶς τις ἀθρήσας
ταρβήσει, μεγάλης μνησάμενος παλάμης.

X.

Δέρκεο τὸν Τροίας δεκέτη λόχον, εἴσιδε πῶλον
εὐόπλου Δαναῶν ἔγκυον ἡσυχίης.
τεκταίνει μὲν Ἐπειός, Ἀθηναίη δὲ κελεύει
ἔργον· ὑπαὶ νῶτον δ' Ἑλλὰς ὅλα δύεται.
ὦ ῥα μάταν ἀπόλοντο, τόσος στρατός, εἰ πρὸς Ἄρηα
ἦν δόλος Ἀτρείδαις ἐσθλότερος πολέμου.

VII. 6. Cod. ἐ δέχεται.

XI.

T. II. p. 172.

Εἰς Ἰλιάδα καὶ Ὀδύσσειαν.

Αἱ βίβλοι, τίνες ἐστέ; τί κεύθετε; θυγατέρες μὲν
Μαιονίδεω, μύθων δ' ἵστορες Ἰλιακῶν.
ἁ μία μὲν μηνιθμὸν Ἀχιλλέος, ἔργα τε χειρῶν
Ἑκτορέαν, δεκέτευς τ' ἆθλα λέγει πολέμου·
ἁ δ' ἑτέρα μόχθον τὸν Ὀδυσσέος, ἀμφί τε λέκτροις
χηρείοις ἀγαθᾶς δάκρυα Πηνελόπας.
ἵλατε σὺν Μούσαισι· μεθ' ὑμετέρας γὰρ ἀοιδὰς
εἶπεν ἔχειν αἰὼν ἕνδεκα Πιερίδας.

XII.

Κλῶνες ἀπηόριοι τανααῆς δρυός, εὔσκιον ὕψος
ἀνδράσιν ἄκρητον καῦμα φυλασσομένοις,
εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φωτῶν,
οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,
κἠμὲ τὸν ὑμετέραισιν ὑποκλινθέντα κόμαισι
ῥύσασθ', ἀκτίνων ἠελίου φυγάδα.

XIII.

Εἰς εἰκόνα Ἀνδρομέδης.

Αἰθιόπων ἁ βῶλος· ὁ δὲ πτερόεις τὰ πέδιλα,
Περσεύς· ἁ δὲ λίθῳ πρόσδετος, Ἀνδρομέδα·
ἁ προτομά, Γοργοῦς λιθοδερκέος· ἆθλον ἔρωτος,
κῆτος· Κασσιόπας, ἁ λάλος εὐτεκνία.
χὰ μὲν ἀπὸ σκοπέλοιο χαλᾷ πόδα σηλάδι νάρκᾳ
νειθρέν· ὁ δὲ μναστὴρ νυμφοκομεῖ τὸ γέρας.

XI. 1. Cod. Vat. τίνες. Melius Planud. τίνες.
XII. 3. Pro φωτῶν aviculae nomen deſidero.

T.II.p.173.

XIV.

Εἰς Διογένην.

Ἡ πήρη, καὶ χλαῖνα, καὶ ὕδατι πληθεῖσα
μᾶζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
καὶ δέπας ἐκ κεράμοιο, σοφῷ κυνὶ μέτρα βίοιο
ἄρκια· κὴν τούτοις ἦν τι περισσότερον.
κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην,
εἶπε· Τί καὶ σὲ μάτην, ὄστρακον, ἠχθοφόρουν;

XV.

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου· ἀλλὰ σὸν οὔτι
κῦδος ὁ πᾶς αἰὼν, Διόγενες, καθελεῖ,
μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας
θνατοῖς, καὶ ζωῆς οἶμον ἐλαφροτάταν.

XVI.

Εἰπὲ, Δικαιάρχεια, τί σοι τόσον εἰς ἅλα χῶμα
βέβληται, μέσσου γευόμενον πελάγους;
Κυκλώπων τάδε χεῖρες ἐνιδρύσαντο θαλάσσῃ
τείχεα. μέχρι πόσου, Γαῖα, βιαζόμεθα;
Κόσμου νηίτην δέχομαι στόλον· εἴσιδε Ῥώμην
ἐγγύθεν, εἶτ' αὐτῇ μικρὸν ἔχω λιμένα.

XVII.

Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο,
τρισσάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,
εὖτ' ἂν θλιβομένοιο ποτὶ στενὸν ὕδατος ἀὴρ
αὐλὸν ἀποστείλῃ πνεῦμα διαλύγιον,

XIV. 1. Scr. φυραθεῖσα.
XVI. 6. Cod. εἶτ' αὐτῇ μέτρον.

θῆκεν Ἀθηναῖος δήμῳ χάριν, ὡς ἂν ἐναργὴς T.II. p.174.
εἴη κὴν φθονεραῖς ἥλιος νεφέλαις.

XVIII.

Η γραῦς Εὐβούλη, ὅτε οἱ καταθύμιον ἦν τι,
Φοίβου τὸν πρὸ ποδῶν μάντιν ἄειρε λίθον,
χείρεσι πειράζουσα· καὶ ἦν βαρὺς, ἡνίκα μή τι
ἤθελεν· εἰ δ' ἐθέλοι, κουφότερος πετάλων.
αὐτὴ δὲ πρήσσουσα τό οἱ φίλον, ἦν ποθ' ἁμάρτῃ,
Φοίβῳ τὰς ἀνίσους χεῖρας ἐπεγράφετο.

XIX.

Ως πάρος Ἀελίου, νῦν Καίσαρος ἡ Ῥόδος εἰμὶ
νᾶσος, ἴσον δ' αὐχῶ φέγγος ἀπ' ἀμφοτέρων.
ἤδη σβεννυμέναν με νέα κατεφώτισεν ἀκτὶς,
Ἄλιε, καὶ παρὰ σὸν φέγγος ἔλαμψε Νέρων.
πῶς εἴπω, τίνι μᾶλλον ὀφείλομαι; ὃς μὲν ἔδειξεν
ἐξ ἁλός· ὃς δ' ἤδη ῥύσατο δυομέναν.

XX.

Τὰν ὀλοὰν Μήδειαν ὅτ' ἔγραφε Τιμομάχου χεὶρ,
ζάλῳ καὶ τέκνοις ἀντιμεθελκομέναν,
μυρίον ἄρατο μόχθον, ἵν' ἤθεα δισσὰ χαράξῃ,
ὧν τὸ μὲν εἰς ὀργὰν νεῦε, τὸ δ' εἰς ἔλεον.
ἄμφω δ' ἐπλήρωσεν· ὅρα τύπον. ἐν γὰρ ἀπειλᾷ
δάκρυον, ἐν δ' ἐλέῳ θυμὸς ἀναστρέφεται.
Ἀρκεῖ δ' ἁ μέλλησις, ἔφα σοφός· αἷμα δὲ τέκνων
ἔπρεπε Μηδείῃ, κοὐ χερὶ Τιμομάχου.

T. II. p. 175.

XXI.

Ψῆγμ' ἄπυρον χρυσοῖο, σιδηρείων ὑπ' ὀδόντων
ῥινηθὲν, Λιβυκῆς κουφότερον ψαμάθου,
μῦς ὀλίγος, βαρὺ δεῖπνον, ἐδαίσατο· πᾶσα δὲ νηδὺς
συρομένη βραδύπουν θῆκε τὸν ὠκύτατον.
ληφθεὶς δ' ἐκ μεσάτης ἀνετέμνετο κλέμματα γαστρός.
ἦς ἄρα κἠν ἀλόγοις, χρυσὲ, κακοῦ πρόφασις.

XXII.

Παμφάγος ἑρπηστὴς κατὰ δώματα λιχνοβόρος μῦς
ὄστρεον ἀθρήσας χείλεσι πεπταμένον,
πώγωνος διεροῖο νόθην ὠδάξατο σάρκα·
αὐτίκα δ' ὀστρακόεις ἐπλατάγησε δόμος,
ἠρμόσθη δ' ὀδύναισιν· ὁ δ' ἐν κλείθροισιν ἀφύκτοις
ληφθεὶς αὐτοφόνον τύμβον ἐπεσπάσατο.

XXIII.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
εἰρεσίῃ Φαίδων εἴσιδε πουλυπόδην·
μάρψας δ' ὠκὺς ἔριψεν ἐπὶ χθόνα, πρὶν περὶ χεῖρας
πλέξασθαι βρύγδην ὀκτατόνους ἕλικας.
δισκευθεὶς δ' ἐπὶ θάμνον ἐς οἰκία δειλὰ λαγωοῦ,
εἰληδὸν ταχινοῦ πτωκὸς ἔδησε πόδας.
εἷλε δ' ἁλύς· σὺ δ' ἄελπτον ἔχεις γέρας ἀμφοτέρωθεν,
ἄγρης χερσαίης, πρέσβυ, καὶ εἰναλίης.

XXIV.

XXI. 1. Fort. ἀπύρα.

XXIV. T. II.

Τόλμα, νεῶν ἀρχηγὲ, (σὺ γὰρ δρόμον ηὕραο πόντου,
καὶ ψυχὰς ἀνδρῶν κέρδεσιν ἠρέθισας)
οἷον ἐτεκτήνω ῥόλιον ξύλον, οἷον ἐνῆκας p. 176.
ἀνθρώποις θανάτῳ κέρδος ἐλεγχόμενον;
ἦν ὄντως μερόπων χρύσειον γένος, εἴ γ' ἀπὸ χέρσου
τηλόθεν, ὡς Ἀΐδης, πόντος ἀπεβλέπετο.

XXV.

Ἀρτι με πηγνυμένην ἀκάτου τρόπιν ἔσπασε γείτων
πόντος, τὴν χέρσῳ εἰς ἐμὲ μηνάμενος.

XXVI.

Μυρία με τρίψασαν ἀμετρήτοιο θαλάσσης
κύματα, καὶ χέρσῳ βαιὸν ἐρεισαμένην,
ὤλεσεν οὐχὶ θάλασσα, νεῶν φόβος· ἀλλ' ἐπὶ γαίης
Ἥφαιστος. τίς ἐρεῖ πόντον ἀπιστότερον;
ἔνθεν ἔφυν ἀπόλωλα· παρ' ἠϊόνεσσι δὲ κεῖμαι,
χέρσῳ τὴν πελάγευς ἐλπίδα μεμφομένη.

XXVII.

Ὑλοτόμοι παύσασθε νεῶν χάριν. οὐκέτι πεύκη
κύματος, ἀλλ' ἤδη ῥινὸς ἐπιτροχάει·
γόμφος δ' οὐκέτι χαλκὸς ἐν ὁλκάσιν, οὐδὲ σίδηρος,
ἀλλὰ λίνῳ τοίχων ἁρμονίη δέδεται.
τὰς δ' αὐτὰς ποτὲ πόντος ἔχει νέας, ἄλλοτε γαῖα
πυκτὸν ἁμαξίτην φόρτον ἀειραμένας.
Ἀργὼ μὲν προτέροισιν ἀοίδιμος· ἀλλὰ Σαβίνῳ
καινοτέρην πῆξαι Παλλὰς ἔνευσε τρόπιν.

T.II. p.177.

XXVIII.

Ἡ τερεβινθώδης, ὀλιγάμπελος, οἷά τε βαιή,
νῆσος, ἀλλ' ὁμαλὴ πᾶσα καὶ ἀστύφελος·
αἱ δ' ἀγχοῦ, μεγάλαι τε καὶ εὐρέες, ἀλλ' ἐπὶ πολλὸ
τρηχεῖαι· μεγέθει τοῦτο περισσότεραι.
καρποῖς, οὐ σταδίοισιν ἐρίζομεν· οὐδὲ γὰρ αὔλαξ
Αἰγύπτου Λιβύης ψάμμου ἐπιστρέφεται.

XXIX.

Α καλὸν, αὐτοπόνητον ἐν αἰθέρι ῥεῦμα μελισσῶν,
ἄπλαστοι χειρῶν αὐτοπαγεῖς θαλάμαι,
προίκιος ἀνθρώπων βιότῳ χάρις, οὐχὶ μακέλλας,
οὐ βοὸς, οὐ γαμψῶν δευομένα δρεπάνων,
γαυλοῦ δὲ σμικροῖο, τόθι γλυκὺ νᾶμα μέλισσα
πηγάζει σκήνευς δαψιλὲς ἐξ ὀλίγου.
χαίροιτ' εὐαγέες, καὶ ἐν ἄνθεσι ποιμαίνεσθε,
αἰθερίου πτηναὶ νέκταρος ἐργάτιδες.

XXX.

Βόρχος ὁ βουποίμην ὅτ' ἐπὶ γλυκὺ κηρίον εἷρπεν,
αἰγίλιπα σχοίνῳ πέτρον ἐπερχόμενος,
εἵπετό οἱ σκυλάκων τις, ὃ καὶ, βόσιν ὥς, φάγε λεπτὴν
σχοῖνον, ἐφελκομένῳ χραινομένην μέλιτι·
κάππεσε δ' εἰς Ἀΐδαο. τὸ δ' ἀτρυγὲς ἀνδράσιν ἄλλοις
κεῖνο μέλι, ψυχῆς ὤνιον εἰρύσατο.

XXXI.

Λαβροπόδη χείμαῤῥε, τί δὴ τόσον ὧδε κορύσσῃ,
πεζὸν ἀποκλείων ἴχνος ὁδοιπορίης;

XXIX. 2. Codd. αἱ πλαταὶ χειρῶν.

ἢ μεθύεις ὄμβροιο, καὶ οὐ Νύμφαισι διαυγὲς T.II.p.178.
   νᾶμα φέρεις, θολεραὶ δ' ἠφάνισαν νεφέλαι.
εὔχομαι ἠελίῳ σε κεκαυμένον, ὅστις ἐλέγχει
   καὶ γόνιμον ποταμὸν, καὶ νόθον οἶδεν ὕδωρ.

XXXII.

Εὐβοϊκοῦ κόλποιο παλινδίνητε θάλασσα,
   πλαγκτὸν ὕδωρ, ἰδίοις ῥεύμασιν ἀντίπαλον,
ἠελίῳ κὴν νυκτὶ τεταγμένον ἐς τρὶς, ἄπιστον,
   ναυσὶν ὅσον πέμπεις χεῦμα δανειζόμενον.
θαῦμα βίου, θαμβῶ σε τὸ μυρίον, οὐδὲ ματεύω
   τὴν τάσιν. ἐῤῥήτω· ταῦτα μέμηλε φύσει.

XXXIII.

Εἷς τυφλὸς δὲ ἀνελθὼν εἰς τὸ ἐν Ἐλευσῖνι ἱερὸν, τῆς τελετῆς γιγνομένης, ἀνέβλεψεν, ὅμως δὲ μετεῖχε τῶν μυστηρίων.

Σκίπων με πρὸς νηὸν ἀνήγαγεν, ὄντα βέβηλον
   οὐ μοῦνον τελετῆς, ἀλλὰ καὶ ἠελίου.
μύστην δ' ἀμφοτέρων με θεαὶ θέσαν· οἶδα δ' ἐκείνης
   νυκτὶ καὶ ὀφθαλμῶν νύκτα καθηράμενος.
ἀσκίπων δ' εἰς ἄστυ κατέστιχον, ὄργια Δηοῦς
   κηρύσσων γλώσσης ὄμμασι τρανοτέροις.

XXXIV.

Ἀνέρα θὴρ χερσαῖον ὁ πόντιος, ἄπνοον ἔμπνους,
   ἀράμενος λοφιῆς ὑγρὸν ὕπερθε νέκυν,
ἐς ψαμάθους ἐκόμισσα. τὸ δὲ πλέον, ἐξ ἁλὸς εἰς γῆν
   νηξάμενος, φόρτου μισθὸν ἔχω θάνατον.
δαίμονα δ' ἀλλήλων ἠμείψαμεν· ἡ μὲν ἐκείνου
   χθὼν, ἐμέ· τὸν δ' ἀπὸ γῆς, ἔκτανε τοὐμὸν ὕδωρ.

Scalig. Poem. p. 6.
T. II. p. 179.

XXXV.

Νεκροδόκον κλιντῆρα φίλων ὁ πρέσβυς ἀείρων
ἔνδοθεν, ὄφρα λάβοι μισθὸν ἐφημέριον,
σφάλματος ἐξ ὀλίγοιο πεσὼν, θάνεν· ἦν γὰρ ἑτοῖμος
εἰς Ἀΐδην, ἐκάλει δ' ἡ πολιὴ πρόφασιν.
ὃν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐφ' αὐτῷ
ἀσκάντην ὁ γέρων ἀχθοφορῶν ἔλαθε.

XXXVI.

Τηλοτάτω χεύασθαι ἔδει τάφον Οἰδιπόδαο
παισὶν ἀπ' ἀλλήλων, οἷς πέρας οὐδ' Ἀΐδας·
ἀλλὰ καὶ εἰς Ἀχέροντος ἕνα πλόον ἠρνήσαντο,
χὠ στυγερὸς ζώει κἠν φθιμένοισιν Ἄρης.
ἠνίδε πυρκαϊῆς ἄνισον φλόγα· δαιομένα γὰρ
ἐξ ἑνὸς εἰς δισσὰν δῆριν ἀποστρέφεται.

XXXVII.

Θεσσαλὲ Πρωτεσίλαε, σὲ μὲν πολὺς ᾄσεται αἰὼν,
Τροίᾳ ὀφειλομένου πτώματος ἀρξάμενον·
σᾶμα δέ τοι πτελέῃσι συνηρεφὲς ἀμφικομεῦσι
Νύμφαι, ἀπεχθομένης Ἰλίου ἀντιπέρας.
δένδρεα δυσμήνιτα, καὶ ἤν ποτε τεῖχος ἴδωσι
Τρώϊον, αὐαλέαν φυλλοχοεῦντι κόμην.
ὅσσος ἐν ἡρώεσσι τότ' ἦν χόλος, οὗ μέρος ἀκμὴν
ἐχθρὸν ἐν ἀψύχοις σώζεται ἀκρέμοσι.

XXXVIII.

Πορφυρέαν τοι τάνδε, Λεωνίδα, ἄπασε χλαῖναν
Ξέρξης, ταρβήσας ἔργα τεᾶς ἀρετᾶς.

XXXVII. 5. Cod. Vat. δυσμήνητα.

οὐ δέχομαι· προδόταις αὕτα χάρις. ἀσπὶς ἔχει με T. II. p. 180.
καὶ νέκυν· ὁ πλοῦτος δ' οὐκ ἐμὸν ἐντάφιον.
[a]ἀλλ' ἔθανες. τί τοσόνδε καὶ ἐν νεκύεσσιν ἀπεχθὴς
Πέρσαις; [β]οὐ θνάσκει ζᾶλος ἐλευθερίας.

XXXIX.

[a]Κρηναῖαι λιβάδες, τί πεφεύγατε; ποῦ τόσον ὕδωρ;
τίς φλὸξ ἀενάους ἔσβεσεν ἀελίου;
[β]δάκρυσιν Αγρικόλαο τετρύμεθα· πᾶν δ' ὅσον ἡμῖν
ἦν ποτὸν, ἡ κείνου δίψας ἔχει σποδιή.

XL.

Εἰς τινα γυναῖκα ἔγκυον ἐν σεισμῷ τετοκυῖαν τιναστομένου τοῦ δώματος.

Δώματά μοι σεισθέντα κατήρειπεν· ἀλλ' ἐμὸς ἀπταὶς
ἦν θάλαμος, τοίχων ὀρθὰ τιναστομένων,
οἷς ὑποφωλεύουσαν ὑπήλυθον αἱ κακόμοιροι
ὠδῖνες· σεισμῷ δ' ἄλλον ἔμιξα φόβον.
μαῖα δ' ἐμοὶ λοχίων αὐτὴ φύσις. ἀμφότεροι δὲ
κοινὸν ὑπὲρ γαίης εἴδομεν ἠέλιον.

XLI.

Γλαῦκος ὁ νησαίοιο διαπλώουσιν ὁδηγὸς
πορθμοῦ, καὶ Θασίων ἔντροφος αἰγιαλῶν,
πόντου ἀροτρευτὴρ ἐπιδέξιος, ἠδ' ὅτ' ἔκνωσσε
πλαζομένη τρωφῶν πηδάλιον παλάμη,
μυριέτης, ἁλίοιο βίου ῥάκος, οὐδ', ὅτ' ἔμελλε
θνήσκειν, ἐκτὸς ἔβη γηραλέης σκαφίδος.

XXXIX. 3. Cod. Vat. ἀγρικόλαου τετρύμμεθα.

T. II. τοὶ δὲ κέλυφος ἔκλεισαν ἐπ' ἀνέρι, τέφρ' ὁ γεραιὸς
πλώσῃ ἐπ' οἰκείης εἰς Ἀΐδην ἀκάτου.

p. 181. XLII.

Ναῦν Ἱεροκλείδης εἶχε σύγγηρον, ὁμόπλουν,
τὴν αὐτὴν ζωῆς καὶ θανάτου σύνοδον,
πιστὴν ἰχθυβολεῦντι συνέμπορον· οὔτις ἐκείνης
πώποτ' ἐπέπλωσεν κῦμα δικαιοτέρη.
γήραος ἄχρις ἔβοσκε πονεύμενον· εἶτα θανόντα
ἐκτέρισε. συνέπλω δ' ἄχρι καὶ εἰς Ἀΐδην.

XLIII.

Ἤδη που πάτρης πελάσας σχεδὸν, Αὔριον, εἶπον,
ἡ μακρὴ κατ' ἐμοῦ δυσπλοΐη κοπάσει·
οὔπω χεῖλος ἔμυσε, καὶ ἦν ἴσος Ἀΐδι πόντος,
καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
πάντα λέγων πεφύλαξο τὸν ΑΥΡΙΟΝ· οὐδὲ τὰ μικρὰ
λήθει τὴν γλώσσης ἀντίπαλον Νέμεσιν.

Lect. p. 172. XLIV.

Κὴν πρύμνῃ λαχέτω με ποτὶ ψιβὰς, αἵ θ' ὑπὲρ αὐτῆς
ἠχεῦσαι ψακάδων τύμματα διφθερίδες,
καὶ πῦρ ἐκ μυλάκων βεβιημένον, ἥ τ' ἐπὶ τούτων
χύτρη, καὶ κενεὸς πομφολύγων θόρυβος,
καὶ παρ' ὕποντα εἴδοιμι διήκονον ἤδη τράπεζαν
ἔστω μοι πρώτη νηὸς ὕπερθε σανὶς,

XLI. 7. Cod. Vat. ἐκάλυψαν. Fort. ἔκειλσαν.
XLII. 6. Cod. Vat. ἄχρις Ἀΐδεω. Scr. ἄχρις ἐς ἀΐδεω.
XLIV. 2. Scr. τύμματι. 5. Scr. ἠδὲ τράπεζα. 6. Fort. ἔστω μοι πηκτή.

δὸς, λάβε, καὶ ψιθύρισμα τὸ ναυτικόν· εἰ καὶ τύχη τις
πρώην τοιαύτη τὸν φιλόκοινον ἔμε.

XLV. Lect.p.173.

Κυκλάδων δύστηνον ἐρώδιον ἔχθρα κολάζει
τεῦ χάριν ὁ προδότης ὄρνις ἀεὶ λέγεται.
Φοῖβος ἐρεῖτ' ἐνάργειτον ὅτ' εἰς ἄλλα κῶλον ἐλαφρὸν
τήσας ψαμμείτην δόρπον ἐθημολόγει,
δυσμενέες τότ' ἔβησαν ἐπὶ πτόλιν ἀντιπέρηθεν
ὀψὲ διδασκόμενοι πυξοβατεῖν πέλαγος.
βάλλετε δὴ κακὸν ὄρνιν, ἐπεὶ βαρὺν ἤρατο μισθὸν
ἐκδημιῶν κόλλυς καὶ βρύων ὁ προδότης.

ΙΟΥΛΙΟΥ ΔΙΟΚΛΕΟΥΣ ΚΑΡΥΣΤΙΟΥ. T.II.p.182.

I.

ΧΑΙΡΕ ποτ' οὐκ εἰπόντα προσεῖπέ τις· Ἀλλ' ὁ περισσὸς
κάλλει νῦν Δάμων οὐδὲ τὸ ΧΑΙΡΕ λέγει;
ἥξει τις τούτου χρόνος ἔκδικος. εἶτα δασυνθεὶς
ἄρξῃ ΧΑΙΡΕ λέγειν οὐκ ἀποκρινομένοις.

II.

Δίκτυά σοι τάδε, Πὰν, ἀνεθήκαμεν οἶκος ἀδελφῶν,
οἱ τρεῖς, ἐξ ὀρέων, ἠέρος, ἐκ πελάγευς.

XLIV. 7. Fort. καὶ ψ. τὸ παιδικὸν· εἴχε τύχη τ.

T. II. [τῷ μὲν ἐν ἰξόεσιν καλάμοισιν ἀγρευὶς ἐπιλθὼν]
διπτυβόλει· τούτῳ δ' ἄγκεσι θηροτόκοις·
τὸν τρίτον ἐν πτηνοῖσιν ἐπίβλεπε. τῆς γὰρ ἁπάντων,
δαῖμον, ἔχεις ἡμέων δῶρα λινοστασίης.

III.

Οὐκ οἶδ' εἴτε σάκος λέξαιμί σε, τὴν ἐπὶ πολλοὺς
ἀντιπάλους πιστὴν σύμμαχον ὁπλισάμην,
εἴτε δὲ βαιὸν ἐμοὶ πόντου σκάφος, ἥ μ' ἀπὸ νηὸς
ὀλλυμένης κόμισας νηκτὸν ἐπ' ἠϊόνας.
p. 183. Ἄρεος ἐν πολέμοις ἔφυγον χόλον, ἐν δὲ θαλάσσῃ,
Νηρῆος· σὺ δ' ἄρ' ἦς ὅπλον ἐν ἀμφοτέραις.

IV.

Μή με κόνι κρύψητε· τί γὰρ πάλι; μηδ' ἐπὶ ταύτης
ἠϊόνος οὐ γνωτὴν γαῖαν ἐμοὶ τίθετε.
μαίνεται εἴς με θάλασσα, καὶ ἐν χέρσοισί με δειλὸν
εὑρίσκει ῥαχίαις, οὐδέ με κεῖν' Ἀΐδῃ.
χέρσῳ δ' ἐπεκβαίνει ἐμεῦ χάριν ὕδατι θυμὸς
πάρκειμαι ταθερῇ μιμνέμεν ὡς ἄταφος.

IV, 5. 6. Sic in codd. ſcripti hi verſ.

ΠΟΛΕΜΩΝΟΣ

T.II. p.184.

ΒΑΣΙΛΕΩΣ.

I.

Ἡ πτωχῶν ʼχαρίεσσα πανοπλίη, ἀρτολάγυνος
  αὕτη, καὶ δροσερῶν ἐκ πετάλων στέφανος,
καὶ τοῦτο φθιμένοιο προάστιον ἱερὸν ὀστοῦν
  ἐγκεφάλου, ψυχῆς φρούριον ἀκρότατον.
ΠΙΝΕ, λέγει τὸ γλύμμα, ΚΑΙ ΕΣΘΙΕ, ΚΑΙ ΠΕΡΙΚΕΙΣΟ
  ΑΝΘΕΑ· ΤΟΙΟΥΤΟΙ ΓΙΝΟΜΕΘ᾽ ΕΞΑΠΙΝΗΣ.

II.

Ἢ τὸ φιλεῖν περίγραψον, Ἔρως, ὅλον, ἢ τὸ φιλεῖσθαι
  πρόσθες, ἵν᾽ ἢ λύσῃς τὸν πόθον, ἢ κεράσῃς.

III.

Ἑπτὰ βοῶν σφραγῖδα βραχὺς λίθος εἶχεν Ἴασπις,
  ὡς μίαν, ὡς πάσας ἔμπνοα δερκομένας.
καὶ τάχα κἂν ἀπέρεψε τὰ βοΐδια· νῦν δὲ κέκλειται
  τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

T. II. p. 185.

φ

ΔΙΟΔΩΡΟΥ ΣΑΡΔΙΑΝΟΥ
ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

I.

Καρπαθίην ὅτε νυκτὸς ἅλα στρέψαντος ἀήτη
λαίλαπι Βορρείῃ κλασθὲν ἔσεισε κέρας,
εὔξατο κῆρα φυγὼν, Βοιῶτις, σοί με, Κάβειρε
δέσποτα, χειμερίης ἄνθεμα ναυτιλίης,
ἀρτήσειν ἁγίοις τόδε λώπιον ἐν προπυλαίοις
Διογένης. ἀλέκοις δ' ἀνέρι καὶ πενίην.

II.

Ἥ τε Σάμου μεδέουσα, καὶ ἣ λάχες Ἴμβρασον Ἥρη,
δέξο γενεθλιδίους, πότνα, θυηπολίας,
μόσχων ἱερὰ ταῦτα, τά σοι πολὺ φίλτατα πάντων
ἴσμεν, ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
εὔχετ' ἐπισπένδων τάδε Μάξιμος· ἣ δ' ἐπένευσεν
ἔμπεδα· Μοιράων δ' οὐκ ἐμέγηρε λίνα.

III.

Ζεύξιδος ἡ χρειή τε καὶ ἡ χάρις· ἐν δ' ἐμὲ μικρῷ
κρυστάλλῳ, τὸ καλὸν δαίδαλον, Ἀρσινόη
γράψας τοῦτ' ἔπορε Σατυρήιος· εἰμὶ δ' ἀνάσσης
εἰκὼν, καὶ μεγάλης λείπομαι οὐδ' ὀλίγον.

p. 186.

IV.

Πύργος ὅδ' εἰναλίης ἐπὶ χοιράδος, οὔνομα νήσῳ
ταὐτὸν ἔχων, ὅρμου σύμβολόν εἰμι Φάρος.

V. T. II.

Ἀδρήστειά σε δῖα, καὶ Ἰχναίη σε φυλάσσοι
παρθένος, ἡ πολλοὺς ψευσαμένη, Νέμεσις.
δείδια σόν τε φυῆς ἐρατὸν τύπον, ἠδὲ σὰ, κοῦρε,
δήνεα, θεσπεσίης καὶ μένος ἠνορέης,
καὶ σοφίην, καὶ μῆτιν ἐπίφρονα. τοιάδε τέκνα,
Δροῦσε, πέλειν μακάρων πευθόμεθ᾽ ἀθανάτων.

VI.

Αἰγιβότου Σκύροιο λιπὼν πέδον, Ἴλιον ἔπλω
οἷος Ἀχιλλείδης πρόσθε Νεοπτόλεμος,
τοῖος ἐν Αἰνεάδῃσι Νέρων ἀγὸς ἄστυ Ῥέμοιο
νεῖται, ἐπ᾽ ὠκυρόην Θύμβριν ἀμειψάμενος,
κοῦρος ἔτ᾽ ἀρτιγένειον ἔχων χνόον. ἀλλ᾽ ὁ μὲν ἔγχει
θῦεν· ὁ δ᾽ ἀμφοτέροις, καὶ δορὶ καὶ σοφίῃ.

VII.

Αἴλινον ὠκυμόρῳ με λεχωΐδι τοῦτο κεκόφθαι
τῆς Διοδωρείου γράμμα λέγει σοφίης,
κοῦρον ἐπεὶ τίκτουσα κατέφθιτο· παῖδα δὲ Μηλᾶς
δεξάμενος, θαλερὴν κλαῖεν Ἀθηναΐδα,
Λεσβιάδεσσιν ἄχος καὶ Ἰήσονι πατρὶ λιποῦσαν.
Ἄρτεμι, σοὶ δὲ κυνῶν θηροφόνων ἔμελε.

VIII. p. 187.

Ἴστω νυκτὸς ἐμῆς, ἥ μ᾽ ἔκρυφεν, αἰκία ταύτης
λάϊνα, Κωκυτοῦ τ᾽ ἀμφιγόητον ὕδωρ,
οὔτι μ᾽ ἀνὴρ, ὃ λέγουσι, κατέκτανεν, ἐς γάμον ἄλλης
παπταίνων· τί μάτην οὔνομα δ᾽ ἐξερέω;

T. II. ἀλλ' ἐμὲ Κῆρες ἄγουσι μεμορμέναι. οὐ μία δήπου
Παῦλα Ταραντίνη κάτθανεν ὠκύμορος.

IX.

Ἡμιτελῆ θάλαμόν τε, καὶ ἐγγύθι νυμφικὰ λέκτρα,
κοῦρε, λιπὼν, ὀλοὴν οἶμον ἔβης Ἀΐδου.
Θύνιον Ἀστακίην δὲ μέγ' ἤκαχες, ἥ σε μάλιστα
οἰκτρὰ τὸν ἡβητὴν κώκυεν ἠΐθεον,
Ἱππάρχου κλαίουσα κακὸν μόρον, εἴκοσι ποίας
μοῦνον ἐπεὶ βιότου πλήσαο καὶ πίσυρας.

X.

Τοῦτο Θεμιστοκλεῖ κενὸν ἠρίον εἵσατο Μάγνης
λαὸς, ὅτ' ἐκ Μήδων πατρίδα ῥυσάμενος
ὀθνείην ὑπέδυ χθόνα καὶ λίθον. ἤθελεν οὕτως
ὁ φθόνος· αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.

XI.

Μὴ μέτρει Μάγνητι τὸ τηλίκον οὔνομα τύμβῳ,
μηδὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω.
τεκμαίρου Σαλαμῖνι καὶ ὁλκάσι τὸν φιλόπατριν,
γνώσῃ δ' ἐκ τούτων μείζονα Κεκροπίης.

p. 188. XII.

Αἰσχύλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖσθαι
τὸν μέγαν, οἰκείης τῆλ' ἀπὸ Κεκροπίης,
λευκὰ Γέλα Σικελοῖο παρ' ὕδατα. τίς φθόνος ἀστῶν
Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;

XIII.

Βάκχῳ καὶ Μούσῃσι μεμηλότα, τὸν Διοπείθους,
Κεκροπίδην ὑπ' ἐμοὶ, ξεῖνε, Μένανδρον ἔχω,

ἐν πυρὶ τὴν ὀλίγην ὅς ἔχει κόνιν. εἰ δὲ Μένανδρον T. II.
δίζηαι, δήεις ἐν Διὸς, ἢ μακάρων.

XIV.

Ιφθίμῳ τόδ' ἐπ' ἀνδρὶ φίλη πόλις ἤνυσ' Ἀχαιῷ
γράμμα, παρ' εὐύδρου νάμασιν Ἀσκανίης.
κλαῦσε δέ 'μιν Νίκαια· πατὴρ δ' ἐπί οἱ Διομήδης
λάϊνον ὑψιφαῆ τόνδ' ἀνέτεινε τάφον,
δύσμορος, αἰάζων ὀλοὸν κακόν. ἢ γὰρ ἐῴκει
υἱέα οἱ τίνειν ταῦτα κατοιχομένῳ.

XV.

Κλίμακος ἐξ ὀλίγης ὀλίγον βρέφος ἐν Διοδώρου
κάππεσεν, ἐκ δ' ἐάγη καίριον ἀστράγαλον,
δινηθεὶς προκάρηνος. ἐπεὶ δ' ἴδεθ' εἶε ἄνακτα
ἀντόμενον, παιδνὰς αὐτίκ' ἔτεινε χέρας.
ἀλλὰ σὺ νηπιάχου δμωὸς, κόνι, μήποτε βρίθειν
ὀστέα, τοῦ διέτους φειδομένη Κόρακος.

XVI. p. 189.

Ερῥοις Ἰονίοιο πολυπτοίητε θάλασσα,
νηλειὴς, Ἀΐδεω πορθμὲ κελαινοτάτου,
ἢ τόσσους κατέδεξο. τίς ἂν τεὰ κάμμορε λέξαι
αἴσυλα, δυστήνων αἶσαν ὀπιζόμενος;
Αἰγέα καὶ Λαβέωνα σὺν ὠκυμόροισιν ἑταίροις
νηί τε σὺν πάσῃ βρύξας ἁλιῤῥοθίῃ.

XVI. 2. Vat. Cod. νηλὴς, Ἀΐδεω.

T. II.

ΑΚΗΡΑΤΟΥ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἕκτορ Ὁμηρείοισιν ἀεὶ βεβοημένε βίβλοις,
θειοδόμου τείχευς ἕρκος ἐρυμνότατον,
ἐν σοὶ Μαιονίδης ἀνεπαύσατο· σοῦ δὲ θανόντος,
Ἕκτορ, ἐσιγήθη καὶ σελὶς Ἰλιάδος.

p. 193.

ΛΕΩΝΙΔΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ.

I.

Ὁ Ζεὺς Αἰθιόπων πάλι τέρπεται εἰλαπίναισιν,
ἢ χρυσὸς Δανάης εἴρπυσεν εἰς θαλάμους·
θαῦμα γὰρ εἰ Περίανδρον ἰδὼν οὐχ ἥρπασε γαίης
τὸν καλόν· ἢ φιλόπαις οὐκ ἔτι νῦν ὁ θεός.

II.

Μάντιες ἀστερόεσσαν ὅσοι ζητεῖτε κέλευθον,
ἔῤῥοιτ' εἰκαίης ψευδολόγοι σοφίης.
ὑμέας ἀφροσύνη μαιώσατο, τόλμα δ' ἔτικτε,
τλήμονας, οὐδ' ἰδίην εἰδότας ἀκλείην.

III.

Ἰχθὺν ὁ γρυπὸς Σωσίπολις οὐκ ἀγοράζει,
προῖκα δ' ἔχει πολλὴν ἐξ ἁλὸς εὐβοσίην,

ἢ λίνον, ἢ κάλαμον προσάγων, τῇ ῥινὶ δὲ προσθεὶς T. II.
ἄγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

IV.

Ζηνογένους οἶκος κατεκαίετο, πολλὰ δ' ἐμόχθει
ἐκ θυρίδος ζητῶν αὐτὸν ὑπεκχαλάσαι.
ἰκρία συμπήξας οὐκ ἔφθανεν· ὀψὲ δ' ἐπιγνοὺς,
τὴν ῥῖν' Ἀντιμάχου κλίμακα θεὶς, ἔφυγε.

V. p. 191.

Εἰκόνα Μηνοδότου γράψας Διόδωρος ἔθηκε,
πλὴν τοῦ Μηνοδότου, πᾶσιν ὁμοιοτάτην.

VI.

Σιμύλος ὁ ψάλτης τοὺς γείτονας ἔκτανε πάντας,
νυκτὸς ὅλης ψάλλων, πλὴν ἑνὸς Ὠριγένους.
κωφὸν γὰρ φύσις αὐτὸν ἐθήκατο· τοὔνεκεν αὐτῷ
ζωὴν ἀντ' ἀκοῆς δῶκε περισσοτέρην.

VII.

Γρῆϋν ἔγημε Φιλῖνος, ὅτ' ἦν νέος· ἡνίκα πρέσβυς,
δωδεκέτιν· Παφίῃ δ' ὥριος οὐδέποτε.
καὶ γὰρ ἄπαις διέμεινε τότε σπείρων ἐς ἄκαρπα·
νῦν δ' ἑτέροις γήμας, ἀμφοτέρων τέρεται.

VIII.

Οὐράνιον μίμημα γενεθλιακαῖσιν ἐν ὥραις
τοῦτ' ἀπὸ Νειλογενοῦς δέξο Λεωνίδεω,
Ποππαία, Διὸς εὖνι, Σεβαστιάς· εὔαδε γάρ τοι
δῶρα, τὰ καὶ λέκτρων ἄξια καὶ σοφίης.

T. II.

IX.

Νεῖλος ἑορτάζει παρὰ Θύμβριδος ἱερὸν ὕδωρ,
εὐξάμενος θύσειν Καίσαρι σωζομένῳ.
οἱ δ' ἑκατὸν βουπλῆγες ἐκύσσαν αὐχένα ταύρων
ᾕμαξαν βωμοῖς Οὐρανίοιο Διός.

p. 192.

X.

Ὑδατά σοι Κοτίλεια γενέθλιον ἦμαρ δρῶντι,
Καῖσαρ, ἐπιβλύζοι ζωρὸν ἀκεστορίην,
ὄφρα σε κόσμος ἅπας πάππου τρισὶν αὐγάζηται,
ὡς πατέρα τρισσῆς εἴσιδεν εὐτοκίης.

XI.

Λύκτιον ἰοδόκην καὶ καμπύλον, Ἄρτεμι, τόξον
Νῖκις ὁ Λυσιμάχου παῖς ἀνέθηκε Λίβυς.
ἰὰς γὰρ πλήθοντας ἀνὰ λαγόνεσσι φαρέτρης
δορκάσι καὶ βαλίαις ἐξεκένωσ' ἐλάφοις.

* XII.

Χειμερίην διὰ νύκτα, χαλαζήεντά τε συρμὸν,
καὶ νιφετὸν φεύγων, καὶ κρυόεντα πάγον,
μουνολέων, καὶ δὴ κεκακωμένος ἀθρόα γυῖα,
ἦλθε φιλοκρήμνων αὖλιν ἐς αἰγονόμων.
οἱ δ' οὐκ ἀμφ' αἰγῶν μεμελημένοι, ἀλλὰ περὶ σφέων,
εἵατο σωτῆρα Ζῆν' ἐπικεκλόμενοι.
χεῖμα δὲ θὴρ μείνας διανύκτιος, οὔτε τιν' ἀνδρῶν
οὔτε βοτῶν βλάψας, ᾤχετ' ἀπαυλόσυνος.

εὐ

XI. 4. Cod. Vat. βαλίῃς.
XII. 7. χ. δὲ θὴρ μ. θὴρ νύκτιος. Cod. Vat. 8. Id. Cod. ἐπαυ-λόσυνος.

σοὶ δὲ πάθης ἔργον τόδ' ἐΰγραφὲς ἀκρολοφίτῃ T. II.
Ζανὶ, παρ' εὐπρέμνῳ τῷδ' ἀνέθεντο δρυΐ.

XIII.

Τὴν τριτάτην χαρίτων ἐπ' ἐμεῦ πάλι λάμβανε βίβλον,
Καῖσαρ, ἰσηρίθμου σύμβολον εὐεπίης,
Νεῖλος ὅπως καὶ τήνδε δι' Ἑλλάδος ἰθύνουσαν
τῇ χθονίῃ πέμψῃ δῶρον ἀοιδότατον.

XIV. p. 193.

Οἴγνυμεν ἐξ ἑτέρης στόμα πίδακος, ὥστ' ἀρύσασθαι
ξεῖνον μουσοπόλου γράμμα Λεωνίδεω.
δίστιχα γὰρ ψήφοισιν ἰσάζεται. ἀλλὰ σὺ, Μῶμε,
ἔξιθι, κεἰς ἑτέρους ὀξὺν ὀδόντα βάλε.

XV.

Ἐν ἑνὶ κινδύνους ἔφυγον δύο Μυρτίλος ὅπλῳ,
τὸν μὲν, ἀριστεύσας· τὸν δ', ἐπινηξάμενος,
Ἀργείοις ὅτ' ἔδυσε νεὼς τρόπιν. ἀσπίδα δ' ἔσχεν
σωθεὶς κεκριμένην ὕδατι καὶ πολέμῳ.

XVI.

Πέτρος ἔτ' ἐν Σιπύλῳ Νιόβη θρήνοισιν ἀλάζει,
ἑπτὰ δὶς ὠδίνων μυρομένη θάνατον·
λήξει δ' οὐδ' αἰῶνι γόου. τί δ' ἀλαζόνα μῦθον
φθέγξατο, τὸν ζωῆς ἅρπαγα καὶ τεκέων;

XIII. 4. Vat. Cod. πέμψει.
XVI. 3. Vat. Cod. γόων.

T. II. XVII.

Θύει σοι τόδε γράμμα γενεθλιακαῖσιν ἐν ὥραις,
Καῖσαρ, Νειλαίη Μοῦσα Λεωνίδεω.
Καλλιόπης γὰρ ἄκαπνον ἀεὶ θύος. εἰς δὲ νέωτα,
ἢν ἐθέλῃς, θύσει τοῦδε περισσότερα.

XVIII.

Τήνδε Λεωνίδεω θαλερὴν πάλι δέρκεο Μοῦσαν
δίστιχον, εὐθίκτου παίγνιον εὐεπίης.
ἔσται δ' ἐν Κρονίοις Μάρκῳ περικαλλὲς ἄθυρμα
τοῦτο, καὶ ἐν δείπνοις, καὶ παρὰ μυσοπόλοις.

p. 194. XIX.

Πέμματα τίς λιπόωντα, τίς Ἀρεϊ τῷ πτολιπόρθῳ
βότρυς, τίς δὲ ῥόδων θῆκεν ἐμοὶ κάλυκας;
Νύμφαις ταῦτα φέροι τις. ἀναιμάκτους δὲ θυηλὰς
οὐ δέχομαι βωμοῖς ὁ θρασύμητις Ἄρης.

XX.

Ἄλλος ἀπὸ σταλίκων, ὁ δ' ἀπ' ἠέρος, ὃς δ' ἀπὸ πόντου,
Εὔπολι, σοὶ πέμπει δῶρα γενεθλίδια.
ἀλλ' ἐμέθεν δέξαι Μουσέων στίχον, ὅστις ἐς αἰεὶ
μίμνει, καὶ φιλίης σῆμα, καὶ εὐμαθίης.

XXI.

Ἄλλος μὲν κρύσταλλον, ὁ δ' ἄργυρον, οἱ δὲ τοπάζους
πέμψουσι, πλούτου δῶρα γενεθλίδια.
ἀλλ' ἴδ', Ἀγριππίνη, δύο δίστιχα μοῦνον ἰσώσας,
ἀρκοῦμαι δώροις, ἃ φθόνος οὐ δαμάσει.

XXII. T. III.

Εἷς πρὸς ἕνα ψήφοισιν ἰσάζεται, οὐ δύο δισσοῖς.
οὐ γὰρ ἔτι στέργω τὴν δολιχογραφίην.

XXIII.

ΜΟΥΣΑΩΝ ΕΛΙΚΩΝΙΑΔΩΝ ΑΡΧΩΜΕΘ' ΑΕΙΔΕΙΝ
ἔγραφε ποιμαίνων, ὡς λόγος, Ησίοδος.
ΜΗΝΙΝ ΑΕΙΔΕ ΘΕΑ καὶ ΑΝΔΡΑ ΜΟΙ ΕΝΝΕΠΕ ΜΟΥΣΑ
εἶπεν Ομηρείῳ Καλλιόπη στόματι.
κἀμὲ δὲ δεῖ γράψαι τι προοίμιον. ἀλλὰ τί γράψω,
δεύτερον ἐκδιδόναι βιβλίον ἀρχόμενος;
Μοῦσαι Ολυμπιάδες, κοῦραι Διός, οὐκ ἂν ἐσώθην, p. 195.
εἰ μή μοι Καῖσαρ χαλκὸν ἔδωκε Νέρων.

XXIV.

Εἰς Ἀφροδίτην ὡπλισμένην.

Ἄρεος ἔντεα ταῦτα τίνος χάριν, ὦ Κυθέρεια,
ἐνδέδυσαι, κενεὸν τοῦτο φέρουσα βάρος;
αὐτὸν Ἄρη γυμνὴ γὰρ ἀφώπλισας· εἰ δὲ λέλειπται
καὶ θεὸς, ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

XXV.

Ἠτρία μοι βύβλων χιονώδεα σὺν καλάμοισι
πέμπεις, Νειλορύτου δῶρον ἀπὸ προβολῆς.
μουσοπόλῳ δ' ἀτελῆ, Διονύσιε, μηκέτι πέμπε
ὄργανα. τίς τούτων χρῆσις ἄτερ μέλανος;

XXVI.

Καὶ λόγον ἱστορίῃ κοσμούμενον ἠκρίβωσας,
καὶ βίον ἐν φιλίῃ, Πάππε, βεβαιότατον.

T. II. τοῦτο δ' ἑορτάζοντι γενέθλιον ἠριγένειαν
δῶρον ὁ Νειλαιεὺς πέμπει ἐπεσβόλος.

XXVII.

Ἦν ὁπότε γραμμαῖσιν ἐμὴν φρένα μοῦσαν ἔγειρον,
οὐδ' ὄναρ αἰγυπτίαις γνώριμος Ἰταλίδας·
ἀλλὰ τεῶν πάντεσσιν ἀρέσκομαι. ὀψὲ γὰρ ἔγνων
ἀστέσιν Οὐρανίης Καλλιόπη προφέρειν.

XXVIII.

p. 196. Οὐδ' εἴ μοι γελόωσα κατεστορέσειε Γαλήνη
κύματα, καὶ μαλακὴν φρῖκα φέροι Ζέφυρος,
νηοβάτην μ' ἕψεσθε· δέδοικα γὰρ ὡς πάρος ἔπλων
κινδύνοις, ἀνέμοις ἀντιπορευσόμενος.

XXIX.

Λυσίστης ὁ νεογνὸς ἐπὶ κρημνοῦ πάϊς ἕρπων,
Λευκανιακτίης ἤρχετο δυσμορίης·
ἡ δὲ μεθωδήγησεν, ἀπὸ τέρμων προφέρουσα
μαζὸν, τὸν λιμοῦ ῥύτορα καὶ θανάτου.

XXX.

Φεύγεθ' ὑπ' ἐκ καλύβης, σκότιοι μύες· οὔτι πενιχρὴ
μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω.
αὐτάρκης ὁ πρέσβυς ἔχειν ἅλα καὶ δύο κρῖμνα·
ἐκ πατέρων ταύτην ᾐνέσαμεν βιοτήν.
τῷ τί μεταλλεύεις τοῦτον μυχὸν, ὦ φιλόλιχνε,
οὐδ' ἀποδειπνιδίου γευσόμενος σκυβάλου;

XXVII. 4. Codd. Οὐρανίην.
XXX. Leonidae Tarentini eſt hoc carmen. 3. Scr. ex Suida ἔχων. 5. Codd. φιλόλυχνε.

σπεύδων εἰς ἄλλους οἴκους ἴθι· τἀμὰ δὲ λιτά· Τ. II.
ὧν ἄπο πλειοτέρην οἴσεαι ἀρμαλίην.

XXXI.

Οὐ τόσον Ἀθάμας ἐπεμήνατο παιδὶ Λεάρχῳ,
ὅσσον ὁ Μηδείης θυμὸς ἐτεκνοφόνει,
ζῆλος ἐπεὶ μανίης μεῖζον κακόν· εἰ δὲ φονεύει
ἡ μήτηρ, ἐν τίνι νῦν πίστις ἔτ' ἐστὶ τέκνων;

XXXII. p. 197.

Μὴ πάλι μοι μετὰ δόρπον, ὅτ' οὐκέτι γαστέρα πείθω,
οὔθατα καὶ χοίρων ἄρτι τίθει τεμάχη.
οὐδὲ γὰρ ἐργοπόνοισι μετὰ στάχυν ὄμβρος ἄκαιρος
χρήσιμος, οὐ ναύταις ἐν λιμένι Ζέφυρος.

XXXIII.

Ανατρέφον, ἢ Ανακυκλικόν.

Οἰδιπόδης κάσις ἦν τεκέων, καὶ μητέρι πόσσις
γίνετο, καὶ παλάμης ἦν τυφλὸς ἐκ σφετέρης.

XXXIV.

Τυφλὸς ἀλητεύων χωλὸν πόδας ἠέρταζεν,
ὄμμασιν ἀλλοτρίοις ἀντερανιζόμενος.
ἄμφω δ' ἡμιτελεῖς πρὸς ἑνὸς φύσιν ἡρμόσθησαν,
τοὐλλιπὲς ἀλλήλοις ἀντιπαρασχόμενοι.

XXXV.

Ον πόλεμος δειλοὺς οὐκ ὤλεσε, νῦν ὑπὸ νούσου
θλίβομαι, ἐν δ' ἰδίῳ τήκομ' ὅλος πολέμῳ.
ἀλλὰ διὰ στέρνων ἴθι φάσγανον· ὡς γὰρ ἀριστεὺς
θνήξομ', ἀπωσάμενος καὶ νόσον ὡς πόλεμον.

XXXI. 1. Fort. οὐχὶ τόσον A.

T. II. XXXVI.

Οὐ μόνον εὐάροτον βόες οἴδαμεν αὔλακα τέμνειν,
 ἀλλ' ἴδε κὴκ πόντου νῆας ἐφελκόμεθα·
ἔργα γὰρ εἰρήνης δεδιδάγμεθα. καὶ σὺ, θάλασσα,
 δελφῖνας γαίῃ ζεῦξον ἀροτροφορεῖν.

p. 198. XXXVII.

Ἀρκεῖ μοι γαίης μικρὴ κόνις· ἡ δὲ περισσὴ
 ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον
στήλη, τὸ σκληρὸν νεκρῶν βάρος. οἵ με θανόντα
 γνώσοντ', Ἀλκάνδρῳ τοῦθ' ὅτι Καλλιτέλευς.

XXXVIII.

Τὰν στάλαν ἐχάραξε Βιάνωρ οὐκ ἐπὶ ματρί,
 οὐδ' ἐπὶ τῷ γενέτᾳ, πότμον ὀφειλόμενον·
παρθενικᾷ δ' ἐπὶ παιδί. κατέστενε δ', οὐχ Ὑμεναίῳ,
 ἀλλ' Ἀΐδᾳ νύμφαν δωδεκέτιν κατάγων.

XXXIX.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Τὴν ἐπ' ἐμεῦ στήλην παραμείβεο, μήτ' ἐμὲ χαίρειν
 εἰπὼν, μήθ' ὅστις μ', ἢ τίνος ἐξετάσας.
ἢ μὴ τὴν ἀνύεις τελέσαις ὁδόν· ἢν δὲ παρέλθῃς
 σιγῇ, μηδ' οὕτως ἣν ἀνύεις τελέσαις.

XL.

Ἄτρομος ἐκ τύμβου λῦε πείσματα ναυηγοῖο·
 χἠμῶν ὀλλυμένων ἄλλος ἐνηοπόρει.

XLI.

Ἡ παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
 εἰς Ἀΐδην, πολλῆς ἡλικίης προτέρη,

δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφὸν, T. II.
νήπιον, ἀστόργου γευσάμενον θανάτου.
αἲ αἴ, λυγρὰ παθοῦσα Περιστερὴ, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ δεινότατα.

XLII. p. 199.

Ο σταφυλοκλοπίδας Εκατώνυμος εἰς Αΐδαο
ἔδραμε, μαστιχθεὶς κλήματι φωριδίῳ.

XLIII.

αΤίς Δαίμων Αργεῖος ἐπ' ἠρίῳ; ἢ ῥα σύναιμος
ἐστὶ Δικαιοτέλευς; β ἐστὶ Δικαιοτέλευς.
αἠχὼ τοῦτ' ἐλάλησε πανύστατον, ἦ τόδ' ἀληθές;
κεῖνος ὅδ' ἐστὶν ἀνήρ; β κεῖνος ὅδ' ἐστὶν ἀνήρ.

Κ Α Π Ι Τ Ω Ν Ο Σ.

Κάλλος ἄνευ χαρίτων τέρπει μόνον, οὐ κατέχει δὲ,
ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.

XLI. 5. Cod. Vat. Περιστερή. Etiam hoc carmen Leonidae Tarentini eſſe videtur.
XLIII. 3. Vatic. Cod. bis Δικαιοτέλευς.

T. II. p. 200.

ΚΟΡΝΗΛΙΟΥ ΛΟΓΓΙΝΟΥ.

ψ

I.

Ἐκ πενίης, ὡς οἶσθα, ἀκραιφνέος, ἀλλὰ δικαίης,
Κύπρι, ταῦτα δέχευ δῶρα Λεωνίδεω,
πορφυρέην ταύτην ἐπιφυλλίδα, τήν θ' ἁλίπαστον
δρύπεπα, καὶ ψαιστῶν τὴν νομίμην θυσίην,
σπονδήν θ', ἣν ἀσάλευτον ἀφύλισα, καὶ τὰ μελιχρὰ
σῦκα· σὺ δ' ὡς νούσου, ῥῦσαι καὶ πενίης.
καὶ τότε βουθυτέοντά μ' ἐσόψεαι. ἀλλὰ σύ, δαῖμον,
σπεύδοις ἀντιλαβεῖν τὴν ἀπ' ἐμεῦ χάριτα.

II.

vs. γεγρ' ἰδὼν ὡς tam. quam verum Cyn. — h. e. sine manibus. Victor Jacobs in Anim. T. II. P. II. p. 110.

Οὔ σε, μάκαρ Κυνέγειρε, καθὼς Κυνέγειρον ἔγραψε
Φᾶσις, ἐπεὶ βριαραῖς ἄνθετο σὺν παλάμαις·
ἀλλὰ σοφός τις ἔην ὁ ζωγράφος, οὐδέ σε χειρῶν
νόσφισε, τὸν χειρῶν εἵνεκεν ἀθάνατον.

p. 201.

ΠΑΡΜΕΝΙΩΝΟΣ
ΜΑΚΕΔΟΝΟΣ.

ψ

I.

Φημὶ πολυστιχίην ἐπιγράμματος οὐ κατὰ Μούσας
εἶναι. μὴ ζητεῖτ' ἐν σταδίῳ δολιχόν.
πολλ' ἀνακυκλεῖται δολιχὸς δρόμος· ἐν σταδίῳ δὲ
ὀξὺς ἐλαυνόμενος, πνεύματός ἐστι τόνος.

II. T. II.

Εἰς Δανάην ἔῤῥευσας, Ὀλύμπιε, χρυσὸς, ἵν' ἡ παῖς
ὡς δώρῳ πεισθῇ, μὴ τρέσῃ ὡς Κρονίδην.

III.

Ὁ Ζεὺς τὴν Δανάην χρυσῷ· κἀγὼ δέ σε χρυσῷ.
πλείονα γὰρ δοῦναι τοῦ Διὸς οὐ δύναμαι.

IV.

Λιμοῦ καὶ γραίης χαλεπὴ κρίσις. ἀργαλέον μὲν
πεινῆν, καὶ κοίτη δ' ἔστ' ὀδυνηροτέρα.
πεινῶν εὔχετο γραῦν· κοιμώμενος εὔχετο λιμὸν
Φίλλις, ἰδ' ἀκλήρου παιδὸς ἀνωμαλίην.

V. p. 202.

Εἰς ἄγαλμα Ἥρας.

Ὠργεῖος Πολύκλειτος, ὁ καὶ μόνος ὄμμασιν Ἥρην
ἀθρήσας, καὶ ὅσην εἶδε τυπωσάμενος,
θνητοῖς κάλλος ἔδειξεν, ὅσον θέμις· αἱ δ' ὑπὸ κόλποις
ἄγνωστοι μορφαὶ Ζηνὶ φυλασσόμεθα.

VI.

Εἰς τὸ ἐν Ἀθήναις Νεμέσεως ἄγαλμα.

Μήδοις ἐλπισθεῖσα τροπαιοφόρος λίθος εἶναι,
ἠλλάχθην μορφὴν καίριον εἰς Νέμεσιν,
ἔνδικος ἱδρυνθεῖσα θεὰ Ῥαμνοῦντος ἐπ' ὄχθαις,
νίκης καὶ σοφίης Ἀτθίδι μαρτύριον.

VII.

Μητρυιῆς δύσμηνις ἀεὶ χόλος, οὐδ' ἐν ἔρωτι
ἤπιος. οἶδα πάθη σώφρονος Ἱππολύτου.

T. II.

VIII.

Παιδὸς ἀφ' ὑψηλῶν κεράμων ὑπὲρ ἄκρα μέτωπα
κύπτοντος, (Μοῖρα νηπιάχοις ἄφοβον)
μήτηρ ἐξόπιθεν μαζῷ μετέτρεψε νόημα.
δὶς δὲ τέκνῳ ζωὴν ἐγκεχάριστο γάλα.

IX.

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις
ναύτην ἠπείρου, πεζοπόρον πελάγους,
ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστεγεν Ἄρης
Σπάρτης. αἰσχύνεσθ' οὔρεα καὶ πελάγη.

p. 203.

X.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας, οὐδὲ τραπέζαις
θυλεύσω, Μουσέων ἄνθεα βοσκόμενος.
μισῶ πλοῦτον ἄνουν, κολάκων τροφὸν, οὐδὲ παρ' ὀφρῦν
τήσομαι· οἶδ' ὀλίγης δαιτὸς ἐλευθερίην.

XI.

Οἱ κόρεις ἄχρι κόρου κορέσαντό μου. ἀλλ' ἐκορέσθην
ἄχρι κόρου κᾀυτὸς τοὺς κόρεις ἐκκορίσας.

XII.

Φῆσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴπερ ἀληθὴς
Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

XIII.

Εἰς Ἑλένην τινὰ παρθένον τελευτήσασαν.

Παρθενικῆς τάφος εἰμ' Ἑλένης, πένθει δ' ἐπ' ἀδελφοῦ
Αἴδης τὴν δειλῆς ἔφθασε παρθενίην.

XIII. 2. Vat. Cod. τὴν προπαλῆς ἔφθασε.

εἰς δὲ γόνυς Τρένιος ἐπαύσατο· τὰς δὲ γαμόντων T. II.

ἐλπίδας ἐ θάλαμος κοίμισεν, ἀλλὰ τάφος.

XIV.

Παρθενικῆς τάφος εἰμ' Ελένης, πένθει δ' ἐπ' ἀδελφῦ

προφθιμένυ διπλόα μητρὸς ἔχω δάκρυα.

μνηστῆρσι δ' ἔλιπον κοίν' ἄλγεα. τὴν γὰρ ἔτ' ὄπω

ὐδενὸς ἡ πάντων ἐλπὶς ἔκλαυσεν ἴσως.

XV. Lect. p. 177.

Αὐτῷ τῇ γήμας πιθανὴν τῷ γείτονι ῥέγχει,

καὶ τρέφεται· τῦτ' ἦν εὔκολος ἐργασία,

μὴ πλεῖν, μὴ σκάπτειν, ἀλλ' εὐστομάχως ἀπορέγχειν

ἀλλοτρίῳ δαπάνῃ πλέσια βοσκόμενον.

ΑΝΤΙΦΑΝΟΥΣ T. II. p.

ΜΑΚΕΔΟΝΟΣ.

I.

Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαςῶν,

Ινώ, λυσαμένη κεςὸν ἔδωκεν ἔχειν,

ὡς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς

ἀνέρας. ἐχρήσω δ' εἰς ἐμὲ πᾶσι μόνον.

I. a T. III. p. 331.

Ω θηρῶν βροτὲ μᾶλλον ἀνήμερε, πάντα σε μισεῖ,

παντολέτορ· πάντῃ δ' ἐκδέχεταί σε μόρος.

XV. 1. Pro αὐτῷ τῇ nomen viri desiderari videtur. 4. Scr. ἀλλοτρίῳ.

ἢν ἐπὶ γῆς φεύγῃς, ἐγγὺς λύκος· ἢν δὲ πρὸς ὕψος
δενδροβατῇς, ἀσπὶς δεῖμ' ὕπερ ἀκρεμόνων.
πειράζεις καὶ Νεῖλον; ὁ δ' ἐν δίναις κροκόδειλον
ἔτρεφεν, εἰς ἀσεβεῖς θῆρα δικαιότατον.

T.II p.204. II.

Ἀνθρώποις ὀλίγος μὲν ὁ πᾶς χρόνος, ὃν ποτε δειλοὶ
ζῶμεν, κἢν πολιὸν γῆρας ἅπασι μένῃ·
τῆς δ' ἀκμῆς καὶ μᾶλλον. ὅτ' οὖν χρόνος ὥριος ἡμῖν,
πάντα χύδην ἔστω, ψαλμός, ἔρως, προπόσεις.
χειμὼν τοὐντεῦθεν, γήρως βάρος· οὐδὲ δέκα μνῶν
στύσεις· τοιαύτη σ' ἐκδέχετ' ὀρχιπέδη.

III.

Εἴ τινα μὴ τέρπει λωτός, χέλυς, ἢ γλυκὺς ἦχος
ψαλμῶν, ἢ τριγέρων νεκτάρεος Βρόμιος,
παρθενικαί, κοῦροι, στέφανοι, μύρα, λιτὰ δὲ δειπνῶν
λαθρέποδας τρώκταις χερσὶ τίθησι τόκους,
οὗτος ἐμοὶ τέθνηκεν· ἀκίνητιν δὲ παρέρπω
νεκρὸν, ἐς ἀλλοτρίους φειδόμενον φάρυγας.

p. 205. IV.

Ψηφίζεις κακόδαιμον· ὁ δὲ χρόνος, ὡς τόκον, οὕτω
καὶ πολιὸν τίκτει γῆρας ἐπερχόμενος·
κοὔτε πιών, οὔτ' ἄνθος ἐπὶ κροτάφοις ἀναδήσας,
οὐ μύρον, οὐ γλαφυρὸν γνούς ποτ' ἐρωμένιον,
τεθνήξῃ, πλουτοῦσαν ἀφεὶς μεγάλην διαθήκην,
ἐκ πολλῶν ὀβολὸν μοῦνον ἐνεγκάμενος.

III. 1. Cod. λωτὲ χέλυς. 4. Cod. λατρεπόδας τρώκτας. 5. Cod. τέθνηκε, περίμνηστιν.

V.

T. II.

Γραμματικῶν περίεργα γένη, ῥιζωρύχα μούσης
ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται,
τῶν μεγάλων κηλῖδες, ἐπ' Ἠρίννῃ δὲ κομῶντες,
πικροὶ καὶ ξηροὶ Καλλιμάχου πρόκυνες,
ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισιν,
ἔρροιτ' εὐφώνων λαθροδάκναι κόρεις.

VI.

Νηὸς ἁλιτρέπτου πλαγκτὸν κύτος εἶδεν ἐπ' ἀκτῆς
μηλοβότης, βλοσυροῖς κύμασι συρόμενον,
χεῖρα δ' ἐπέρριψεν· τὸ δ' ἀπεσπάσατ' ἐς βυθὸν ἅλμης
τὸν σώζονθ'· οὕτως πᾶσιν ἀπηχθάνετο.
ναυηγὸν δ' ὁ νομεὺς ἔσχε μόρον. ὢ δι' ἐκείνην
καὶ δρυμοὶ χῆροι πορθμίδα, καὶ λιμένες.

VII.

Ἡ πάρος εὐύδροισι λιβαζομένη προχοαῖσι,
πτωχὴ νῦν Νυμφῶν, μέχρι καὶ εἰς σταγόνα.
λυθρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράσας·
ἐξ οὗ μοι κοῦραι φύγον ἤλιον, Εἰς ἕνα Βάκχον, p. 206.
εἰποῦσαι, Νύμφαι μισγόμεθ', οὐκ ἐς Ἄρη.

VIII.

Ἡμισύ μου ζώειν ἐδόκουν ἔτι, κεῖνο δ' ἔφυσεν
ἓν μόνον αἰπυτάτου μῆλον ἐπ' ἀκρέμονος·
ἡ δὲ κύων δένδρων καρποφθόρος, ἡ πτιλόνωτος
κάμπη, καὶ τὸ μόνον βάσκανος ἐξέφαγεν.

T. II. ὁ φθόνος εἰς πολὺν ὄχλον ἀπέβλεπεν· ὃς δὲ τὰ μικρὰ
πορθεῖ, τοῦτον ἄγει οὐ φθόνος, ἀλλὰ φθόρος.

IX.

Δυσμοίρων θαλάμων ἐπὶ παστάσιν οὐχ Ὑμέναιος,
ἀλλ' Ἀΐδης ἔστη πικρογάμου Πετάλης.
δείματι γὰρ μούνην πρωτόζυγα Κύπριν ἀν' ὄρφνην
φεύγουσαν, ξυνὸν παρθενικαῖσι φόβον,
φρουροδόμοι νηλεῖς κύνες ἔκτανον· ἣν δὲ γυναῖκα
ἐλπὶς ἰδεῖν, ἄφνω ἔσχομεν οὐδὲ νέκυν.

---

p. 207. ΑΥΤΟΜΕΔΟΝΤΟΣ
ΚΥΖΙΚΗΝΟΥ.

I.

Πρὸς τὸν παιδοτρίβην Δημήτριον ἐχθὲς ἐδείπνουν,
πάντων ἀνθρώπων τὸν μακαριστότατον.
εἷς αὐτοῦ κατέκειθ' ὑποκόλπιος, εἷς ὑπὲρ ὦμον,
εἷς ἔφερεν τὸ φαγεῖν, εἷς δὲ πιεῖν ἐδίδου·
ἡ τετρὰς ἡ περίβλεπτος. ἐγὼ παίζων δὲ πρὸς αὐτὸν
φημί· Σὺ καὶ νύκτωρ, φίλτατε, παιδοτριβεῖς;

II.

Πώγων, καὶ λάσιαι μηρῶν τρίχες, ὡς ταχὺ πάντα
ὁ χρόνος ἀλλάσσει· Κόννιχε, τοῦτ' ἐγένου.
οὐκ ἔλεγον· Μὴ πάντα βαρὺς θέλε, μηδὲ βάναυσος
γίνεο· ναὶ κάλλους εἰσί τινες Νεμέσεις;

II. 1. Cod. λάσια. 3. ἐκ βλείον. 4. ἐν καὶ καὶ κ.

ἤλθες ἔσω μάνδρης ὑπερήφανε. νῦν ὅτι βούλει T. II.
οἴδαμεν· ἀλλ' ἐξῆν καὶ τότ' ἔχειν σε φρένας.

III.

Τὴν ἀπὸ τῆς Ἀσίης ὀρχηστρίδα, τὴν κακοτέχνοις
σχήμασιν ἐξ ἁπαλῶν κινυμένην ὀνύχων,
αἰνέω, οὐχ ὅτι πάντα παθαίνεται, οὐδ' ὅτι βάλλει p. 208.
τὰς ἁπαλὰς ἁπαλῶς ὧδε καὶ ὧδε χέρας·
ἀλλ' ὅτι καὶ τρίβακον περὶ πάσσαλον ὀρχήσασθαι
οἶδε, καὶ οὐ φεύγει γηραλέας ῥυτίδας.
γλωττίζει, κνίζει, περιλαμβάνει· ἢν δ' ἐπιτρίψῃ
τὸ σκέλος, ἐξ ᾅδου τὴν κορύνην ἀνάγει.

III. a T. III. p. 331.

Πέμπε, κάλει· πάντ' ἐστὶν ἕτοιμά σοι. ἢν δέ τις ἔλθῃ,
τί πρήξεις; σαυτῷ δὸς λόγον, Αὐτόμεδον.
αὐτὴ γὰρ λαχάνου χαλεπωτέρη, ἡ πρὶν ἀκαμπής,
σαῦρα νεκρὰ μηρῶν πᾶσα δέδυκεν ἔσω.
πολλ' ἐπὶ σοι γελάσουσιν, ἀνάρμενος ἂν παραβάλλῃ
πλώειν, τὴν κώπην μηκέτ' ἔχων ἐρέτου.

IV. T. II. p. 208.

Ἄνθρωποι δείλης, ὅτε πίνομεν· ἢν δὲ γένηται
ὄρθρος, ἐπ' ἀλλήλους θῆρες ἐγειρόμεθα.

V.

Μέχρι τίνος, Πολύκαρπε, κενῆς παράσιτε τραπέζης,
λήσεις κερματίοις χρώμενος ἀλλοτρίοις;

II. 5. νῦν ὅτε β.
III. a 3. Cod. αὐτη γὰρ λαχάνοισι σαρωτέρη πρὶν ἀκάμης ζῶσα νεκρά.

T. II. οὐ γὰρ ἔτ' εἰν ἀγορῇ σε βλέπω πολὺν, ἀλλ' ὑποκάμπτεις
ἤδη, καὶ ζητεῖς ποῦ σε φέρουσι πόδες.
πᾶσιν ἐπαγγέλλῃ· Κόμισαι τὸ σὸν αὔριον, ἔρχου
καὶ λάβε. κοὐδ' ὀμόσας, οὐκ ἔτι πίστιν ἔχεις.
Κυζικόθεν σε φέρων ἄνεμος Σαμόθρᾳξι πέλασσεν·
τοῦτό σε τοῦ λοιποῦ τέρμα μένει βιότου.

VI.

Ἀνθρακίων δέκα μέτρα φέρων, ἔσο καὶ σὺ πολίτης·
ἢν δὲ καὶ οὖν ἀγάγῃς, αὐτὸς ὁ Τριπτόλεμος.
δεῖ δὲ καὶ Ηρακλείδῃ ὑφηγητῆρι δοθῆναι
ἢ καυλοὺς κράμβης, ἢ φακὸν, ἢ κοχλίας.
ταῦτ' ἔχε, καὶ λέγε σαυτὸν Ερεχθέα, Κέκροπα, Κόδρον,
ὃν κ' ἐθέλῃς· οὐδεὶς οὐδὲν ἐπιστρέφεται.

p. 209. VII.

Ἐχθὲς δειπνήσας τράγεον πόδα, καὶ δεκαταῖον
κανναβίνης κράμβης μήλινον ἀσπάραγον,
εἰπεῖν τὸν καλέσαντα φυλάσσομαι· ἔστι γὰρ ὀξὺς,
καὶ φόβος οὐχ ὁ τυχὼν, μή με πάλιν καλέσῃ.

VIII.

Α Δέξαι, Φοῖβε, τὸ δεῖπνον, ὅ σοι φέρω. Β ἢν τις ἐάσῃ,
δέξομαι. Α εἶτα φοβῇ καὶ σύ τι, Λητοΐδη;
Β οὐδένα τῶν ἄλλων, πλὴν Ἀῤῥίου· οὗτος ἔχει γὰρ
ἅρπαγος ἰκτίνου χεῖρα κραταιοτέρην.
ἐκνίσσου βωμοῖο νεωκόρος· ἢν τελέσῃ δὲ
τὴν πομπὴν, ἄρας ᾤχεθ' ἅπαντα πάλιν.

τῇ

V. 7. Vat. Cod. πέλαξεν. Fort. πελάζει.
VIII. 5. Cod. Vat. ἀνίσσου.

τῷ Διὸς ἀμβροσίῃ πολλὴ χάρις· εἷς γὰρ ἂν ὑμέων T. II.
ἤμην, εἰ λιμῷ καὶ θεὸς ἐσθάνετο.

IX.

Ἡμίονοι σύγγηροι ἐμὴν κομέουσιν ἀπήνην,
ταῖσιν Ὁμηρείοις πάντα Λιταῖς ἴκελαι,
χωλαί τε, ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμὼ,
Ἡφαίστου πομπὴ, σκύτινα δαιμόνια,
αἳ ποτε γευσάμεναι, μὰ τὸν Ἥλιον, οὐδ' ἐν ὀνείρῳ,
οὐ θέρεος κριθὴν, οὐκ ἔαρος βοτάνην.
τοὔνεκ' ἐμεῦ μὲν ἔχητε βίον, ζώοιτε κορώνης,
ἡμίονοι, κενεὴν ἠέρα βοσκόμεναι.

X.

Εὐδαίμων, πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων·
εἶτα δ' ὁ μὴ γήμας· τὸ τρίτον, ὅστις ἄπαις.
ἢν δὲ μανεὶς γήμῃ τις, ἔχει χάριν, ἢν κατορύξῃ p. 210.
εὐθὺς τὴν γαμετὴν, προῖκα λαβὼν μεγάλην.
ταῦτ' εἰδὼς σοφὸς ἴσθι· μάτην δ' Ἐπίκουρον ἔασον
ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

XI.

Νικήτης ὀλίγος μὲν, ἐπὶ προτόνοισιν ἀήτης
οἷά τε, πρηείης ἄρχεται ἐκ μελέτης.
ἀλλ' ὅταν ἐμπνεύσῃ, κατὰ δ' ἱστία πάντα φέρηται,
λαίφεα πακτώσας, μέσσα θέει πελάγη,
ναῦς ἅτε μυριόφορτος, ἕως ἐπὶ τέρματα μύθων
ἔλθῃ, ἀκυμάντους ἔμπορος εἰς λιμένας.

IX. 8. Cod. νέην ἤερα β. prima voce omiſſa. Scr. ἢ ἐλάφοι, κενεὴν —

T.II.p.211.

ΦΙΛΙΠΠΟΥ
ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

I.

Ἄνθεά σοι δρέψας Ἑλικώνια, καὶ κλυτοδένδρου
Πιερίης κείρας πρωτοφύτους κάλυκας,
καὶ σελίδος νεαρῆς θερίσας στάχυν, ἀντανέπλεξα
τοῖς Μελεαγρείοις ὡς ἴκελον στεφάνοις.
ἀλλὰ παλαιοτέρων εἰδὼς κλέος, ἐσθλὲ Κάμιλλε,
γνῶθι καὶ ὁπλοτέρων τὴν ὀλιγοστιχίην.
Ἀντίπατρος πρέψει στεφάνῳ στάχυς· ὡς δὲ κόρυμβος
Κριναγόρας· λάμψει δ' ὡς βότρυς Ἀντίφιλος·
Τύλλιος ὡς μελίλωτον· ἀμάρακον ὥς, Φιλόδημος·
μύρτα δ' ὁ Παρμενίων· ὡς ῥόδον Ἀντιφάνης·
κισσὸς δ' Αὐτομέδων· Ζωνᾶς κρίνα· δρῦς δὲ Βιάνωρ·
Ἀντίγονος δ' ἐλάη, καὶ Διόδωρος ἴον·
Εὐήνῳ δάφνην συνεπέπλεκα. τοὺς δὲ περισσοὺς
εἴκασον οἷς ἐθέλεις ἄνθεσιν ἀρτιφύτοις.

II.

Τὸν καλὸν ὡς ἰδόμαν Ἀρχέστρατον, οὐ μὰ τὸν Ἑρμᾶν,
οὐ καλὸν αὐτὸν ἔφαν, οὐ γὰρ ἄγαν ἐδόκει.
εἶπα, καὶ ἁ Νέμεσίς με συνάρπασε, κεὐθὺς ἔκειμαν
ἐν πυρὶ, παῖς δ' ἐς ἔμ', ὡς Ζεὺς, ἐκεραυνοβόλει.

II. 4. Cod. πᾶς δ' ἐν ἐμοὶ Ζεὺς ε. —

τὸν παῖδ' ἱλασόμεσθ', ἢ τὰν θεόν; ἀλλὰ θεῶ μοι T. II.
ἔϛιν ὁ παῖς κρείσσων. χαιρέτω ἁ Νέμεσις.

III. p. 212.

Ηνίκα μὲν καλὸς ἦς, Ἀρχέϛρατε, κἀμφὶ παρειαῖς
οἰνωπὸς ψυχὰς ἔφλεγες ἠϊθέων,
ἡμετέρης φιλίης ὐδεὶς λόγος· ἀλλὰ μετ' ἄλλων
παίζων, τὴν ἀκμὴν ὡς ῥόδον ἠφάνισας.
ὡς δ' ἐπιπερκάζεις μιαρῇ τριχὶ, νῦν φίλος ἐλθὼν
τὴν καλάμην δωρῇ, δὺς ἑτέροις τὸ θέρος.

IV.

Χαῖρε θεὰ Παφίη· σὴν γὰρ ἀεὶ δύναμιν,
κάλλος τ' ἀθάνατον, καὶ σέβας ἱμερόεν
πάντες τιμῶσι θνατοὶ ἐφημέριοι
πᾶσιν ἐνὶ μύθοις ἐργασίαις τε καλαῖς.
πάντη γὰρ πᾶσι σὴν φανεροῖς δύναμιν.

V.

Αγκυραν ἐμβρύοικον, ἐρυσινηΐδα,
κώπας τε δισσὰς τὰς ἀπωσικυμάτυς,
καὶ δικτύοις μόλιβδον ἠψιδωμένον,
κύρτυς τε φελλοῖς τὺς ἐπεσφραγισμένυς,
καὶ πῖλον ἀμφίκρηνον ὑδασιϛεγῆ,
λῖθον τε ναύταις ἑσπέρης πυρητόκον,
ἁλὸς τύραννε, σοὶ, Πόσειδον, Ἀρχικλῆς
ἔθηκε, λήξας τῆς ἀπ' ἠόνων ἄγρης.

II. 6. Scr. κρέσσων.
IV. 4. Cod. ἐν πᾶσι μ. ἐργασιῶν τε καλοῖς π. γ. π. σ. δηλοῖς τιμήν.

T. II.

VI.

Ἀραξίχειρα ταῦτά σοι τὰ τύμπανα,
καὶ κύμβαλ᾽ ὀξύδουπα κοιλοχείλεα,
διδύμους τε λωτοὺς κεροβόας, ἐφ᾽ οἷς ποτὲ
p. 213. ἐπωλόλυξεν αὐχένα στροβιλίσας,
λυσιφλεβῆ τε δάγμασιν ἀμφιθηγέα,
λεοντόδιφρε σοι Ῥέη Κλυτοσθένης
ἔθηκε, λυσσητῆρα γηράσας πόδα.

VII.

Κόψας ἐκ φηγοῦ, σε τὸν αὐτόφλοιον ἔθηκα
Πᾶνα Φιλοξενίδης, ὁ κλυτὸς αἰγελάτης,
θύσας αἰγιβάτην πολιὸν τράγον, ἔν τε γάλακτι
πρωτογόνῳ βωμοὺς τοὺς ἱεροὺς μεθύσας.
ἀνθ᾽ ὧν ἐν σηκοῖς διδυματόκοι αἶγες ἔσονται,
γαστέρα, φεύγουσαι τρηχὺν ἰόντα λύκου.

VIII.

Ὑλησκόπῳ με Πανὶ θηρευτὴς Γέλων
ἔθηκε λόγχην, ἧς ἀπέθρισε χρόνος
ἀκμὴν ἐν ἔργῳ, καὶ λίνων πολυστρόφων
γεραιὰ τρύχη, καὶ πάγας δεραγχέας,
νευροπλεκεῖς τε κνωδάλων ἐπισφύρους
ὀχεῖς, ποδίστρας, καὶ τραχηλοδεσμότας
κλοιοὺς κυνούχους. γυῖα γὰρ δαμεὶς χρόνῳ
ἀπεῖπεν ἤδη τὴν ὀρειν όμον πλάνην.

VII. 5. Fort. ἔσοντι.
VIII. 6. Cod. ὠκεῖς π.

T. II.

IX.

Ἡ γρηῢς ἡ χερνῆτις, ἡ γυρὴ πόδας,
πύστιν κατ' ἐσθλὴν ὕδατος παιωνίου
ἦλθέν ποθ', ἑρπύζουσα σὺν δρυὸς ξύλῳ,
τό μιν διεσκήριπτε, τὴν τετρυμένην.
οἶκτος δὲ Νύμφας εἷλεν, αἳ πυριπνόου
Αἴτνης παρωρείῃσι Συμαίθου πατρὸς p. 214.
ἔχουσι δινήεντος ὑγρὸν οἰκίον.
καὶ τῆς μὲν ἀμφίχωλον ἀρτεμὲς σκέλος
θερμὴ διεστήριξεν Αἰτναίη λιβάς.
Νύμφαις δ' ἔλειπε βάκτρον· αἳ δ' ἐπήνεσαν
πέμπειν μιν ἀστήρικτον, ἡσθεῖσαι δόσει.

X.

Αἰγύπτου μεδέουσα μελαμβώλου, λινόπεπλε
δαῖμον, ἐπ' εὐϊέρους βῆθι θυηπολίας.
σοὶ γὰρ ὑπὲρ σχιδάκων λαγαρὸν ποπάνευμα πρόκειται,
καὶ πολιὸν χηνῶν ζεῦγος ἐνυδροβίων,
καὶ νάρδος ψαφαρὴ κεγχρείτισιν ἰσχάσιν ἀμφὶ,
καὶ σταφυλὴ γραίη, χὠ μελίπνους λίβανος.
εἰ δ' ὡς ἐκ πελάγευς ἐῤῥύσαο Δᾶμιν, ἄνασσα,
κὴκ πενίης, θύσει χρυσόκερων κεμάδα.

XI.

Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον,
Φοῖβε, τὸν Ἰονίῳ λουόμενον πελάγει,

IX. 5. Cod. αἳ τ' ἐρινόμου Α. παρωρείῃσιν Εὐμάθου.
X. 8. Cod. θήσει.

T. II. δέξαι πλωτήρων μάζης χειροφορία δαῖτα,
καὶ σπονδὴν ὀλίγῃ κιρναμένην κύλικι,
καὶ βραχυφεγγίτου λύχνου σέλας ἐκ βιοφειδοῦς
ὕλης ἡμιμεθεῖ πινόμενον στόματι.
ἀνθ' ὧν ἱλήκοις, ἐπὶ δ' ἱστία πέμψον ἀήτην
οὔριον Ἀκτιακοὺς σύνδρομον εἰς λιμένας.

XII.

Οτ' ἐξ ἀήτου Λίβυος, ἐκ ζαῆς Νότου
συνεζοφώθη πόντος, ἐκ δὲ νειάτων
p. 215. μυχῶν βυθῖτις ψάμμος ἐξηρεύγετο,
ἱστὸς δὲ πᾶς ὤλισθεν εἰς ἅλα πτύσας,
φορτὶς δ' ἐσύρετ' ἐς Ἀΐδαν, πλανώμενος
ἀρωγοναύτας δαίμονας Λυσίστρατος
ἐλιπάρησεν· οἱ δὲ τῷ νεωκόρῳ
μόνῳ θάλασσαν ἀγρίαν ἐκοίμισαν.

XIII.

Ξίφη τὰ πολλῶν κνωδάλων λαιμητόμα
πυριστρόφους τε ῥιπίδας πυρηνέμους,
ἠθμόν τε πολύτρητον, ἠδὲ τετράκυν,
πυρὸς γέφυραν, ἐσχάρην κρεηδόκον,
ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον,
ὁμοῦ κρεάγρῃ τῇ σιδηροδακτύλῳ,
βραδυσκελὴς Ἥφαιστε, σοὶ Τιμασίων
ἔθηκεν, ἀκμῆς γυῖον ἀρφανωμένος.

XI. 6. Cod. ὕγνης ἡμ.

XIV.

Σπερμοφόρον πήρην ὠμαχθέα, κὠλεσίβωλον
σφῦραν, καὶ γαμψὰς πυρολόγους δρεπάνας.
καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας, ἰσοβόην τε
σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν,
κέντρα τ' ὀπισθονυγῆ, καὶ βύτροφα δεσμὰ τενόντων,
καὶ τρίνακας ξυλίνας, χεῖρας ἀρουροπόνων,
γυῖ' ἀναπηρωθεὶς Λυσίξενος αὔλακι πολλῇ
ἐκρέμασεν Δηοῖ τῇ σταχυοστεφάνῳ.

XV.

Στάθμην ἰθυτενῆ μολιβαχθέα, δουριτυπῆ τε
σφύραν, καὶ γυρὰς ἀμφιδέτους ἀρίδας,
καὶ στιβαρὸν πέλεκυν τελεχητόμον, ἰθύδρομόν τε p. 216.
πρίονα, μιλτείῳ βάμματι πειθόμενον,
τρύπανά θ' ἑλκεσίχειρα, τέρετρά τε, μιλτοφυρῆ τε
σχοῖνον, ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι,
σοὶ, κούρη γλαυκῶπι, Λεόντιχος ὤπασε δῶρον,
ἄνθος ἐπεὶ γυίων πᾶν ἀπέδυσε χρόνος.

XVI.

Αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον,
ῥίνην τε κνησίχρυσον ὠκυδήκτορα,
καὶ τὸν δίχηλον καρκίνον πυραγρέτην,
πτωκὸς πόδας τε τούσδε λειψανηλόγους,
ὁ χρυσοτέκτων Δημοφῶν Κυλληνίῳ
ἔθηκε, γήρᾳ κανθὸν ἐζοφωμένος.

XIV. 7. Cod. γυῖα πεπηρωθείς.

XV. 4. Cod. Vat. βάμματι. Vulgo σάγματι. 8. Scr. ἀπέλυσε.

N 4

T. II.

XVII.

Κυκλοτερῆ μόλιβον, σελίδων σημάντορα πλευρῆς,
καὶ σμίλαν δονάκων ἀκροβελῶν γλυφίδα,
καὶ κανονῖδ᾽ ὑπάτην, καὶ τὴν παρὰ θῖνα κίσηριν,
αὐχμηρὸν πόντου τρηματόεντα λίθον,
Καλλιμένης Μούσαις, ἀποπαυσάμενος καμάτοιο,
θῆκεν, ἐπεὶ γήρᾳ κανθὸς ἐπεσκέπετο.

XVIII.

Κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνους,
Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,
καὶ κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
σφονδυλοδινήτῳ νήματι νηχόμενον,
καὶ τάλαρον σχοίνοισιν ὑφασμένον, ὃν ποτ᾽ ὀδόντι
ἐπλήρου τολύπῃ πᾶσα καθαιρομένη,
p. 217. σοί, φιλέριθε κόρη Παλλαντιάς, ἡ βαθύγηρως
Αἰσιόνη, πενίης δῶρον, ἀνεκρέμασε.

XIX.

Δράγματά σοι χώρου μικραύλακος, ὦ φιλόπυρε
Δηοῖ, Σωσικλέης θῆκεν ἀρουροπόνος,
εὔσταχυν ἀμήσας τὸν νῦν σπόρον· ἀλλὰ καὶ αὖτις
ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

XX.

Ῥοιὴν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα,
καὶ ῥοδέας σταφυλῆς ὠμὸν ἀποσπάδιον,
μῆλόν θ᾽ ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ,
καὶ κάρυον χλωρῶν ἐκφανὲς ἐκ λεπίδων,

XVII. 3. Fort. παραθῖνα κ.

καὶ σίκυον χνοάοντα, τὸν ἐν φύλλοις πεδοκοίτην, T. II.
καὶ πέρκην ἤδη χρυσοχίτων' ἐλάην,
σοὶ, Φιλοδῖτα Πρίηπε, φυτοσκάφος ἄνθετο Δάμων,
δένδρεσι καὶ γυίοις εὐξάμενος θαλέθειν.

XXI.

α Τίς τὸν ἄχνυν Ἑρμῆν σε παρ' ὑσπλήγεσσιν ἔθηκεν;
β Ἑρμογένης. α τίνος ὤν; β Δαιμονέως. α ποδαπός;
β Ἀντιοχεύς. α τιμῶν σε χάριν τίνος; β ὡς συναρωγὸν
ἐν σταδίοις. α ποίοις; β Ἰσθμόθι κὴν Νεμέᾳ.
α ἔτρεχε γάρ; β καὶ πρῶτος. α ἑλὼν τίνας; β ἐννέα παῖδας·
ἔπτη δ' ὡς ἂν ἔχων τοὺς πόδας ἡμετέρους.

XXII.

Δούνακας ἀκροδέτους, καὶ τὴν ἁλινηχέα κώπην,
γυρῶν τ' ἀγκίστρων λαιμοδακεῖς ἀκίδας,
καὶ λίνον ἀκρομόλιβδον, ἀπαγγελτῆρά τε κύρτου p. 218.
φελλὸν, καὶ δισσὰς σχοινοτενεῖς σπυρίδας,
καὶ τὸν ἐγερσιφαῆ πυρὸς ἔγκυον ἔμφλογα πέτρον,
ἄγκυράν τε, νεῶν πλαζομένων παγίδα,
Πείσων ὁ γριπεὺς Ἑρμῇ πόρεν, ἔντρομος ἤδη
δεξιτερὴν, πολλοῖς βριθόμενος καμάτοις.

XXIII.

Δίκτυά σοι μολίβῳ στεφανούμενα, δυσιθάλασσα,
καὶ κώπην, ἅλμης τὴν μεθύουσαν ἔτι,
κητοφόνον τε τρίαιναν, ἐν ὕδασι καρτερὸν ἔγχος,
καὶ τὸν ἀεὶ φελλοῖς κύρτον ἐλεγχόμενον,

XXI. 2. Cod. δαῖμον ἴδε. in ora correctum δαιμονέως.
XXII. 8. Vulgo αἰθόμενος καμάτοις.

T. II. ἄγκυράν τε, νεῶν στιβαρὴν χέρα, καὶ φιλοναύτην
σπέρμα πυρὸς σώζειν πέτρον ἐπιστάμενον,
ἀρχιθάλασσε Πόσειδον, Ἀμύντιχος ὕστατα δῶρα
θῆκατ', ἐπεὶ μογερῆς παύσαθ' ἁλιπλανίης.

Tempe T. I, S. 7.

XXIV. Gr. d. Blum. p. 16.

Οὐρανὸς ἄστρα τάχιον ἀποσβέσει, ἢ τάχα νυκτὸς
ἠέλιος φαιδρὴν ὄψιν ἀπεργάσεται,
καὶ γλυκὺ νᾶμα θάλασσα βροτοῖς ἀρυτήσιμον ἕξει,
καὶ νέκυς εἰς ζωῶν χῶρον ἀναδράμεται,
ἢ ποτὲ Μαιονίδαο βαθυκλεὲς οὔνομ' Ὁμήρου
λήθη γηραλέων ἁρπάσεται σελίδων.

αὐξήσ. iunge cum verbo. est praedicatum. — ...

XXV.

Αἴχιος ὁ θρασύχειρ, Ἄρεος πρόμος, ὁ ψελιώσας
αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
ἐς προτέρων ἔργων ἄρσενα μαρτυρίην,
p. 219. ὦσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ἓν μόνον εἰπών·
Ἄνδρας Ἄρης κτείνει, δειλοτέρους δὲ νόσος.

XXVI.

Νηδύϊ βριθομένην δάμαλιν Λητωΐδι κούρῃ
στῆσαν νηοκόροι, θῦμα χαριζόμενοι,
ἧς ἀΐδην μέλλοντα προέφθασεν εὔτοκος ὠδίς·
πέμφθη δ' εἰς ἀγέλην τεκνογονεῖν ἄφετος.
ἡ θεὸς ὠδίνων γὰρ ἐπίσκοπος, οὐδ' ἐδίκαζε
τικτούσας κτείνειν, ἃς ἐλεεῖν ἔμαθε.

XXVII.

T. Π.

Ταῦροι πρηΰτένοντες, ἀροτρευτῆρες ἀρούρης,
εἰν ἁλὶ τὰς γαίης ἀντέχομεν καμάτας.
αὔλακα τὴν ἄσἰδαρον ἐν ὕδασιν ἕλκομεν ἄμφω,
μακροτόνων σχοίνων ἅμμα σαγηνόδετον.
ἰχθύσι δ' ἐκ σταχύων λατρεύομεν. ἆ ταλαεργοί,
ἤδη κὴν πελάγει καρπὸν ἀροῦσι βόες.

XXVIII.

Η ναῦς ἀπ' ἔργων Κύπριδος γομφυμένη,
πρὸς τὸν γενάρχην πόντον ἤλυθον θεοῦ·
ἀνὴρ γάρ ὥρης μ' ἔμπορος τεκτήνατο,
καλέσας ΕΤΑΙΡΗΝ. εἰμὶ γὰρ πᾶσιν φίλη.
ἔμβαινε θαῤῥῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
ἐλθόντα δέχομαι, πάντα βαστάζω ξένον.
ὡς ποτ' ἐπὶ γαίης, κὴν βυθῷ μ' ἐρέσσετε.

XXIX.

p. 220.

Οὐκ ἔτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν
ἄσχετος. ὁρμαίνει μυριόδους ἐλέφας,
ἀλλὰ φόβῳ στείλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους,
ἄντυγα διφρελκεῖ Καίσαρος οὐρανίου.
ἔγνω δ' εἰρήνης καὶ θὴρ χάριν· ὄργανα ῥίψας
Ἄρεος, εὐνομίης ἀντανάγει πατέρα.

XXX.

Ἔμβολα χαλκογένεια, φιλόπλοα τεύχεα νηῶν,
Ἀκτιακοῦ πολέμου κείμενα μαρτύρια,

XXX. 1. Cod. τείχεα.

T. II. ἤνιδε σιμβλεύει κηρότροφα δῶρα μελισσῶν,
ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα.
Καίσαρος εὐνομίης χρηςὴ χάρις. ὅπλα γὰρ ἐχθρῶν
καρποὺς εἰρήνης ἀντεδίδαξε τρέφειν.

XXXI.

Ἐν Θήβαις Κάδμου κλεινὸς γάμος, ἀλλὰ μυσαχθὴς
Οἰδίποδος. τελετὰς Εὔιος ἠσπάσατο,
ἃς γελάσας Πενθεὺς ὠδύρατο. τείχεα χορδαῖς
ἔςη, καὶ λωτοῖς ἔςενε λυόμενα.
Ἀντιόπης ὀσίη, χαλεπὴ δ' ὠδὶς Ἰοκάςης.
ἦν Ἰνὼ φιλόπαις, ἀλλ' ἀσεβὴς Ἀθάμας.
οἰκτρὸν ἀεὶ πτολίεθρον· ἴδ' ὡς ἐσθλῶν περὶ Θήβας
μύθων καὶ ςυγνῶν ἤρκεσεν ἱςορίη.

XXXII.

Μεμφομένη Βορέην ἐπεπτώμην ὑπὲρ ἅλμης·
ἐκ γὰρ ἐμοὶ Θρήκης ἤπιος ὐδ' ἄνεμος.
p. 221. ἀλλά με τὴν μελίγηρυν ἀηδόνα δέξατο νώτοις
δελφὶν, καὶ πτηνὴν πόντιος ἡνιόχει.
πιςοτάτῳ δ' ἐρέτῃ πορθμευομένη, τὸν ἄκωπον
ναύτην τῷ ςομάτων θέλγον ἐγὼ κιθάρῃ.
εἰρεσίην δελφῖνες ἀεὶ Μούσῃσιν ἄμισθον
ἤνυσαν. ὐ ψευςὴς μῦθος Ἀριόνιος.

XXXIII.

Τὸν ἐκ Σινώπης εἰ κλύεις Δαμόςρατον,
πίτυν λαβόντα τὴν κατ' Ἰσθμὸν ἑξάκις,
τῦτον δέδορκας· ὐ κατ' εὔγυρον πάλην
ψάμμος πεσόντος νῶτον ὐκ ἐσφράγισεν.

T. II.

Ἴδ' αὖ πρόσωπον θηρόθυμον, ὡς ἔτι
σώζει παλαιὰν τὰν ὑπὲρ νίκας ἔριν.
λέγει δ' ὁ χαλκός· Α βάσις με λυσάτω,
χὼς ἔμπνοος νῦν ἕβδομον κονίσσομαι.

XXXIV.

Ὠκείαις ἐλάφοισι κύων ἰσάμιλλα δραμοῦσα
ἔγκυος, ἠλκώθη παιδοπόρον γένεσιν·
πᾶσα δὲ συγκατέμυσε, κατυλωθεῖσα χρόνοισιν.
ἤδη δ' ἡ τοκετῶν ὥριος ἦν βάσανος.
πολλὰ δ' ἐπωρύουσαν ἀνὴρ ἐσιδηροτόμησεν,
καὶ σκύλακες φίλιοι νηδύος ἐξέθορον.
Αρτέμιδος. λέλυται λοχίων χάρις· ἔμπαλι δ' Αρης
ἤρκται μαιοῦσθαι γαστέρας ἡμετέρας.

XXXV.

Ει τὸ μὲν ἐκδεδάνεικας, ὃ δ' ἄρτι δίδως, ὃ δὲ μέλλεις,
οὐδέ ποτ' εἶ τοῦ σοῦ κύριος ἀργυρίου.

XXXVI.

p. 222.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας
Κύπριν ὅλην χρυσῆν ἐχθὲς ἔκλεψε Δίων·
καὶ χερὶ προσκατέσυρεν ὁλοσφύρητον Αδωνιν,
καὶ τὸ παρεστηκὸς μικρὸν Ερωτάριον.
αὐτοὶ νῦν ἐρέουσιν ὅσοι ποτὲ φῶρες ἄριστοι·
Οὐκέτι σοι χειρῶν εἰς ἔριν ἐρχόμεθα.

XXXVII.

Ει πόδας εἶχε Δίων οἵας χέρας, οὐκέτ' ἂν Ερμῆς
πτηνὸς ἐν ἀνθρώποις, ἀλλὰ Δίων ἐκρίθη.

T. II.

XXXVIII.

Τὸν θεὸν αὐτὸν ἔκλεψεν ὃν ὀρκίζεσθαι ἔμελλεν
Εὐτυχίδης, εἰπών· Οὐ δύναμαί σ' ὀμόσαι.

XXXIX.

Τὸν τῶν κλεπτόντων μηνύτορα Φοῖβον ἔκλεψεν
Εὐτυχίδης, εἰπών· Μὴ πάνυ πολλὰ λάλει,
σύγκρινον δὲ τέχνῃ τέχνην, καὶ χείρεσι χρησμοὺς,
καὶ μάντιν κλέπτῃ, καὶ θεὸν Εὐτυχίδῃ·
τῶν δ' ἐγκλινομένων σωμάτων χάριν αὐτίκα πραθεὶς,
τοῖς ὠνησαμένοις πᾶν ὃ θέλεις με λέγε.

XL.

Βουκόλε, τὰν ἀγέλαν πόῤῥω νέμε, μή σε Περικλῆς
ὁ κλέπτας αὐταῖς βουσὶ συνεξελάσῃ.

p. 223.

XLI.

Τὸν πτανὸν Ἑρμᾶν, τὸν θεῶν ὑπηρέταν,
τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάταν,
ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον,
ὁ νυκτοκλέπτας Αὖλος εἶπε βαστάσας·
ΠΟΛΛΟΙ ΜΑΘΗΤΑΙ ΚΡΕΙΤΤΟΝΕΣ ΔΙΔΑΣΚΑΛΩΝ.

XLII.

Τίς σε, Κολχὶς ἄθεσμε, συνέγραφεν εἰκόνι θυμόν;
τίς καὶ ἐν εἰδώλῳ βάρβαρον εἰργάσατο;
αἰεὶ γὰρ διψᾷς βρεφέων φόνον. ἦ τις Ἰήσων
δεύτερος, ἢ Γλαύκη; τίς πάλι σοὶ πρόφασις;
ἔῤῥε καὶ ἐν κηρῷ παιδοκτόνε. σῶν γὰρ ἀμέτρων
ζήλων εἰς ἃ θέλεις καὶ γραφὶς αἰσθάνεται.

XLIII. T. II.

Γραμματικοὶ Μώμου στυγὸς τέκνα, σῆτες ἀπάντων,
τελχῖνες βίβλων, Ζηνοδότου σκύλακες,
Καλλιμάχου στρατιῶται, ὃν ὡς ὅπλον ἐκτανύσαντες,
οὐδ' αὐτοῦ κείνου γλῶσσαν ἀποστρέφετε,
συνδέσμων λυγρῶν θηρήτορες, οἷς τὸ ΜΙΝ ἢ ΣΦΙΝ
εὔαδε, καὶ ζητεῖν εἰ κύνας εἶχε Κύκλωψ,
τρίβοισθ' εἰς αἰῶνα κατατρύζοντες ἀλιτροὶ
ἄλλων· ἐς δ' ἡμᾶς ἰὸν ἀποσβέσατε.

XLIV.

Χαίροιθ' οἱ περὶ κόσμον ἀεὶ πεπλανηκότες ὄμμα,
οἵ τ' ἀπ' Ἀριστάρχου σῆτες ἀκανθολόγοι.
ποῖ γὰρ ἐμοὶ ζητεῖν τίνας ἔδραμεν ἥλιος οἴμους,
καὶ τίνος ἦν Πρωτεύς, καὶ τίς ὁ Πυγμαλίων;
γινώσκοιμ' ὅσα λευκὸν ἔχει στίχον· ἡ δὲ μέλαινα p. 224.
ἱστορίη τήκοι τοὺς Περικαλλιμάχους.

XLV.

Λάθριον ἑρπηστὴν σκολιὸν πόδα, κισσὲ, χορεύσας,
ἄγχεις τὴν Βρομίου βοτρυόπαιδα χάριν·
δεσμεῖς δ' οὐχ ἡμᾶς, ὀλέκεις δέ σε. τίς γὰρ ἔλοιτο
κισσὸν ἐπὶ κροτάφοις, μὴ κεράσας Βρόμιον;

XLVI.

Ἴσως με λεύσσων, ξεῖνε, ταυρογάστορα,
καὶ στερρόγυιον, ὡς Ἄτλαντα δεύτερον,
θαμβεῖς, ἀπιστῶν εἰ βρότειος ἡ φύσις.
ἀλλ' ἴσθι μ' Ἡρᾶν Λαδικῆα πάμμαχον,

T. II. ὃν Σμύρνα, καὶ δρῦς Περγάμου κατέστεψεν,
Δελφοὶ, Κόρινθος, Ἦλις, Ἄργος, Ἄκτιον.
λοιπῶν δ' ἀέθλων ἣν ἐρευνήσῃς κράτος,
καὶ τὴν Λίβυσσαν ἐξαριθμήσεις κόνιν.

XLVII.

Ζηνὸς καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη,
Ἄρτεμις, ἣ θαλάμους τοὺς ὀρέων ἔλαχες,
νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος
ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων·
σοὶ δ' ἄρ' ὑπὲρ βωμῶν ἀτμὸν λιβάνοιο Φίλιππος
ῥέξει, καλλιθυτῶν κάπρον ὀρειονόμον.

p. 225.

XLVIII.

Εἰς τὸ ἐν Ὀλυμπίᾳ Διὸς ἄγαλμα.

Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

XLIX.

Εἰς τὴν Μύρωνος βοῦν.

Ἀπαιρέ μου τένοντος, ὦ γειτόνε,
λέπαδνα, καὶ σίδαρον αὐλακεργάταν.
χαλκὸν γὰρ ἁμῶν οὐκ ἐσάρκωσεν Μύρων,
τέχνᾳ δ' ἐζωπόνησεν ὄψιν ἔμπνοον,
ὥς πολλάκις με κἀπομυκᾶσθαι θέλειν.
εἰς ἔργα δ' οὐκ εἴασε, προσδήσας βάσει.

XLVII. 6. Fort. ταῦρον ἢ.

T. II.

L.

Εἰς ἵππον χαλκοῦν.

Ἴδ' ὡς ὁ πῶλος χαλκοδαιδάλῳ τέχνᾳ
κορωνιῶν ἕστηκε. δριμὺ γὰρ βλέπων
ὑψαυχενίζει, καὶ διηνεμωμένας
κορυφῆς ἐθείρας ὑρίωκεν ἐς δρόμον.
δοκέω, χαλινοὺς εἴ τις ἡνιοστρόφος
ἐναρμόσει γένυσσι, κἀπικεντρίσει,
ὁ σὸς πόνος, Λύσιππε, καὶ παρ' ἐλπίδα
τάχ' ἐκδραμεῖται· τᾷ τέχνᾳ γὰρ ἐμπνέει.

LI.

Εἰς τοὺς Ἡρακλέους ἄθλους.

Ὤλεσα τὸν Νεμέας θῆρ' ἄπλετον, ὤλεσα δ' ὕδρην
καὶ ταῦρον, κάπρου δ' ἀμφετίναξα γένυν·
ζωστῆρ' ἑλκύσσας, πώλους Διομήδεος εἷλον· p. 226.
χρύσεα μᾶλα κλάσας, Γηρυόνην ἔλαβον.
Αὐγείας ἐδάμη· κεμὰς οὐ φύγεν· ἔκτανον ὄρνις·
Κέρβερον ἠγαγόμην· αὐτὸς Ὄλυμπον ἔχω.

LII.

Εἰς ἄγαλμα Ἡρακλέους.

Ἥρη τοῦτ' ἄρα λοιπὸν ἐβούλετο πᾶσιν ἐπ' ἄθλοις
ὅπλων γυμνὸν ἰδεῖν τὸν θρασὺν Ἡρακλέα.
ποῦ χλαίνωμα λέοντος, ὅ τ' εὐροίζητος ἐπ' ὤμοις
ἰὸς, καὶ βαρύπους ὄζος ὁ θηρολέτης;
πάντα σ' Ἔρως ἀπέδυσε· καὶ οὐ ξένον, εἰ Δία κύκνον
ποιήσας, ὅπλων νοσφίσαθ' Ἡρακλέα.

T. II.

LIII.

Κολχίδα, τὴν ἐπὶ παισὶν ἀλάστορα, τραυλὲ χελιδὼν,
πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;
ἧς ἔτι κανθὸς ὕφαιμος ἐπαστράπτει φόνιον πῦρ,
καὶ πολιὸς γενύων ἀφρὸς ἀποστάζει·
ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ' αἵματι. φεῦγε πανώλη
μητέρα, κἂν κηρῷ τεκνοφονοῦσαν ἔτι.

LIV.

Εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.

Κύπρι φιλομειδής, θαλαμηπόλε, τίς σε, μελιχρὴν
δαίμονα, τοῖς πολέμων ἐστεφάνωσεν ὅπλοις;
σοὶ παιὰν φίλος ἦν, καὶ ὁ χρυσοκόμης Ὑμέναιος,
καὶ λιγυρῶν αὐλῶν ἡδυμελεῖς χάριτες.
ἐς τί δὲ ταῦτ' ἐνέδυς ἀνδροκτόνα; μὴ θρασὺν Ἄρη
συλήσασ' αὐχεῖς; Κύπρις ὅσον δύναται.

p. 227.

LV.

Εἰς ἄγαλμα Ἑρμῦ ἐν κήπῳ.

α Κράμβης ἅψωμαι, Κυλλήνιε; β μὴ, παροδῖτα.
α τίς φθόνος ἐκ λαχάνων; β οὐ φθόνος· ἀλλὰ νόμος
ἀλλοτρίων ἀπέχειν κλοπίμους χέρας. α ὢ παραδόξου·
μὴ κλέπτειν Ἑρμῆς καινὸν ἔθηκε νόμον.

LVI.

Ω

Εἰς ἄγαλμα Πριήπου.

α Θραίας γ' ἱερεῦ τὰς ἰσχάδας· εἴ γε λαβεῖν μοι
συγχωρεῖς ὀλίγας; β θίγγανε μηδεμιᾶς.
α ὀργίλος ὡς ὁ Πρίηπος. β ἐρεῖς· ἔτι καὶ κενὸς ἥξεις.
α ναὶ λίτομαι, δός μοι· β καὶ γὰρ ἐγὼ δέομαι.

α χρήζεις γὰρ, λέγε μοι, παρ' ἐμῦ τινός; β ἔςι νόμος πῶς T. II.
ΔΟΣ, ΛΑΒΕ. α καὶ θεὸς ὢν ἀργυρίου σὺ γλίχῃ;
β ἄλλο τι χρῆμα φιλῶ. α ποῖον τόδε; β τᾶμὰ κατέσθων
σῦκα, δὸς εὐθύμως ἰσχάδα τὴν ὀπίσω.

LVII.

Συλήσαντες Ολυμπον ἴδ' ὡς ὅπλοισιν Ερωτες
κοσμῦντ', ἀθανάτων σκῦλα φρυασσόμενοι.
Φοίβυ τόξα φέρυσι, Διὸς δὲ κεραυνὸν, Αρηος
ὅπλον καὶ κυνέην, Ηρακλέυς ῥόπαλον,
εἰναλίυ τε θεῦ τριβελὲς δόρυ, θύρσα τε Βάκχυ,
πτηνὰ πέδιλ' Ερμῦ, λαμπάδας Αρτέμιδος.
ὐκ ἄχθος θνητοῖς εἴκειν βελέεσσιν Ερώτων,
δαίμονες οἷς ὅπλων κόσμον ἔδωκαν ἔχειν.

LVIII.

p. 228.

Αδριακοῖο κύτυς λαιμὸς τοπάλαι μελίγηρυς,
ἁνίκ' ἐγαστροφόρυν Βακχιακὰς χάριτας,
νῦν κλασθεὶς, κεῖμαι νεοθηλέϊ καρτερὸν ἕρκος
κλήματι, πρὸς τρυφερὴν τειρομένῳ καλύβην.
αἰεί τι Βρομίῳ λατρεύομεν· ἢ γεραὸν γὰρ
φρυρῦμεν πιςῶς, ἢ νέον ἐκτρέφομεν.

LIX.

Καὶ τὸν ἀρυρχῖον πυρητόκον αὔλακα τέμνει
μηρονυπεῖ κέντρῳ πειθομένη δάμαλις·
καὶ μετ' ἀροτροπόνυς ζεύγλας πάλι τῷ νεοθηλεῖ
πινομένη μόσχῳ, δεύτερον ἄλγος ἔχει.
μὴ θλίψῃς αὐτὴν ὁ γεμμόρος. ὗτος ὁ βαιὸς
μόσχος, ἐὰν φείσῃ, σοὶ τρέψεται δάμαλις.

Υ. II. LX.

Πηλῷ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάϊκτον
Ξέρξης, ἐχλαίνου φάρεϊ πορφυρέῳ.
κὴκ νεκύων δ' ἤϋσεν ὁ τᾶς Σπάρτας πολὺς ἥρως·
Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον·
ἀσπίς μοι τύμβου κόσμος μέγας· αἶρε τὰ Περσῶν·
ἥξω κεἰς Ἀΐδαν ὡς Λακεδαιμόνιος.

LXI.

Φοῖβον ἀνηναμένη ποτὲ Δάφνη, νῦν ἀνέτειλε
Καίσαρος ἐκ βωμοῦ κλῶνα μελαμπέταλον·
ἐκ δὲ θεοῦ θεὸν εὗρεν ἀμείνονα. Λητοΐδην γὰρ
ἐχθήρασα, φιλεῖ Ζῆνα τὸν Αἰνεάδην.
p. 229. ῥίζαν δ' οὐκ ἀπὸ γῆς μητρὸς βάλεν, ἀλλ' ἀπὸ πέτρης.
Καίσαρι μὴ τίκτειν οὐδὲ λίθος δύναται.

LXII.

Θεσσαλίης εὔιππος ὁ ταυρελάτης χορὸς ἀνδρῶν,
χερσὶν ἀτευχήτοις θηρσὶν ὁπλιζόμενος,
δενδροτυπεῖς πώλους ζεύξει σκιρτήματι ταύρων,
ἀμφιβαλεῖν σπεύδων πλέγμα μετωπίδιον.
ἀκρότατον δ' ἐς γῆν κλίνας ἅμα κύρτοπον ἅμμα
θηρὸς τὴν τόσσην ἐξεκύλισε βίην.

LXIII.

Νῆα μὲν ὤλεσε πόντος, ἐμοὶ δ' ἔπορεν πάλι δαίμων
πλαζομένῳ φύσεως νῆα ποθεινοτέρην.
πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὰ καίριον ἐλθὸν,
μουνερέτης ἐπέβην, φόρτος ὀφειλόμενος.

LXII. 3. Fort. πώλους πιλάσει.

ἤγαγε δ᾽ εἰς λιμένας με, καὶ ἔσπειρεν. δὶς ὁ πρέσβυς, T. II.
νήπιον ἐν γαίῃ, δεύτερον ἐν πελάγει.

LXIV.

Εὐθαλέα πλάτανόν με Νότε βαρυλαίλαπες αὖραι
ῥίζης ἐξ αὐτῆς ἐτόρεσαν δαπέδοις.
λυσαμένη Βρομίῳ δ᾽ ἔσην πάλιν, ὄμβρον ἔχυσα
χείματι καὶ θάλπει τῦ Διὸς ἡδύτερον.
ὀλλυμένη δ᾽ ἔζησα· μόνη δὲ πιῦσα Λυαῖον,
ἄλλων κλινομένων, ὀρθοτέρη βλέπομαι.

LXV.

Η πυρὶ πάντα τεκῦσα Φιλαίνιον, ἡ βαρύπενθες
μήτηρ, ἡ τέκνων τρισσὸν ἰδῦσα τάφον,
ἀλλοτρίαις ὠδῖσιν ἐφώρμισα· ἦ γὰρ ἐώλπειν
πάντας μοι ζήσειν τῦτον, ὃν ὐκ ἔτεκον. p. 230.
ἡ δ᾽ εὔπαις θετὸν υἱὸν ἀνήγαγον. ἀλλά με δαίμων
ἤθελε μηδ᾽ ἄλλης μητρὸς ἔχειν χάριτα.
κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο· νῦν δὲ τεκῦσαις
ἤδη καὶ λοιπαῖς πένθος ἐγὼ γέγονα.

LXVI.

Ηρίθμυν ποτὲ πάντες Ἀριστοδίκην κλυτόπαιδα,
ἑξάκις ὠδίνων ἄχθος ἀπωσαμένην.
ἤρισε δ᾽ εἰς αὐτὴν ὕδωρ χθονί. τρεῖς γὰρ ὄλοντο
νύσῳ· λειπόμενοι δ᾽ ἤμυσαν ἐν πελάγει.
αἰεὶ δ᾽ ἡ βαρύδακρυς, ἐπὶ στήλαις μὲν ἀηδών·
μεμφομένη δὲ βυθοῖς, ἀλκυονὶς βλέπεται.

T. II.

LXVII.

Ἠϊόνι τόδε σῶμα βροτοῦ παντλήμονος ἄθρει,
σπαρτὸν, ἁλιῤῥαγέων ἐκχύμενον σκοπέλων·
τῇ μὲν ἐρημοκόμης κεῖται καὶ χῆρος ὀδόντων
κόρση· τῇ δὲ χερῶν πενταφυεῖς ὄνυχες,
πλευρά τε σαρκολιπῆ, ταρσοὶ δ' ἑτέρωθεν ἄμοιροι
νευρῶν, καὶ κώλων ἔκλυτος ἁρμονίη.
οὗτος ὁ πουλυμερὴς εἷς ἦν ποτε. φεῦ μακαριστοὶ,
ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.

LXVIII.

Τίς σε πάγος δυσέρημος, ἀνήλιος, ἐξέθρεψεν
Βοῤῥαίου Σκυθίης, ἄμπελον ἀγριάδα,
ἢ Κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεες Ἄλπεις,
τῆς τε σιδηροτόκου βῶλος Ἰβηριάδος;
p. 231. ἢ τοὺς ὀμφακορᾶγας ἐγείναο, τοὺς ἀπεκάντους
βότρυας, οἳ τυφλὴν ἐξέχεον σταγόνα.
δίζημαι, Λυκόοργε, τεὰς χέρας, ὡς ἀπὸ ῥίζης
κλήματος ὠμοτόκου βλαστὸν ὅλον θερίσῃς.

LXIX.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ' ἄρ' ὄμμασιν· ἀμφότεροι δὲ
εἰς αὑτοὺς τὸ τύχης ἐνδεὲς ἠράνισαν.
τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων,
ταῖς κείνου φωναῖς ἀτραπὸν ὀρθοβάτει,

LXVII. 1. Scr. εἶμα. 2. Cod. Vat. ἐκχυμένων.
LXVIII. 2. Cod. Vat. βοῤῥαίῳ. Fort. βοῤῥαίης. 8. Cod. Vat. θερίσεις.

πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη
ἀλλήλοις μερίσαι τὠλλιπὲς εἰς ἔλεον. T. II.

LXX.

Βαιὸν ἀποπλανίην λιπομήτορα παῖδα κορύπτων
κριὸς ἑλιξόκερως, θεῖνε θρασυνόμενος.
κάπρος δ' Ἡράκλειος ἀποῤῥήξας ἀπὸ δεσμῶν,
ἐς νηδὺν κριοῦ πᾶσαν ἔβαψε γένυν·
ζωὴν νηπιάχῳ δ' ἐχαρίσσατο. ἆρ' ἀπὸ Ἥρης
Ἡρακλέης βρεφέων ᾤκτισεν ἡλικίην.

LXXI.

Ἕβρου Θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ
νήπιος εἰσβαίνων, οὐκ ἔφυγε θάνατον·
ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν,
κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας· ἡ δὲ μένουσα
ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
δύσμορος ὡς ὠδῖνα διείλετο πῦρ τε καὶ ὕδωρ·
ἀμφοτέρων δὲ δοκῶν, οὐδενός ἐςιν ὅλος.

LXXII. p. 232.

Νηὸς ἐπειγομένης ὠκὺν δρόμον ἀμφεχόρευον
δελφῖνες, πελάγους ἰχθυφάγοι σκύλακες.
καπροφόνος δὲ κύων θηρσὶ κείνους ἰκελώσας,
δύσμορος, ὡς ἐπὶ γῆν εἰς βυθὸν ἐξέθορεν.
ὤλετο δ' ἀλλοτρίης θήρης χάριν· οὐ γὰρ ἐλαφρὸς
πάντων ἐςὶ κυνῶν ὁ δρόμος ἐν πελάγει.

LXIX. 6. Scr. εἰς τέλεον.

T. II.

LXXIII.

Βωλοτόμοι μύρμηκες, ὁ γῆς στρατὸς, ψῖχ' ἀσόλων
γειομόρου μελιχρὴν σμηνοδόκου χάριτα,
μηνίσας ὁ πρέσβυς, ἐς ὕδατα χρυσεὸν ἔβαψεν,
ἐνθάδε τοὺς ἀπὸ γῆς οὐ δοκέων πελάσειν.
οἱ δὲ νεῶν κύφας ἀχυρτίδας ἀντιφέροντες,
αὐτοκυβερνητὶ πρὸς κύτος ἐτρόχασαν.
ἦ ῥα φίλη γαστὴρ καὶ βαιοτάτους ἀνέπεισεν
ἐκ χθονὸς εἰς Νύμφας καινοτάτους ἐρέτας.

LXXIV.

Ἐζευξ' Ἑλλήσποντον ὁ βάρβαρος ἄφρονι τόλμᾳ·
τοὺς δὲ τόσους καμάτους πάντας ἔλυσε χρόνος.
ἀλλὰ Δικαιάρχεια διηπείρωσε θάλασσαν,
καὶ βυθὸν εἰς χέρσου σχῆμα μετεπλάσατο.
λᾶα βαθυτήριγγα κατερρίζωσε πέλωρον,
χερσὶ Γιγαντείαις δ' ἔστασε νέρθεν ὕδωρ.
ἦν δ' αἰεὶ πλώειν· διοδευομένη δ' ὑπὸ ναύταις,
ἄστατος εἰς πεζοὺς ὡμολόγησε μένειν.

p. 233.

LXXV.

Εἰς Πρωτεσίλαον ἐν Τροίᾳ πρῶτον τελευτήσαντα, ὅτι ἐν τῷ τούτου τάφῳ ὅσα φυτὰ βλέπει τὴν Ἴλιον, ξηραίνονται, καὶ τῶν φύλλων τὸν κόσμον ἀποβάλλουσι.

Ἥρως Πρωτεσίλαε, σὺ γὰρ πρώτην ἐμύησας
Ἴλιον Ἑλλαδικοῦ θυμὸν ἰδεῖν δόρατος,
καὶ περὶ σοῖς τύμβοις ὅσα δένδρεα μακρὰ τέθηλε,
πάντα τὸν εἰς Τροίην ἐκκεκύηκε χόλον.

LXXIII. 5. In Vat. Cod. κύφας deest. Scr. νεῶν κάρφας ἀχυρίτιδας.

Ἴλιον ἦν ἐσίδῃ γὰρ ἐπ' ἀκρεμόνων κορυφαίων, T. II.
καρφοῦται, πετάλων κόσμον ἀναινόμενα.
θυμὸν ἐπὶ Τροίῃ πόσον ἔζεσας, ἡνίκα τὴν σὴν
σώζει καὶ τελέχη μῆνιν ἐπ' ἀντιπάλους;

LXXVI.

Μυλεργάτας ἀνήρ με ζωᾶς ἐν χρόνοις
βαρυβρομήταν εἶχε δινητὸν πέτρον,
πυρηφάτου Δήμητρος εὐκάρπου λάτριν,
καὶ κατθανὼν τέλωσε τῷδ' ἐπ' ἠρίῳ,
σύνθημα τέχνας, ὡς ἔχῃ μ' ἀεὶ βαρύν,
καὶ ζῶν ἐν ἔργοις, καὶ θανὼν ἐπ' ὀστέοις.

LXXVII.

Ἰκαρίην [τὸ πάρος] πλώων ἅλα, νηὸς ὀλισθὼν
Δᾶμις ὁ Νικαρέτου κάππεσεν εἰς πέλαγος.
πολλὰ πατὴρ δ' ἠρᾶτο πρὸς ἀθανάτους, καὶ ἐς ὕδωρ
φθέγγεθ', ὑπὲρ τέκνου κύματα λισσόμενος.
ὤλετο δ' οἰκτίστως βρυχθεὶς ἁλί· κεῖνο δὲ πατρὸς
ἔκλυεν ἀρέων οὐδὲ πάλιν πέλαγος.

LXXVIII.

Λατόπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι p. 234.
χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον.
αἶ, αἶ πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
φεῦ, στήλη φθιμένῳ κούφη μένε, κεῖνος ἵν' εἴπῃ·
Οὕτως πατρῴη χεὶρ ἐπέθηκε λίθον.

LXXVII. 1. Verba τὸ πάρος in Cod. Vat. desunt.

T. II.

LXXIX.

Ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ᾠδὸς ἐπήχει
λωτὸς, καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις.
θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν· ἡ δὲ τάλαινα,
οὔπω πάντα γυνὴ, καὶ νέκυς ἐβλέπετο.
δακρυόεις Ἀΐδη, τί πόσιν νύμφης διέλυσας,
αὐτὸς ἐφ' ἁρπαγίμοις τερπόμενος λέχεσι;

LXXX.

Λιμὸν ὀϊζυρὴν ἀπαμυνομένη πολύγηρως
Νικὼ, σὺν κούραις ᾐθολόγει στάχυας.
ὤλετο δ' ἐκ θάλπους· τῇ δ' ἐκ καλάμης συνέριθοι
νῆσαν πυρκαϊὴν ἄξυλον ἐκ σταχύων.
μὴ νεμέσα, Δήμητερ, ἀπὸ χθονὸς εἰ βροτὸν οὖσαν
κούρη τοῖς γαίης σπέρμασιν ἠμφίεσαν.

LXXXI.

Εἰς τὸν Θεμιστοκλέους τάφον.

Οὔρεά μου καὶ πόντον ὑπὲρ τύμβοιο χάραττε,
καὶ μέσσον ἀμφοτέρων μάρτυρα Λητοΐδην,
p. 235. ἀενάων τε βαθὺν ποταμῶν ῥόον, οἵ ποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν Ἄρη.
ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
κηρύσσῃ Μάγνης δῆμος ἀποφθιμένου.

Scalig. Poem. p. 7.

LXXXII.

Ἠπείρῳ μ' ἀποδοῦσα νέκυν τρηχεῖα θάλασσα,
σύρεις καὶ τέφρης λοιπὸν ἔτι σκύβαλον.
κὴν Ἀΐδῃ ναυηγὸς ἐγὼ μόνος οὐδ' ἐπὶ χέρσου
εἰρήνην ἕξω φρικαλέης σπιλάδος.

ἢ τύμβευσε κενοῦσα καθ' ὕδατος, ἢ παραδοῦσα T. II.
γαίῃ, τὸν κείνης μηκέτι κλέπτε νέκυν.

LXXXIII.

Ὦ ξεῖνε, φεῦγε τὸν χαλαζεπῆ τάφον,
τὸν φρικτὸν, Ἱππώνακτος, οὗ τε χἠ τέφρα
ἰαμβιάζει Βουπάλειον ἐς στύγος,
μή πως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον,
ὃς οὐδ' ἐν Αἴδῃ νῦν κεκοίμικεν χόλον,
σκάζουσι μέτροις ὀρθὰ τοξεύσας βέλη.

LXXXIV.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν σορὸς ἥδε κέκευθεν
Αὐτίου χρηστοῦ, ῥήτορος ἐκπρεπέος.
ἤλυθεν εἰς Ἀΐδαο δέμας, ψυχὴ δ' ἐς Ὄλυμπον.
ἀθάνατον ποιεῖ οὐ λόγος, οὔτε θεός.

LXXXV.

I. lect. p. 186.

Γαῖαν τὴν φερέκαρπον ὅσῃ ἔζωκε περὶ χθὼν
ὠκέανος μεγάλῳ Καίσαρι πειθομένην
καὶ γλαυκὴν με θάλασσαν ἀπημειβώσατο κάρπος
οὐκρίσιν ἰσοπόνοις πάντ' ἀπυμαξαμένη·
Καίσαρι δ' ἐκείνου χάριν ἤλθομεν· ἦν γὰρ ἀνάσσης
δῶρα φέρειν τὰ θεοῖς καὶ πρὶν ὀφειλόμενα.

ΘΟΥΚΥΔΙΔΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

T. II. p. 236.

Vide Tom. I. p. 102.

LXXXV. 1. Scr. ὅσην ἔζωσε περίχθων. 3. κάρπος. latet mulieris nomen. 4. Scr. κερκίσιν ἰσοπόνοις π. ἀπομαξαμένη. 5. Scr. Καίσαρι δ' ἐκ κείνης χ. η. ἦν γὰρ ἔθος τι.

T. II. p. 236.

ΚΟΪΝΤΟΥ ΜΑΙΚΙΟΥ.

ψ

I.

Θερμαίνει μ' ὁ καλὸς Κορνήλιος· ἀλλὰ φοβῦμαι
τῦτο τὸ φῶς, ἤδη πῦρ μέγα γινόμενον.

T. III. p. 332.

I. a

Ηλλακτ' ἐξαπίνης Κορνήλιος, ὐδ' ἔτι λιτῷ
τέρπεται ἡμετέρῳ μυσοχαρεῖ βιότῳ·
κύφης δ' αἰωρεῖται ὑπ' ἐλπίδος· ὐκέτι δ' ἡμεῖς
οἱ πάρος· ἀλλ' ἑτέρης ἐλπίδος ἐκκρέμαται.
εἴκωμεν ψυχὴ, πεπαλαίσμεθα, μηδὲ βιάζυ·
εἰς ἔδαφος τέχνης κείμεθ' ὑπ' ἀργυρέης.

T. II. p. 236.

II.

Ωμοσ' ἐγὼ, δύο νύκτας ἀφ' Ηδυλίυ, Κυθέρεια,
σὸν κράτος, ἡσυχάσειν· ὡς δοκέω δ', ἐγέλας,
τὐμὸν ἐπισαμένη τάλανος κακόν. ὐ γὰρ ὑποίσω
τὴν ἑτέρην· ὅρκυς δ' εἰς ἀνέμυς τίθεμαι.
αἱρῦμαι δ' ἀσεβεῖν κείνης χάριν, ἢ τὰ σὰ τηρῶν
ὅρκι', ἀποθνήσκειν, πότνι', ὑπ' εὐσεβίης.

p. 237.

III.

Τί ςυγνή; τί δὲ ταῦτα κόμης εἰκαῖα, Φιλαινὶ,
σκύλματα, καὶ νοτερῶν σύγχυσις ὀμματίων;

I. a 1. Cod. ὐδ' ἐπὶ λ. 3. ὑπ'. vulgo ἀπ'. at ἐλπίδος e ſeq. v. male repetitum videtur. Seqq. Salmaſ. ſic leg. ὐκέτι δ' ἡμῶν, ὡς πάρος, ἀλλ'.

μὴ τὸν ἐραστὴν εἶδες ἔχονθ᾽ ὑποκόλπιον ἄλλην; T. II.
εἰπὸν ἐμοί· λύπης φάρμακ᾽ ἐπιςάμεθα.
δακρύεις· οὐ φὴς δέ. μάτην ἀρνεῖσθ᾽ ἐπιβάλλῃ·
ὀφθαλμοὶ γλώσσης ἀξιοπιςότεροι.

IV. Scalig. P. p. 29.

Η χαλεπὴ κατὰ πάντα Φιλιςίον, ἡ τὸν ἐραστὴν
μηδέποτ᾽ ἀργυρίου χωρὶς ἀνασχομένη,
φαίνετ᾽ ἀνεκτοτέρη νῦν ἢ πάρος. οὐ μέγα θαῦμα·
φαίνεται· ἠλλάχθαι τὴν φύσιν οὐ δοκέω.
καὶ γὰρ πρηϋτέρη ποτὲ γίνεται ἀσπὶς ἀναιδής·
δάκνει δ᾽ οὐκ ἄλλως ἢ θανατηφορίην.

V.

Ἀκτίτᾳ Φοίβῳ, Βιθυνίδος ὃς τόδε χώρης
κράσπεδον αἰγιαλοῖς γειτονέουσιν ἔχει,
Δᾶμις ὁ κυρτευτὴς, ψάμμῳ κέρας αἰὲν ἐρείδων,
φρουρητὸν κήρυκ᾽ αὐτοφυεῖ σκόλοπι
θῆκε γέρας, λιτὸν μὲν, ἐπ᾽ εὐσεβίῃ δ᾽, ὁ γεραιὸς,
εὐχόμενος νούσων ἐκτὸς ἰδεῖν Ἀΐδην.

VI.

Γομφιόδουπα χαλινὰ, καὶ ἀμφίτρητον ἀπείρκταν
κημὸν, καὶ γενύων σφίγκτορ᾽ ἐΰῤῥαφέα,
τάνδε τ᾽ ἐπιπλήκτειραν ἀποῤῥήκτοιο διωγμοῦ
μάςιγα, σκαιοῦ δῆγμά τ᾽ ἐπιψελίου,
κέντρα τ᾽ ἐναιμήεντα διωξίπποιο μύωπος, p. 238.
καὶ τριςὸν ψήκτρης κνῆσμα σιδηροδέτου

V. 4. Fort. κόλωπι vel κόλλωπι.

T. II. διπλοῖς ἠϊόνων ὠρύγμασιν, Ἴσθμιε, τερφθεὶς,
δῶρα, Πόσειδον, ἔχεις ταῦτα παρὰ Στρατίου.

VII.

Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
δῶρα παρ᾽ ἀκταίης σοὶ τάδ᾽ ἐπωφελίης,
θύννων εὐκλώστοιο λίνου βυσσώματι ῥόμβον
φράξαντες, γλαυκαῖς ἐν παρόδοις πελάγευς,
φηγίνεον κρητῆρα, καὶ αὐτόεργητον ἐρείκης
βάθρον, ἰδ᾽ ὑαλέην οἰνοδόκον κύλικα,
ὡς ἂν ἀπ᾽ ὀρχηθμῶν λελυγισμένον ἔγκοπον ἴχνος
ἀμπαύσῃς, ξηρὴν δίψαν ἐλαυνόμενος.

VIII.

Ἀκταίης νησῖδος ἀλιξάντοισι, Πρίηπε,
χοιράσι, καὶ τρηχεῖ τερπόμενε σκοπέλῳ,
σοὶ Πάρις ὀστρακόδερμον ὑπ᾽ εὐθήροισι δαμέντα
ὁ γριπεὺς καλάμοις κάραβον ἐκρέμασε,
σάρκα μὲν ἔμπυρον αὐτὸς ὑφ᾽ ἡμίβρωτον ὀδόντα
θεὶς μάκαρ, αὐτὸ δέ σοι τοῦτο πόρε σκύβαλον·
τῷ σὺ δίδου μὴ πολλὰ, δι᾽ εὐάγρου δὲ λίνοιο,
δαῖμον, ὑλακτούσης νηδύος ἡσυχίην.

IX.

Εἰς Ἔρωτα δεδεμένον.

Κλαῖε δυσεκφύκτοις σφιγχθεὶς χέρας, ἄκριτε δαῖμον,
κλαῖε μάλα, τάζων ψυχοτακῆ δάκρυα,
σωφροσύνας ὑβριστὰ, φρενοκλόπε, ληστὰ λογισμοῦ,
πτανὸν ψυχᾶς πῦρ, τραῦμ᾽ ἀόρατον, Ἔρως.

IX. 2. Scr. δάκρυα ψυχοτακῆ.

θνατοῖς μὲν λύσις ἐςὶ γόων ὁ σὸς, ἄκριτε, δεσμὸς, T. II. p. 239.

ᾧ σφιγχθεὶς, κωφοῖς πέμπε λιτὰς ἀνέμοις·

ὃν δὲ βροτοῖς ἀφύλακτος ἀνέφλεγες ἐν φρεσὶ πυρσὸν,

ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

X.

Εἰς ἀναδενδράδα ὑπὸ Πανὸς φυλαττομένην.

Εὐπέταλον γλαυκὰν ἀναδενδράδα τάνδε παρ' ἄκραις

ἱδρυνθεὶς λοφιαῖς Πὰν ὅδ' ἐπισκοπέω.

εἰ δέ σε πορφύροντος ἔχει πόθος, ὦ παροδῖτα,

βότρυος, οὐ φθονέω γαςρὶ χαριζομένῳ·

ἢν δὲ χερὶ ψαύσῃς κλοπίμῃ μόνον, αὐτίκα δέξῃ

ὀζαλέην βάκτρου τοῦδε καρηβαρίην.

XI. Sloll. Ged. a. d. Gr. p. 213.

Αὐτὸς ἄναξ ἔμβαινε θοῷ πηδήματι, ληνοῦ

λακτιςὴς, ἔργου δ' ἡγεῦ νυκτερίου,

λεύκωσαι πόδα γαῦρον, ἐπιῤῥώσαι δὲ χορείην,

χλαῖναν ὑπὲρ κύφων ζωσάμενος γονάτων·

εὔγλωσσον δ' ὀχέτευε κενοὺς μάκαρ ἐς πιθεῶνας

οἶνον, ἐπὶ ψαιςοῖς καὶ λασίῃ χιμάρῳ.

ΑΝΤΩΝΙΟΥ ΑΡΓΕΙΟΥ. p. 240.

Η πρὶν ἐγὼ Περσῆος ἀκρόπτολις αἰθερίου

ἡ πικρὸν Ἠλιάδαις ἀςέρα θρεψαμένη,

αἰπολίοισιν ἔναυλον ἐρημαίοισιν ἀνεῖμαι,

τίσασα Πριάμου δαίμοσιν ὀψὲ δίκας.

XI. 4. Cod. λάτριν ὑπὲρ.

T. II. φ

ΜΟΥΝΑΤΙΟΥ.

Η πολύχρυσος ἐγὼ τοπάλαι πόλις, ἡ τὸν Ατρειδῶν
 οἶκον ἀπ' ὐρανίυ δεξαμένη γενεῆς,
ἡ Τροίην πέρσασα θεόκτιτον, ἡ βασίλειον
 ἀσφαλὲς Ελλήνων ὖσά ποθ' ἡμιθέων,
μηλόβοτος κεῖμαι καὶ βύνομος ἔνθα Μυκήνη,
 τῶν ἐπ' ἐμοὶ μεγάλων ὔνομ' ἔχυσα μόνον.
Ιλιον ἆ Νεμέσει μεμελημμένον, εἴ γε, Μυκήνης
 ὐπέθ' δρωομένης, ἐσσὶ, καὶ ἐσσὶ πόλις.

p. 241. γ

ΑΔΔΑΙΟΥ.

I.

Τὰν οἶν, ὦ Δάματερ ἐπόγμιε, τάν τ' ἀπέρωτον
 μόσχον, καὶ τροχίαν ἐν κανέῳ φθοΐδα,
σοὶ, ταύτας ἐφ' ἅλωος, ἐφ' ᾇ πολὺν ἔβρεχεν ἄντλον
 Κρίθων, καὶ λιπαρὰν εἶδε γεωμορίαν,
ἱρεύει, πολύσωρε· σὺ δ' ἐς Κρίθωνος ἄρυραν
 πᾶν ἔτος εὔκριθον καὶ πολύπυρον ἄγοις.

II.

Ταύρῳ φρικαλέον νῶτος ἐκβαίνοντι Δοβήρυ
 Πευκέτης ἵππῳ καρτερὸς ἠντίασεν.
ἀλλ' ὁ μὲν ὡρμήθη πρειὼν ἅτε· τῦ δ' ἀπαλοῖο
 Παιονίδα λόγχην ἧκε διὰ κροτάφυ·

συλήσας

συλήσας κεφαλῆς δὲ διπλοῦν κέρας, αἰὲν ἐκείνῳ T. II.
ζωροποτῶν, ἐχθροῦ κόμπον ἔχει θανάτῳ.

III.

Αὔλακι καὶ γήρᾳ τετρυμένον ἐργατίνην βοῦν
Ἀλκων οὐ φονίην ἤγαγε πρὸς κοπίδα,
αἰδεσθεὶς ἔργων· ὁ δέ που βαθέῃ ἐνὶ ποίῃ
μυκηθμοῖς ἀρότου τέρπετ' ἐλευθερίῃ.

IV.

Τῇ βαιῇ Καλαθίνῃ ὑπὸ σκυλάκων μογεούσῃ
Λητωὶς κούφην εὐτοκίην ἔπορε.
μούναις οὔ τι γυναιξὶν ἐπήκοος, ἀλλὰ καὶ αὐτὰς p. 242.
συνθήρους σώζειν Ἄρτεμις οἶδε κύνας.

V.

Ὁ γριπεὺς Διότιμος, ὁ κύμασιν ὁλκάδα πιστήν,
κὴν χθονὶ τὴν αὐτὴν οἶκον ἔχων πενίης,
νήγρετον ὑπνώσας, τὸν ἀμείλιχον ἵκτο πρὸς Ἅιδην,
αὐτερέτης, ἰδίῃ καὶ κομιζόμενος·
ἣν γὰρ ἔχε ζωῆς παραμύθιον, ἔσχεν ὁ πρέσβυς
καὶ φθίμενος πύματον πυρκαϊῆς ὕφελος.

VI.

Ἰνδὴν βήρυλλόν με Τρύφων ἀνέπεισε Γαλήνην
εἶναι, καὶ μαλακαῖς χερσὶν ἀνῆκε κόμας·
ἠνίδε καὶ χείλη νοτερὴν πλείοντα θάλασσαν
καὶ μαστούς, τοῖσιν θέλγω ἀνηνεμίην.

III. 1. Cod. Vat. τετρυμμένον.

T. II. ἦν δ' ἐμοὶ ἡ φθονερὴ νεύσῃ λίθος, ὡς ἐν ἑτοίμῳ
ὥρμημαι, γνώσῃ καὶ τάχα νηχομένην.

VII.

Ην πατρίης ἥρωα, Φιλοπρήγμων δὲ καλεῖται,
πρόσθε Ποτιδαίης κείμενον ἐν τριόδῳ,
εἰπεῖν οἷον ἐπ' ἔργον ἄγεις πόδας· εὐθὺς ἐκεῖνος
εὑρήσει σὺν σοι πρήξιος εὐκολίην.

VIII.

Οὔ σε κυνῶν γένυς εἷλ', Εὐριπίδη, οὐδὲ γυναικὸς
οἶστρος, τὸν σκοτίης Κύπριδος ἀλλότριον,
ἀλλ' Αΐδης καὶ γῆρας· ὑπαὶ Μακέτῃ δ' Ἀρεθούσῃ
κεῖσαι, ἑταιρείῃ τίμιος Ἀρχέλεω.
p. 243. σὸν δ' οὐ τοῦτον ἐγὼ τίθεμαι τάφον· ἀλλὰ τὰ Βάκχου
εἵματα, καὶ σκηνὰς σῇ ὀπὶ πειθομένας.

IX.

Ημαθίην ὃς πρῶτος ἐς Ἄρεα βῆσα Φίλιππος,
Αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,
ῥέξας οἷ' οὔπω βασιλεὺς τοπρίν· εἰ δέ τις αὐχεῖ
μεῖζον ἐμεῦ, καὶ τοῦθ' αἵματος ἡμετέρου.

X.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἀείδῃ,
ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.

VI. 5. Cod. νεύσει.
VIII. 6. Vulgo: καὶ σκ. ἔμβαλε πειθ.
X. 1. Scr. ἤν τις ἐρείῃ.

ΑΝΤΙΓΟΝΟΥ

ΚΑΡΥΣΤΙΟΥ.

T. II. p. 244. φ

Ἀργυρέη κρήνη με, τὸν ὀυκέτι μακρὰ βοῶντα
  βάτραχον, οἰνηραῖς χεῦεν ὑπὸ σταγόσι.
κεῖμαι δ' ἐν Νύμφαις, κείναις φίλος, ὀυδὲ Λυαίῳ
  ἐχθρὸς, ὑπ' ἀμφοτέρων λυόμενος σταγόσιν.
ὀψέ ποτ' εἰς Διόνυσον ἐκώμασα. φεῦ· τίνες ὕδωρ
  πίνουσι, μανίην σώφρονα μαινόμενοι;

ΠΥΘΕΑ.

φ

Πυθέα μνῆμα τόδ' ἐστ' ἀγαθοῦ καὶ σώφρονος ἀνδρὸς,
  ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον
ἀργυρέων, χρυσοῦ τε, καὶ ἠλέκτροιο φαεινοῦ,
  τῶν προτέρων πάντων πλείονα πασάμενος.

ΘΕΑΙΤΗΤΟΥ.

p. 251. φ

I.

α Ὄλβια τέκνα γένοισθε· τίνος γένος ἐστὲ; τί δ' ὑμῖν
  ὧδε καλοῖς χαρίεν κείμενόν ἐστ' ὄνομα;
β Νικάνωρ ἐγώ εἰμι, πατὴρ δ' ἐμοὶ Εὐπτοίητος,
  μήτηρ δ' Ἡγησὼ, κεἰμὶ γένος Μακεδών.

I. 3. Cod. πτόητος. in lemmate vero εἰς Νικάνορα Μακέδονα τὸν Εὐπτοιήτου.

T. II. 7 καὶ μὲν ἐγὼ Φίλα εἰμὶ, καὶ ἔτι μοι οὗτος ἀδελφός·
ἐκ δ' εὐχῆς τεκέων ὤναμεν ἀμφότεροι.

II.

Ἤνδανεν ἀνθρώποις, ὁ δ' ἐπιπλέον ἤνδανε Μούσαις
Κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω.
Γῆ, σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἄνδρ' ὑπεδέξω,
ἦ ῥ' ὅγε καὶ ζώει κεῖθι ἐν εὐθυμίῃ;

III.

Τὰν γνώμαν ἐδόκει Φιλίας ὡ δεύτερος ἄλλων
εἶμεν, ὁ δὲ φθονερὸς κλαιέτω ἔσκε θάνῃ.
ἀλλ' ἔμπας δόξας κενεὰ χάρις· εἰν Ἀΐδᾳ γὰρ
Μίνω Θερσίτας οὐδὲν ἀτιμότερος.

IV.

Χείμωνος οἰνωθέντα τὸν Ἀνταγόρεω μέγαν οἶκον
ἐκ νυκτὸς ἔλαθε πῦρ ὑπονειμάμενον·
ὀγδώκοντα δ' ἀριθμὸν ἐλεύθεροι ἄμμιγα δούλοις
τῆς ἐχθρῆς ταύτης πυρκαιῆς ἔτυχον.
p. 252. οὐκ εἶχον διελεῖν προσκηδέες ὀστέα χωρίς·
ξυνὴ δ' ἡ κάλπις, ξυνὰ δὲ τὰ κτέρεα·
εἷς καὶ τύμβος ἀνέστη. ἀτὰρ τὸν ἕκαστον ἐκείνων
οἶδε καὶ ἐν τέφρῃ ῥηϊδίως Ἀΐδης.

V.

Ναυτίλοι ὦ πλώοντες, ὁ Κυρηναῖος Ἀρίστων
πάντας ὑπὲρ ξενίου λίσσεται ὔμμε Διὸς,
εἰπεῖν πατρὶ Μένωνι, παρ' Ἰκαρίαις ὅτι πέτραις
κεῖται, ἐν Αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

II. 4. Scr. ἐν εὐτυχίῃ.

VI. T.III.p.131.

Εἰς Πυθαγόραν τὸν πύκτην.

Πυθαγόρην τινὰ, Πυθαγόρην, ὦ ξεῖνε, κομήτην,
ᾀδόμενον πύκτην εἰ κατέχεις Σάμιον,
Πυθαγόρης ἐγώ εἰμι· τὰ δ' ἔργα μου εἴ τιν' ἔροιο
Ηλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

ΕΡΜΟΚΡΕΟΝΤΟΣ. T.II.p.252.

I.

Νύμφαι ἐφυδριάδες, ταῖς Ερμοκρέων τάδε δῶρα
εἴσατο, καλλινάου πίδακος ἀντιτυχών,
χαίρετε, καὶ στείβοιτ' ἐρατοῖς ποσὶν ὑδατόεντα
τόνδε δόμον, καθαροῦ πιμπλάμεναι πόματος.

II.

Ιζευ ὑπὸ σκιερὰν πλάτανον, ξένε, τάνδε παρέρπων,
ἇς ἁπαλῷ Ζέφυρος πνεύματι φύλλα δονεῖ,
ἔνθα με Νικαγόρας κλυτὸν εἵσατο Μαιάδος Ερμᾶν,
ἀγροῦ καρποτόκου ῥύτορα καὶ κτεάνων.

T.II.p.253.

ΔΙΟΝΥΣΙΟΥ.

I.

ΥΜΝΟΣ ΕΙΣ ΜΟΥΣΑΝ.

Ἄειδε Μοῦσά μοι φίλη,
μολπῆς δ' ἐμῆς κατάρχου·
αὔρη δὲ σῶν ἀπ' ἀλσέων
ἐμὰς φρένας δονείτω.
Καλλιόπεια σοφὰ,
Μουσῶν προκαταγέτι τερπνῶν,
καὶ σοφὲ μυστοδότα,
Λατοῦς γόνε, Δήλιε, Παιὰν,
εὐμενεῖς πάρεστέ μοι.

Anthol. Gr. p. 315.

II.

ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Εὐφημείτω πᾶς αἰθήρ·
οὔρεα, τέμπεα σιγάτω,
γῆ, καὶ πόντος, καὶ πνοιαὶ,
ἦχοι, φθόγγοι τ' ὀρνίθων·
μέλλει δὲ πρὸς ἡμᾶς βαίνειν
Φοῖβος ἀκερσεκόμας, εὐχαίτας.
Χιονοβλεφάρου πάτερ Ἀοῦς,
ῥοδόεσσαν ὃς ἄντυγα, πώλων
πτανοῖς ὑπ' ἴχνεσι, διώκεις,
χρυσέαισιν ἀγαλλόμενος κόμαις,

περὶ νῶτον ἀπείριτον οὐρανοῦ· T.II. p.254.
ἀκτῖνα πολύστροφον ἀμπλέκων,
αἴγλας πολυκερδέα παγὰν
περὶ γαῖαν ἅπασαν ἑλίσσων.
ποταμοὶ δὲ σέθεν πυρὸς ἀμβρότου
τίκτουσιν ἐπήρατον ἁμέραν.
σοὶ μὲν χορὸς εὔδιος ἀστέρων
κατ' Ολυμπον ἄνακτα χορεύει,
ἄνετον μέλος αἰὲν ἀείδων,
Φοιβηΐδι τερπόμενος λύρᾳ.
γλαυκὰ δὲ πάροιθε Σελάνα
χορὸν Ὥριον ἀγεμονεύει,
λευκῶν ὑπὸ σύρμασι μόσχων·
γάνυται δέ τέ οἱ νόος εὐμενὴς
πολυείμονα κόσμον ἑλίσσων.

III.

Καὶ Διὶ καὶ Βρομίῳ με διάβροχον οὐ μέγ' ὀλισθεῖν,
καὶ μόνον ἐκ δοιῶν, καὶ βροτὸν ἐκ μακάρων.

IV.

Εἰ μὲν ἐμὲ τέρξεις, εἴης ἰσόμοιρος, Ακρατε,
Χίῳ, καὶ Χίου πουλὺ μελιχρότερος·
εἰ δ' ἕτερον κρίναις ἐμέθεν πλέον, ἀμφί σε βαίη
κώνωψ ὀξηρῷ τερπόμενος κεράμῳ.

V.

Η τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν. ἀλλὰ τί πωλεῖς;
σαυτήν, ἢ τὰ ῥόδα, ἠὲ συναμφότερα;

IV.4. Cod. τυφόμενος. Scr. φυόμενος.

T.II. p.255.

VI.

Ἡράκλεις, Τρηχῖνα πολύλλιθον, ὅς τε καὶ Οἴτην
καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης,
τοῦτό σοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης
χλωρὸν ἀπὸ δρεπάνῳ θῆκε ταμὼν ῥόπαλον.

VII.

Καλλιόπη πολύμυθε μελισσοβότου Ἑλικῶνος,
τίκτε μοι ἄλλον Ὅμηρον, ἐπεὶ μόλεν ἄλλος Ἀχιλλεύς.

VIII.

Ἀγχίτοκον Σατύρου Ἀΐδας λάχε, Σιδονία δὲ
κρύψε κόνις, πάτρα δ' ἐστονάχησε Τύρος.

IX.

Πρώϊος, ἀλλὰ ποθεινὸς ὅσοι πόλιν Ἰαλύσοιο
ναίομεν, εἰς Λήθης πικρὸν ἔδυς πέλαγος,
δρεψάμενος σοφίην ὀλίγον χρόνον· ἀμφὶ δὲ τύμβῳ
σεῖο καὶ ἄκλαυτοι γλαῦκες ἔθεντο γόον,
Φαινόκριτ'· οὐδὲν ὅμοιον ἐπεσσομένοισιν ἀοιδὸς
φθέγξεται, ἀνθρώπους ἄχρι φέρωσι πόδες.

X.

Πρηΰτερον γῆράς σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
ἔσβεσεν· εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
ἄκρα μεριμνήσας, Ἐρατόσθενες· οὐδὲ Κυρήνη
μαῖά σ' ἐπ' ἀτρύτων ἐντὸς ἔδεκτο τάφων,

IX. 5. Cod. Vat. ἀοιδοῖς.
X. 4. Vulgo μαινὰς ἐπ' ἀτρύτων (Cod. Vat. ἐπαυτρύτων) ἐκτός.
Scr. μαῖά σε πατρῴων ἐκτὸς —

Αγλαῦ υἱέ· φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι T. II.
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.

XI. p. 529.

Χοῖρι μὲν οὐκ ΙΔΙΟΝ δέ με θύετε· καί με καλεῖτε
ΧΟΙΡΙΔΙΟΝ, φανερῶς εἰδότες οὐκ ἴδιον.

ΞΕΝΟΚΡΙΤΟΥ p. 256.

ΡΟΔΙΟΥ.

4

Χαῖταί σου στάζουσιν ἔθ' ἁλμυρὰ, δύσμορε κούρη,
ναυηγοῦ φθιμένης εἰν ἁλὶ, Λυσιδίκη.
ἦ γὰρ ὀρινομένου πόντου, δείσασα θαλάσσης
ὕβριν, ὑπὲρ κοίλου δούρατος ἐξέπεσες.
καὶ σὸν μὲν φωνεῖ τάφος οὔνομα, καὶ χθόνα Κύμην,
ὀστέα δὲ ψυχρῷ κλύζετ' ἐπ' αἰγιαλῷ,
πικρὸν Ἀριστομάχῳ γενέτῃ κακὸν, ὅς σε κομίζων
ἐς γάμον, οὔτε κόρην ἤγαγεν, οὔτε νέκυν.

ΑΘΗΝΑΙΟΥ. p. 257.

I.

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσι,
τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἅδε γὰρ ἀνδρῶν
μούνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
σαρκὸς δ' ἀδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
ἁ μία τῶν Μνήμης ἤνυσε θυγατέρων.

T. II.

II.

Ἄνθρωποι μοχθεῖτε τὰ χείρονα, καὶ διὰ κέρδος
ἄπληστον νεικῶν ἄρχετε καὶ πολέμων·
τᾶς φύσιος δ' ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει,
αἱ δὲ κεναὶ κρίσιες τὰν ἀπέραντον ὁδόν.
τοῦτο Νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ Μουσῶν
ἔκλυεν, ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

p. 258.

ΑΡΙΣΤΩΝΟΣ.

I.

Χύτρον τοι, ταύτην τε κρεαγρίδα, καὶ βαθυκαμπῆ
κλεῖδα συῶν, καὶ τὰν ἐτνοδόνον τορύναν,
καὶ πτερίναν ῥιπίδα, τὸν εὔχαλκόν τε λέβητα,
σὺν πελέκει, καὶ τὰν λαιμοτόμον σφαγίδα,
ζωμοῦ τ' ἀμφ' ὀβέλοισιν ἀρυστρίδα, τόν τε μαγῆα
σπόγγον ὑπὸ στιβαρᾷ κεκλιμένον κοπίδι,
καὶ τοῦτον δικάρανον ἀλοτρίβα, σὺν δὲ θυείαν
εὔπετρον, καὶ τὰν κρεοδόκον σκαφίδα,
ὀψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνας
θήκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος.

II.

Ὦ μύες, εἰ μὲν ἐπ' ἄρτον ἐληλύθατ', ἐς μυχὸν ἄλλον
στείχετ', (ἐπεὶ λιτὴν οἰκέομεν καλύβην)
οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε, καὶ αὔην
ἰσχάδα, καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων.

I. 5. Cod. Vat. μαγεῖα.

εἰ δ' ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ' ὀδόντα, T. II
κλαύσεσθ', ὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.

III.

Ἀμπελὶς ἡ φιλάκρητος ἐπὶ σκήπωνος ὁδηγῦ
ἤδη τὸ σφαλερὸν γῆρας ἐρειδομένη,
λαθριδίη Βάκχοιο νεοθλιβὲς ἦλθ' ἀπὸ ληνῦ
πῶμα πιεῖν κύκλῳ πλησαμένη κύλικα·
πρὶν δ' ἀρύσαι μογερὰν ἔκαμεν χέρα, ὡς δὲ παλαιὴ p. 259.
νηῦς ὑποβρύχιος, ζωρὸν ἔδυ πέλαγος.
Εὐτέρπη δ' ὑπὸ τύμβον ἀποφθιμένης θέτο σῶμα
λάϊνον, οἰνηρῶν γείτονα θειλοπέδων.

ΘΥΜΟΚΛΕΟΥΣ.

Μέμνῃ που, μέμνῃ, ὅτε τοι ἔπος ἱερὸν εἶπον·
Ὥρη κάλλιστον, χὤρη ἐλαφρότατον.
ὥρην ὐδὲ τάχιστος ἐν αἰθέρι παρθύσει ὄρνις·
νῦν ἴδε, πάντ' ἐπὶ γῆς ἄνθεά σου κέχυται.

ΔΑΜΟΣΤΡΑΤΟΥ.

Νύμφαι Ναϊάδες, καλλίρροον αἳ τόδε νᾶμα
χεῖτε κατ' ὐρείου πρωνὸς ἀπειρέσιον,
ὔμμιν ταῦτα πόρεν Δαμόστρατος Ἀντίλα υἱὸς
ξέσματα, καὶ δοιῶν ῥινὰ κάπρων λάσια.

III. 4. Cod. πῶμα κύκλῳ πιεῖν.

T. II.

ΔΙΟΦΑΝΟΥΣ

ΜΥΡΙΝΑΙΟΥ.

Ψιλλιστὴς ὁ Ἔρως καλοῖτ' ἂν ἔντως·
ἀγρυπνεῖ, θρασύς ἐστι, ἐκδιδύσκει.

cf. Archil. 158.

p. 260.

ΑΡΙΣΤΟΔΙΚΟΥ.

I.

Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν Ἥρας
εὔφρονα Λυσσάταν ὡς ἐπύθοντο νέκυν,
ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ' ἀπὸ μιτρᾶν
χείρεσι δειραγχεῖς ἀκρεμάσαντο βρόχως.

II.

Οὐκέτι δή σε λίγεια κατ' ἀφνιὸν Ἀλκίδος οἶκον
ἀκρὶ μελιζομέναν ὄψεται Ἀέλιος·
ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένω πεπότησαι,
καὶ δροσερὰ χρυσέας ἄνθεα Φερσεφόνας.

Diophan. 1. Scr. ψιλέτης aut φιλέτας. 2. Fort. ἐκδιδράσκει.
I. 4. Cod. χερσὶ δὲ δειρ.

ΔΗΜΟΚΡΙΤΟΥ. T. II.

Scalig. Bern. p. 10.

Κύπρις ὅτε σταλάουσα κόμας ἁλιμυρέος ἀφρῷ
 γυμνὴ πορφυρέου κύματος ἐξανέδυ,
οὕτω που κατὰ λευκὰ παρήϊα χερσὶν ἑλοῦσα
 βόστρυχον, Αἰγαίην ἐξεπίεζεν ἅλα,
στέρνα μόνον φαίνουσα, τὰ καὶ θέμις· εἰ δὲ τοιήδε
 κείνη, συγχείσθω θυμὸς Ἐνυαλίου.

ΗΡΑΚΛΕΙΔΟΥ p. 261.

ΣΙΝΩΠΕΩΣ.

I.

Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπῳ
 σείονται φύλλων ἡμιθαλεῖς στέφανοι.
γράμμα διακρίναντες, ὁδοιπόρε, πέτρον ἴδωμεν·
 λευρὰ περιστέλλειν ὀστέα φατὶ τίνος.
Ξεῖν', Ἀρετημιάς εἰμι· πάτρα Κνίδος· Εὔφρονος ἦλθον
 εἰς λέχος· ὠδίνων ἄμμορος οὐ γενόμαν·
δισσὰ δ' ὁμοῦ τίκτουσα, τὸ μὲν λίπον ἀνδρὶ ποδηγὸν
 γήρως· τὸν δ' ἀπάγω μναμόσυνον πόσιος.

II.

Λαῖλαψ καὶ πολὺ κῦμα, καὶ ἐντολαὶ Ἀρκτούροιο,
 καὶ σκότος, Αἰγαίου τ' οἶδμα κακὸν πελάγευς,

T. II. ταῦθ' ἅμα πάντ' ἐνίκησεν ἐμὴν νέα· τρηχὺς δὲ κλασθεὶς
ἱστὸς ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι, γονῆες,
Τλησιμένη, κωφὸν στησάμενοι λίθακα.

III.

Ἄπισχ' ἄπισχε χεῖρας, ὦ γεωπόνε,
μηδ' ἀμφίταμνε τὰν ἐν ἠρίῳ κόνιν.
αὐτὰ κέκλαυται βῶλος· ἐκ κεκλαυμένας
δ' οὔτι κομάτας ἀναθαλήσεταί στάχυς.

---

p. 262.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

I.

Ἄρτι γενειάζων ὁ καλὸς καὶ στεῤῥὸς ἐρασταῖς
παιδὸς ἐρᾷ Λάδων. σύντομος ἡ Νέμεσις.

II.

Σῶον ἐμοὶ Πολέμωνα μολεῖν, ὅτ' ἔπεμπον, Ἄπολλον,
ᾐτούμην, θυσίην ὄρνιν ὑποσχόμενος.
ἦλθε δ' ἐμοὶ Πολέμων λάσιος γένυν. οὐ μά σε, Φοῖβε,
ἦλθεν ἐμοί· πικρῷ δ' ἐξέφυγέν με τάχει.
οὐκ ἔτι σοι θύω τὸν ἀλέκτορα· μή με σοφίζου,
κώφην μοι σταχύων ἀντιδιδοὺς καλάμην.

III.

Ἀργύρεον νυχίων με συνίστορα πιστὸν ἐρώτων
οὐ πιστῇ λύχνον Φλάκκος ἔδωκε Νάπῃ,
ἧς παρὰ νῦν λεχέεσσι μαραίνομαι, τῆς ἐπιόρκου
παντοπαθῆ κούρης αἴσχεα δερκόμενος.

Φλάκκε, τὸ δ' ἄγρυπνον χαλεπαὶ τείρουσι μέριμναι· T. II.
ἄμφω δ' ἀλλήλων ἄνδιχα καιόμεθα.

IV.

Πρίηπ' αἰγιαλῖτα, φυκόγειτον,
Δαμοίτας ἁλιεύς, ὁ βυσσομέτρης,
τὸ πέτρης ἁλιπλῆγος ἐκμαγεῖον, p. 263.
ἢ βδέλλα σπιλάδων, ὁ ποντοθήρης,
σοὶ τὰ δίκτυα κἀμφίβληστρα ταῦτα,
δαῖμον, εἵσατο, τοῖς ἔθαλπε γῆρας.

V.

Ῥαιβοσκελῆ, δίχαλον, ἀμμοδυόταν,
ὀπισθοβάμον', ἀτράχηλον, ὀκτάπουν,
νηκτάν, ἐρυμνόνωτον, ὀστρακόχροα
τῷ Πανὶ τὸν πάγουρον ὁρμιηβόλος,
ἄγρας ἀπαρχάν, ἀντίθησι Κώπασος.

VI.

α Σιγήσας ἄρυσαι. β τίνος οὕνεκα; α μηκέτ' ἐρώτα.
β τεῦ χάριν; α ἡσυχίοις ἡδὺ λάλογχα ποτόν.
β δύσκολος ἡ κρήνη. α γεῦσαι, καὶ μᾶλλον ἐρεῖς με
δύσκολον. β ὢ μικροῦ νάματος. α ὢ λαλιῆς.

VII. *Scalig. Poem. p. 8.*

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
ῥίψεν· ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

VIII.

Εἰς Ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις, ἀτηρῆς ὦ τέκος Ἀφρογενοῦς,

T. II. ὁ τεύχων τυρόεσσαν ἀνηρμένος, ᾧ ἐφύλασσον
ἐκ χερὸς ψάλλων ἀντιτόνου βέλος.
ἄλλοι θαρσείτωσαν· ἐγὼ δ', ἀγέρωχε, δέδοικα
μή με καὶ κνίσσων πικρὸν ἔπεμψεν ἴδῃ.

IX.

p. 264. Οἰδίποδες δισσοί σε, καὶ Ἠλέκτρη βαρύθυμος,
καὶ δείπνοις ἐλαθεὶς Ἀτρέος Ἠέλιος,
ἄλλα τε πυλυπαθέσσι, Σοφόκλεες, ἀμφὶ τυράννοις
ἄξια τῆς Βρομίου βύβλα χοροστασίης
ταγὸν ἐπὶ τραγικοῖο κατήνεσαν θιάσοιο,
αὐτοῖς ἡρώων φθεγγόμενον τόμασι.

X.

Πένθιμον ἡνίκα πατρὶ Πολυξείνης ὑμέναιον
ἤνυσεν ὀγκωτῷ Πύῤῥος ὕπερθε τάφῳ,
ὧδε πολυκλαύτοιο κόμας λακίσασα καρήνου
Κισσηὶς τεκέων κλαῦσε φόνους Ἑκάβη·
Πρόσθε μὲν ἀξονίαις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς·
νῦν δὲ Πολυξείνης αἷμα λέχῃ φθίμενος,
Αἰακίδη· τί τοσοῦτον ἐμὴν ἀλύουσα νηδύν;
παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

XI.

Λαίλαπα καὶ μανίην ὀλοῆς προφυγόντα θαλάσσης
ναυηγόν, Λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
οὐχ ἑκὰς ἠιόνων, πυμάτῳ βεβαρημένον ὕπνῳ,
γυμνόν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει,
τὴν ἐπὶ γῆς φεύγων μοῖραν ὀφειλομένην;

XII.

XII. T. II.

Ἕβρῳ χειμερίοις ἀταλὸς κρυμοῖσι δεθέντος
κοῦρος ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον,
τοῦ παρασυρομένοιο περιῤῥαγὲς αὐχέν' ἔκοψε p. 265.
θηγαλέον ποταμοῦ Βιστονίοιο τρύφος.
καὶ τὸ μὲν ἡρπάσθη δίναις μέρος· ἡ δὲ τεκοῦσα
λειφθὲν ὕπερθε τάφῳ μοῦνον ἔθηκε κάρα.
μυρομένη δὲ τάλαινα, Τέκος, τέκος, εἶπε, τὸ μέν σου
πυρκαϊὴ, τὸ δὲ σου πικρὸν ἔθαψεν ὕδωρ.

ΜΟΥΚΙΟΥ ΣΚΑΙΟΛΑ.

Αἱ χίμαροι, τί ποτ' ἄρα τὰ μὲν θύμα καὶ τιθύμαλλα
λείπετε, καὶ χλοερὴν αἰγίνομον βοτάνην,
γυρὰ δ' ἐπ' ἀλλήλαις σκιρτήματα γαῦρα τίθεσθε
ἀμφὶ τὸν ὑλοβάτην ἀλλόμεναι Νόμιον;
οὐκ ἀπὸ πυγμαχίης; ἀποπαύσατε, μή ποτ' ἀπεχθὴς
ἀντήσῃ κορύνῃ χειρὸς ἀπ' αἰπολικῆς.

ΤΡΑΙΑΝΟΥ
ΒΑΣΙΛΕΩΣ.

Ἀντίον ἠελίου στήσας ῥῖνα, καὶ στόμα χάσκων,
δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

Muc. Scaev. 5. Cod. οὐκ ἀπὸ πυγμαχίης ἀποπαύσατε;

T.II.p.266.

ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ψ

I.

Θῆλυς ἔρως κάλλιστος ἐν ἀνθρώποισι τέτυκται,
ὅσσοις ἐς φιλίην σεμνὸς ἔνεστι νόος.
εἰ δὲ καὶ ἀρσενικὸν στέργεις πόθον, οἶδα διδάξαι
φάρμακον, ᾧ παύσεις τὴν δυσέρωτα νόσον.
στρέψας Μηνοφίλην εὐίσχιον, ἐν φρεσὶν ἔλπου
αὐτὸν ἔχειν κόλποις ἄρσενα Μηνόφιλον.

II.

Ποιεῖς πάντα, Μέλισσα, φιλανθέος ἔργα μελίσσης,
οἶδα, καὶ ἐς κραδίην τοῦτο, γύναι, τίθεμαι.
καὶ μέλι μὲν στάζεις ὑπὸ χείλεσιν ἡδὺ φιλεῦσα·
ἢν δ᾽ αἰτῇς, κέντρῳ τύμμα φέρεις ἄδικον.

III.

Αἶρε τὰ δίκτυα ταῦτα, κακόσχολε, μηδ᾽ ἐπιτηδὲς
ἰσχίον ἐρχομένη σύστρεφε, Λυσιδίκη.
ἤ σε περισφίγγει λεπτοῖς στολιδώμασι πέπλος,
πάντα δέ σου βλέπεται γυμνά, καὶ οὐ βλέπεται.
εἰ τόδε σοι χαρίεν καταφαίνεται, αὐτὸς ὁμοίως
ὀρθὸν ἔχων, βύσσῳ τοῦτο περισκεπάσω.

p. 267.

IV.

Στέρνα περὶ στέρνοις, μαστῷ δ᾽ ἐπὶ μαστὸν ἐρείσας,
χείλεα δὲ γλυκεροῖς χείλεσι συμπιέσας

Ἀντιγόνης, καὶ χρῶτα βαλὼν πρὸς χρῶτα, τὰ λοιπὰ T. II.
σιγῶ, μάρτυς ἐφ' οἷς λύχνος ἐπεγράφετο.

V.

Ἀντιγόνη, Σικελὴ πάρος ἦσθά μοι· ὡς δ' ἐγενήθης
Αἰτωλή, κἀγὼ Μῆδος ἰδοὺ γέγονα.

VI.

Ἀντιγόνην ἔστεργε Φιλόστρατος. ἦν δὲ παλαιστῆς
ὁ τλήμων Ἴρου πέντε πενιχρότερος.
εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον· ἀντία γὰρ σχὼν
γούνατ' ἐκοιμήθη, ξεῖνε, μετ' Ἀντιγόνης.

VII.

Οὐκ ἔστ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
βούλετ' ἔχειν, φρονίμοις ὄμμασι πειθόμενος·
ἀλλ' ὅστις κακόμορφον ἰδών, πεφορημένος οἴστρῳ
στέργει, μαινομένης ἐκ φρενὸς αἰθόμενος.
οὗτος ἔρως, πῦρ τοῦτο. τὰ γὰρ καλὰ πάντας ὁμοίως
τέρπει, τοὺς κρίνειν εἶδος ἐπισταμένους.

VIII.

Ὄρνι, τί μοι φίλον ὕπνον ἀφήρπασας; ἤδη δὲ Πύῤῥης
εἴδωλον κοίτης ᾤχετ' ἀποπτάμενον.
ἦ τάδε θρέπτρα τίνεις, ὅτι θῆκά σε, δύσμορε, πάσης
ὠοτόκου κραίνειν ἐν μεγάροις ἀγέλης;
ναὶ βωμὸν καὶ σκῆπτρα Σαράπιδος, οὐκ ἔτι νυκτὸς p. 268.
φθέγξεαι, ἀλλ' ἕξεις βωμὸν ὃν ὠμοσάμην.

T. II.

ΔΙΟΦΑΝΟΥΣ
ΜΥΡΙΝΑΙΟΥ.

cf. Archil. 188.

Ψιλλιστὴς ὁ Ἔρως καλεῖτ' ἂν ὄντως·
ἀγρυπνεῖ, θρασύς ἐστι, ἐκδιδύσκει.

p. 260.

ΑΡΙΣΤΟΔΙΚΟΥ.

I.

Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν Ἥρας
εὔφρονα Λυσσάταν ὡς ἐπύθοντο νέκυν,
ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ' ἀπὸ μιτρᾶν
χείρεσι δειραγχεῖς ἀπρεμάσαντο βρόχως.

II.

Οὐκέτι δή σε λίγεια κατ' ἄφνεον Ἀλκίδος οἶκον
ἀκρὶ μελιζομέναν ὄψεται Ἀέλιος·
ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι,
καὶ δροσερὰ χρυσέας ἄνθεα Φερσεφόνας.

Diophan. 1. Scr. ψιλήτης aut φιλήτης. 2. Fort. ἐκδιδράσκει.
I. 4. Cod. χερσὶ δὲ δειρ.

ΔΗΜΟΚΡΙΤΟΥ. T. II.

Scalig. Bern. p. 10.

Κύπρις ὅτε σταλάουσα κόμας ἁλιμυρέος ἀφροῦ
  γυμνὴ πορφυρέου κύματος ἐξανέδυ,
οὕτω που κατὰ λευκὰ παρήϊα χερσὶν ἑλοῦσα
  βότρυχον, Αἰγαίην ἐξεπίεζεν ἅλα,
στέρνα μόνον φαίνουσα, τὰ καὶ θέμις· εἰ δὲ τοιήδε
  κείνη, συγχείσθω θυμὸς Ἐνυαλίου.

ΗΡΑΚΛΕΙΔΟΥ p. 261.

ΣΙΝΩΠΕΩΣ.

I.

Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπῳ
  σείονται φύλλων ἡμιθαλεῖς στέφανοι.
γράμμα διακρίναντες, ὁδοιπόρε, πέτρον ἴδωμεν
  λευρὰ περιστέλλειν ὀστέα φατὶ τίνος.
Ξεῖν', Ἀρετημιάς εἰμι· πάτρα Κνίδος· Εὔφρονος ἦλθον
  εἰς λέχος· ὠδίνων ἄμμορος οὐ γενόμαν·
δισσὰ δ' ὁμοῦ τίκτουσα, τὸ μὲν λίπον ἀνδρὶ ποδηγὸν
  γήρως· τὸν δ' ἀπάγω μναμόσυνον πόσιος.

II.

Λαῖλαψ καὶ πολὺ κῦμα, καὶ ἀντολαὶ Ἀρκτούρεια,
  καὶ σκότος, Αἰγαίου τ' οἶδμα κακὸν πελάγευς,

T. II. ταῦθ' ἅμα πάντ' ἐκύκησεν ἐμὴν νέα· τριχθὰ δὲ κλασθεὶς
ἱστὸς ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι, γονῆες,
Τλησιμένη, κωφὸν στησάμενοι λίθακα.

III.

Ἄπισχ' ἄπισχε χεῖρας, ὦ γεωπόνε,
μηδ' ἀμφίταμνε τὰν ἐν ἠρίῳ κόνιν.
αὕτα κέκλαυται βῶλος· ἐκ κεκλαυμένας
δ' οὔτοι κομάτας ἀναθαλήσεται στάχυς.

p. 262. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

I.

Ἄρτι γενειάζων ὁ καλὸς καὶ στερρὸς ἐρασταῖς
παιδὸς ἐρᾷ Λάδων. σύντομος ἡ Νέμεσις.

II.

Σῶον ἐμοὶ Πολέμωνα μολεῖν, ὅτ' ἔπεμπον, Ἄπολλον,
ᾐτούμην, θυσίην ὄρνιν ὑποσχόμενος.
ἦλθε δ' ἐμοὶ Πολέμων λάσιος γένυν. οὐ μά σε, Φοῖβε,
ἦλθεν ἐμοί· πικρῷ δ' ἐξέφυγέν με τάχει.
οὐκ ἔτι σοι θύω τὸν ἀλέκτορα· μή με σοφίζου,
κούφην μοι σταχύων ἀντιδιδοὺς καλάμην.

III.

Ἀργύρεον νυχίων με συνίστορα πιστὸν ἐρώτων
οὐ πιστῇ λύχνον Φλάκκος ἔδωκε Νάπῃ,
ἧς παρὰ νῦν λεχέεσσι μαραίνομαι, τῆς ἐπιόρκου
παντοπαθῆ κούρης αἴσχεα δερκόμενος.

Φλάκκε, σὲ δ' ἄγρυπνον χαλεπαὶ τείρουσι μέριμναι· T. II.
ἄμφω δ' ἀλλήλων ἄνδιχα καιόμεθα.

IV.

Πρίηπ' αἰγιαλῖτα, φυκόγειτον,
Δαμοίτας ἁλιεὺς, ὁ βυσσομέτρης,
τὸ πέτρης ἁλιπλῆγος ἐκμαγεῖον, p. 263.
ἢ βδέλλα σπιλάδων, ὁ ποντοθήρης,
σοὶ τὰ δίκτυα κἀμφίβληστρα ταῦτα,
δαῖμον, εἵσατο, τοῖς ἔθαλπε γῆρας.

V.

Ῥαιβοσκελῆ, δίχαλον, ἀμμοδυόταν,
ὀπισθοβάμον', ἀτράχηλον, ὀκτάπουν,
νηκτὰν, ἐρυμνόνωτον, ὀστρακόχροα
τῷ Πανὶ τὸν πάγουρον ὁρμηβόλος,
ἄγρας ἀπαρχὰν, ἀντίθησι Κώπασος.

VI.

[α]Σιγήσας ἄρυσαι. [β]τίνος οὕνεκα; [α]μηκέτ' ἐρώτα.
[β]τοῦ χάριν; [α]ἡσυχίοις ἡδὺ λάλογχα ποτόν.
[β]δύσκολος ἡ κρήνη. [α]γεῦσαι, καὶ μᾶλλον ἐρεῖς μοι
δύσκολον. [β]ὦ πικροῦ νάματος. [α]ὦ λαλιῆς.

VII. Scalig. Poem. p. 8.

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
ῥίψεν· ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

VIII.

Εἰς Ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις ἀστηρῆς ἆ τέκος Ἀφρογενοῦς,

T.II.p.253.

ΔΙΟΝΥΣΙΟΥ.

I.

ΥΜΝΟΣ ΕΙΣ ΜΟΥΣΑΝ.

Ἄειδε Μοῦσά μοι φίλη,
μολπῆς δ' ἐμῆς κατάρχου·
αὔρη δὲ σῶν ἀπ' ἀλσέων
ἐμὰς φρένας δονείτω.
Καλλιόπεια σοφὰ,
Μουσῶν προκαταγέτι τερπνῶν,
καὶ σοφὲ μυστοδότα,
Λατοῦς γόνε, Δήλιε, Παιὰν,
εὐμενεῖς πάρεστέ μοι.

II.

ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Εὐφημείτω πᾶς αἰθήρ·
οὔρεα, τέμπεα σιγάτω,
γῆ, καὶ πόντος, καὶ πνοιαὶ,
ἦχοι, φθόγγοι τ' ὀρνίθων·
μέλλει δὲ πρὸς ἡμᾶς βαίνειν
Φοῖβος ἀκερσεκόμας, ἀχέτας.
Χιονοβλεφάρου πάτερ Ἀοῦς,
ῥοδόεσσαν ὃς ἄντυγα, πώλων
πτανοῖς ὑπ' ἴχνεσι, διώκεις,
χρυσέαισιν ἀγαλλόμενος κόμαις,

περὶ νῶτον ἀπείριτον ὠρανῶ· T. II. p. 254.
ἀκτῖνα πολύστροφον ἀμπλέκων,
αἴγλας πολυκερδέα παγὰν
περὶ γαῖαν ἅπασαν ἑλίσσων.
ποταμοὶ δὲ σέθεν πυρὸς ἀμβρότω
τίκτωσιν ἐπήρατον ἁμέραν.
σοὶ μὲν χορὸς εὔδιος ἀστέρων
κατ' Ολυμπον ἄνακτα χορεύει,
ἄνετον μέλος αἰὲν ἀείδων,
Φοιβηΐδι τερπόμενος λύρᾳ.
γλαυκὰ δὲ πάροιθε Σελάνα
χορὸν Ωριαν ἁγεμονεύει,
λευκῶν ὑπὸ σύρμασι μόσχων·
γάνυται δέ τέ οἱ νόος εὐμενὴς
πολυείμονα κόσμον ἑλίσσων.

III.

Καὶ Διὶ καὶ Βρομίῳ με διάβροχον ὠ μέγ' ὀλισθεῖν,
καὶ μόνον ἐκ δοιῶν, καὶ βροτὸν ἐκ μακάρων.

IV.

Εἰ μὲν ἐμὲ τέρξεις, εἴης ἰσόμοιρος, Ακρατε,
Χίῳ, καὶ Χίω πωλὺ μελιχρότερος·
εἰ δ' ἕτερον κρίναις ἐμέθεν πλέον, ἀμφί σε βαίη
κώνωψ ὀξηρῷ τερπόμενος κεράμῳ.

V.

Η τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν. ἀλλὰ τί πωλεῖς;
σαυτὴν, ἢ τὰ ῥόδα, ἠὲ συναμφότερα;

IV. 4. Cod. τυφόμενος. Scr. φυόμενος.

T. II. p. 255.

VI.

Ἡράκλεες, Τρηχῖνα πολύλλιθον, ὅς τε καὶ Οἴτην
καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης,
τοῦτό σοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης
χλωρὸν ἀπὸ δρεπάνῳ θῆκε ταμὼν ῥόπαλον.

VII.

Καλλιόπη πελύμυθε μελισσοβότου Ἑλικῶνος,
τίκτε μοι ἄλλον Ὅμηρον, ἐπεὶ μόλεν ἄλλος Ἀχιλλεύς.

VIII.

Ἀγχίτοκον Σατύρου Ἀΐδας λάχε, Σιδονία δὲ
κρύψε κόνις, πάτρα δ' ἐστονάχησε Τύρος.

IX.

Πρώϊος, ἀλλὰ ποθεινὸς ὅσοι πόλιν Ἰαλύσοιο
ναίομεν, εἰς Λήθης πικρὸν ἔδυς πέλαγος,
δρεψάμενος σοφίην ὀλίγον χρόνον· ἀμφὶ δὲ τύμβῳ
σεῖο καὶ ἄκλαυτοι γλαῦκες ἔθεντο γόον,
Φαινόκριτ'· οὐδὲν ὅμοιον ἐπεσσομένοισιν ἀοιδὸς
φθέγξεται, ἀνθρώπους ἄχρι φέρωσι πόδες.

X.

Πρηΰτερον γῆράς σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
ἔσβεσεν· εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
ἄκρα μεριμνήσας, Ἐρατόσθενες· οὐδὲ Κυρήνη
μαῖά σ' ἐπ' ἀτρύτων ἐντὸς ἔδεκτο τάφων,

IX. 5. Cod. Vat. ἀοιδοῖς.
X. 4. Vulgo μαινὰς ἐπ' ἀτρύτων (Cod. Vat. ἐπεντρύτων) ἐντός.
Scr. μαῖά σε πατρῴων ἐντὸς —

Ἀγλαῦ υἱέ· φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι T. II.
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλῦ.

XI. p. 529.

Χοῖρι μὲν ἐκ ΙΔΙΟΝ δέ με θύετε· καί με καλεῖτε
ΧΟΙΡΙΔΙΟΝ, φανερῶς εἰδότες ἐκ ἴδιον.

ΞΕΝΟΚΡΙΤΟΥ p. 256.

ΡΟΔΙΟΥ.

Χαῖταί συ στάζεσιν ἔθ' ἁλμυρὰ, δύσμορε κούρη,
ναυηγῦ φθιμένης εἰν ἁλὶ, Λυσιδίκη.
ἦ γὰρ ὀρινομένυ πόντυ, δείσασα θαλάσσης
ὕβριν, ὑπὲρ κοίλυ δύρατος ἐξέπεσες.
καὶ σὸν μὲν φωνεῖ τάφος ὔνομα, καὶ χθόνα Κύμην,
ὀστέα δὲ ψυχρῷ κλύζετ' ἐπ' αἰγιαλῷ,
πικρὸν Ἀριστομάχῳ γενέτῃ κακὸν, ὅς σε κομίζων
ἐς γάμον, ὔτε κόρην ἤγαγεν, ὔτε νέκυν.

ΑΘΗΝΑΙΟΥ. p. 257.

I.

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ παγάριστα
δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσι,
τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἅδε γὰρ ἀνδρῶν
μύνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
σαρκὸς δ' ἀδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
ἁ μία τᾶν Μνήμης ἤνυσε θυγατέρων.

T. II.

II.

Ἄνθρωποι μοχθεῖτε τὰ χείρονα, καὶ διὰ κέρδος
ἄπληστον νεικῶν ἄρχετε καὶ πολέμων·
τᾶς φύσιος δ' ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει,
αἱ δὲ κεναὶ κρίσιες τὰν ἀπέραντον ὁδόν.
τοῦτο Νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ Μουσῶν
ἔκλυεν, ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

p. 258.

ΑΡΙΣΤΩΝΟΣ.

I.

Χύτρον τοι, ταύτην τε κρεαγρίδα, καὶ βαθυκαμπῆ
κλεῖδα συῶν, καὶ τὰν ἐτνοδόνον τορύναν,
καὶ πτερίναν ῥιπίδα, τὸν εὔχαλκόν τε λέβητα,
σὺν πελέκει, καὶ τὰν λαιμοτόμον σφαγίδα,
ζωμοῦ τ' ἀμφ' ὀβέλοισιν ἀρυστρίδα, τόν τε μαγῆα
σπόγγον ὑπὸ στιβαρᾷ κεκλιμένον κοπίδι,
καὶ τοῦτον δικάρανον ἀλοτρίβα, σὺν δὲ θυείαν
εὔπετρον, καὶ τὰν κρειοδόκον σκαφίδα,
ὀψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνας
θήκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος.

II.

Ὦ μύες, εἰ μὲν ἐπ' ἄρτον ἐληλύθατ', ἐς μυχὸν ἄλλον
στείχετ', (ἐπεὶ λιτὴν οἰκέομεν καλύβην)
οὐ καὶ πίονα τυρὸν ἀποδρέψεσθε, καὶ αὔην
ἰσχάδα, καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων.

I. 5. Cod. Vat. μαγεῖα.

εἰ δ' ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ' ὀδόντα, T. II
κλαύσεσθ', οὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.

III.

Αμπελὶς ἡ φιλάκρητος ἐπὶ σκήπωνος ὁδηγοῦ
ἤδη τὸ σφαλερὸν γῆρας ἐρειδομένη,
λαθριδίη Βάκχοιο νεοθλιβὲς ἦλθ' ἀπὸ ληνοῦ
πῶμα πιεῖν κύκλῳ πλησαμένη κύλικα·
πρὶν δ' ἀρύσαι μογερὰν ἔκαμεν χέρα, ὡς δὲ παλαιὴ p. 259.
νηῦς ὑποβρύχιος, ζωρὸν ἔδυ πέλαγος.
Εὐτέρπη δ' ὑπὸ τύμβον ἀποφθιμένης θέτο σῶμα
λάϊνον, οἰνηρῶν γείτονα θειλοπέδων.

ΘΥΜΟΚΛΕΟΥΣ.

Μέμνῃ που, μέμνῃ, ὅτε τοι ἔπος ἱερὸν εἶπον·
Ὥρη κάλλιστον, χ' ὥρη ἐλαφρότατον.
ὥρην οὐδὲ τάχιστος ἐν αἰθέρι παρθύσει ὄρνις·
νῦν ἴδε, πάντ' ἐπὶ γῆς ἄνθεά σευ κέχυται.

ΔΑΜΟΣΤΡΑΤΟΥ.

Νύμφαι Ναϊάδες, καλλίῤῥοον αἳ τόδε νᾶμα
χεῖτε κατ' οὐρείου πρωνὸς ἀπειρέσιον,
ὔμμιν ταῦτα πόρεν Δαμόστρατος Αντίλα υἱὸς
ξέσματα, καὶ δοιῶν ῥινὰ κάπρων λάσια.

III. 4. Cod. πῶμα κύκλῳ πιεῖν.

T. II.

ΔΙΟΦΑΝΟΥΣ

ΜΥΡΙΝΑΙΟΥ.

Ψιλλιστὴς ὁ Ἔρως καλεῖτ᾽ ἂν ὄντως·
ἀγρυπνεῖ, θρασύς ἐστι, ἐκδιδύσκει.

cf. Archil. 183.

p. 260.

ΑΡΙΣΤΟΔΙΚΟΥ.

I.

Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν Ἥρας
εὔφρονα Λυσσάταν ὡς ἐπύθοντο νέκυν,
ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ᾽ ἀπὸ μιτρᾶν
χείρεσι δειραγχεῖς ἀπεκρεμάσαντο βρόχως.

II.

Οὐκέτι δή σε λίγεια κατ᾽ ἀφνειὸν Ἀλκίδεω οἶκον
ἀκρὶ μελιζομέναν ὄψεται Ἀέλιος·
ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι,
καὶ δροσερὰ χρυσέας ἄνθεα Φερσεφόνας.

Diophan. 1. Scr. ψιλήτης aut φιλήτης. 2. Fort. ἐκδιδράσκει.
I. 4. Cod. χερσὶ δὲ δειρ.

ΔΗΜΟΚΡΙΤΟΥ. Τ. II.

Scalig. Poem. p. 10.

Κύπρις ὅτε σταλάουσα κόμας ἁλιμυρέος ἀφροῦ
    γυμνὴ πορφυρέου κύματος ἐξανέδυ,
οὕτω που κατὰ λευκὰ παρήϊα χερσὶν ἑλοῦσα
    βότρυχον, Αἰγαίην ἐξεπίεζεν ἅλα,
στέρνα μόνον φαίνουσα, τὰ καὶ θέμις· εἰ δὲ τοιήδε
    κείνη, συγχείσθω θυμὸς Ἐνυαλίου.

ΗΡΑΚΛΕΙΔΟΥ p. 261.
ΣΙΝΩΠΕΩΣ.

I.

Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπῳ
    σείονται φύλλων ἡμιθαλεῖς στέφανοι.
γράμμα διακρίναντες, ὁδοιπόρε, πέτρον ἴδωμεν·
    λευρὰ περιστέλλειν ὀστέα φατὶ τίνος.
Ξεῖν', Ἀρετημιάς εἰμι· πάτρα Κνίδος· Εὔφρονος ἦλθον
    εἰς λέχος· ὠδίνων ἄμμορος οὐ γενόμαν·
δισσὰ δ' ὁμοῦ τίκτουσα, τὸ μὲν λίπον ἀνδρὶ ποδηγὸν
    γήρως· τὸν δ' ἀπάγω μναμόσυνον πόσιος.

II.

Λαῖλαψ καὶ πολὺ κῦμα, καὶ ἀντολαὶ Ἀρκτούροιο,
    καὶ σκότος, Αἰγαίου τ' οἶδμα κακὸν πελάγους,

T. II. ταῦθ' ἅμα πάντ' ἐκύκησεν ἐμὴν νέα· τριχθὰ δὲ κλασθεὶς
ἱστὸς ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι, γονῆες,
Τλησιμένη, κωφὸν στησάμενοι λίθακα.

III.

Ἄπισχ' ἄπισχε χεῖρας, ὦ γεωπόνε,
μηδ' ἀμφίταμνε τὰν ἐν ἠρίῳ κόνιν.
αὕτα κέκλαυται βῶλος· ἐκ κεκλαυμένας
δ' οὔτοι κομάτας ἀναθαλήσεται στάχυς.

p. 262.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

I.

Ἄρτι γενειάζων ὁ καλὸς καὶ στερρὸς ἐρασταῖς
παιδὸς ἐρᾷ Λάδων. σύντομος ἡ Νέμεσις.

II.

Σοὶ μὲν ἐμοὶ Πολέμωνα μολεῖν, ὅτ' ἔπεμπον, Ἄπολλον,
ᾐτούμην, θυσίην ὄρνιν ὑποσχόμενος.
ἦλθε δ' ἐμοὶ Πολέμων λάσιος γένυν. οὐ μά σε, Φοῖβε,
ἦλθεν ἐμοί· πικρῷ δ' ἐξέφυγέν με τάχει.
οὐκ ἔτι σοι θύω τὸν ἀλέκτορα· μή με σοφίζου,
κύφην μοι σταχύων ἀντιδιδοὺς καλάμην.

III.

Ἀργύρεον λυχνίων με συνίστορα πιστὸν ἐρώτων
οὐ πιστῇ λύχνον Φλάκκος ἔδωκε Νάπῃ,
ἧς παρὰ νῦν λεχέεσσι μαραίνομαι, τῆς ἐπιόρκου
παντοπαθῆ κούρης αἴσχεα δερκόμενος.

Φλάκκε, σὲ δ' ἄγρυπνον χαλεπαὶ τείρουσι μέριμναι· T. II.
ἄμφω δ' ἀλλήλων ἄνδιχα καιόμεθα.

IV.

Πρίηπ' αἰγιαλῖτα, φυκόγειτον,
Δαμοίτας ἁλιεὺς, ὁ βυσσομέτρης,
τὸ πέτρης ἁλιπλῆγος ἐκμαγεῖον, p. 263.
ἡ βδέλλα σπιλάδων, ὁ ποντοθήρης,
σοὶ τὰ δίκτυα κἀμφίβληστρα ταῦτα,
δαῖμον, εἵσατο, τοῖς ἔθαλπε, γῆρας.

V.

Ῥαιβοσκελῆ, δίχαλον, ἀμμοδυόταν,
ὀπισθοβάμον', ἀτράχηλον, ὀκτάπουν,
νηκτὰν, ἐρυμνόνωτον, ὀστρακόχροα
τῷ Πανὶ τὸν πάγουρον ὁρμιηβόλος,
ἄγρας ἀπαρχὰν, ἀντίθησι Κώπασος.

VI.

ᵅΣιγήσας ἄρυσαι. ᵝτίνος οὕνεκα; ᵅμηκέτ' ἐρεύνα.
ᵝτεῦ χάριν; ᵅἡσυχίοις ἡδὺ λάλογχα ποτόν.
ᵝδύσκολος ἡ κρήνη. ᵅγεῦσαι, καὶ μᾶλλον ἐρεῖς με
δύσκολον. ᵝὢ πικροῦ νάματος. ᵅὢ λαλιῆς.

VII. Scalig. Poem. p. 8.

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὃν ὁ μὲν εὑρὼν
ῥῖψεν· ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

VIII.

Εἰς Ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις ἀτηρῆς ἆ τέκος Ἀφρογενοῦς,

T. II. ἢ πεύκην πυρόεσσαν ἐπηρμένος, οὐδ' ἀφύλακτον
ἐκ κέραος ψάλλων ἀντιτένοιο βέλος.
ἄλλοι θαρσείτωσαν· ἐγὼ δ', ὠγέρωχε, δέδοικα
μή μοι καὶ κνώσσων πικρὸν ὄνειρον ἴδῃς.

p. 264.

IX.

Οἰδίποδες δισσοί σε, καὶ Ἠλέκτρη βαρύμηνις,
καὶ δείπνοις ἐλαθεὶς Ἀτρέος Ἠέλιος,
ἄλλα τε πουλυπαθέσσι, Σοφόκλεες, ἀμφὶ τυράννοις
ἄξια τῆς Βρομίου βύβλα χοροιτυπίης
ταγὸν ἐπὶ τραγικοῖο κατήνεσαν θιάσοιο,
αὐτοῖς ἡρώων φθεγγόμενον στόμασι.

X.

Πένθιμον ἡνίκα πατρὶ Πολυξείνης ὑμέναιον
ἤνυσεν ὀγκωτοῦ Πύῤῥος ὕπερθε τάφου,
ὧδε πολυκλαύτοιο κόμας λακίσασα καρήνου
Κισσηὶς τεκέων κλαῦσε φόνους Ἑκάβη·
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς·
νῦν δὲ Πολυξείνης αἷμα λέχει φθίμενος,
Αἰακίδη· τί τοσοῦτον ἐμὴν ἀλύσσαο νηδύν;
παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

XI.

Λαίλαπα καὶ μανίην ὀλοῆς προφυγόντα θαλάσσης
ναυηγόν, Λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
οὐχ ἑκὰς ἠιόνων, πυμάτῳ βεβαρημένον ὕπνῳ,
γυμνόν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει,
τὴν ἐπὶ γῆς φεύγων μοῖραν ὀφειλομένην;

XII.

XII. T. II.

Εβρυ χειμερίοις ἀταλὸς κρυμοῖσι δεθέντος
  κῦρος ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον,
τῦ παρασυρομένοιο περιῤῥαγὲς αὐχέν' ἔκοψε p. 265.
  θηγαλέον ποταμῦ Βιςονίοιο τρύφος.
καὶ τὸ μὲν ἡρπάσθη δίναις μέρος· ἡ δὲ τεκῦσα
  λειφθὲν ὕπερθε τάφῳ μῦνον ἔθηκε κάρα.
μυρομένη δὲ τάλαινα, Τέκος, τέκος, εἶπε, τὸ μέν συ
  πυρκαϊὴ, τὸ δὲ, συ πικρὸν ἔθαψεν ὕδωρ.

ΜΟΥΚΙΟΥ ΣΚΑΙΟΛΑ.

Αἱ χίμαροι, τί ποτ' ἆρα τὰ μὲν θύμα καὶ τιθύμαλλα
  λείπετε, καὶ χλοερὴν αἰγίνομον βοτάνην,
γυρὰ δ' ἐπ' ἀλλήλαις σκιρτήματα γαῦρα τίθεσθε
  ἀμφὶ τὸν ὑλοβάτην ἀλλόμεναι Νόμιον;
ὐκ ἀπὸ πυγμαχίης; ἀποπαύσατε, μή ποτ' ἀπεχθὴς
  ἀντήσῃ κορύνη χειρὸς ἀπ' αἰπολικῆς.

ΤΡΑΙΑΝΟΥ

ΒΑΣΙΛΕΩΣ.

Αντίον ἠελίυ τήσας ῥῖνα, καὶ τόμα χάσκων,
  δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

Muc. Scaev. 5. Cod. ὐκ ἀπὸ πυγμαχίης ἀποπαύσετε;

T.II.p.266. # ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ψ

I.

Θῆλυς ἔρως κάλλιςος ἐν ἀνθρώποισι τέτυκται,
ὅσσοις ἐς φιλίην σεμνὸς ἔνεςι νόος.
εἰ δὲ καὶ ἀρσενικὸν ςέργεις πόθον, οἶδα διδάξαι
φάρμακον, ᾧ παύσεις τὴν δυσέρωτα νόσον.
ςρέψας Μηνοφίλην εὐίσχιον, ἐν φρεσὶν ἔλπε
αὐτὸν ἔχειν κόλποις ἄρσενα Μηνόφιλον.

II.

Ποιεῖς πάντα, Μέλισσα, φιλανθέος ἔργα μελίσσης,
οἶδα, καὶ ἐς κραδίην τῦτο, γύναι, τίθεμαι.
καὶ μέλι μὲν ςάζεις ὑπὸ χείλεσιν ἡδυφιλεῦσα·
ἢν δ' αἰτῇς, κέντρῳ τύμμα φέρεις ἄδικον.

III.

Αἶρε τὰ δίκτυα ταῦτα, κακόσχολε, μηδ' ἐπιτηδὲς
ἰσχίον ἐρχομένη σύςρεφε, Λυσιδίκη.
ἤ σε περισφίγγει λεπτοῖς ςολιδώμασι πέπλος,
πάντα δέ συ βλέπεται γυμνὰ, καὶ ὐ βλέπεται.
εἰ τόδε σοι χαρίεν καταφαίνεται, αὐτὸς ὁμοίως
ὀρθὸν ἔχων, βύσσῳ τῦτο περισκεπάσω.

p. 267. IV.

Στέρνα περὶ ςέρνοις, μαςῷ δ' ἐπὶ μαςὸν ἐρείσας,
χείλεα δὲ γλυκεροῖς χείλεσι συμπιέσας

Ἀντιγόνης, καὶ χρῶτα βαλὼν πρὸς χρῶτα, τὰ λοιπὰ T. II.
σιγῶ, μάρτυς ἐφ' οἷς λύχνος ἐπεγράφετο.

V.

Ἀντιγόνη, Σικελὴ πάρος ἦσθά μοι· ὡς δ' ἐγενήθης
Αἰτωλή, κἀγὼ Μῆδος ἰδοὺ γέγονα.

VI.

Ἀντιγόνην ἔστεργε Φιλόστρατος. ἦν δὲ παλαιστῆς
ὁ τλήμων Ἴρου πέντε πενιχρότερος.
εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον· ἀντία γὰρ σχὼν
γούνατ' ἐκοιμήθη, ξεῖνε, μετ' Ἀντιγόνης.

VII.

Οὐκ ἔσθ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
βούλετ' ἔχειν, φρονίμοις ὄμμασι πειθόμενος·
ἀλλ' ὅστις κακόμορφον ἰδὼν, πεφορημένος οἴστρῳ
στέργει, μαινομένης ἐκ φρενὸς αἰθόμενος.
οὗτος ἔρως, πῦρ τοῦτο. τὰ γὰρ καλὰ πάντας ὁμοίως
τέρπει, τοὺς κρίνειν εἶδος ἐπισταμένους.

VIII.

Ὄρνι, τί μοι φίλον ὕπνον ἀφήρπασας; ἤδη δὲ Πύῤῥης
εἴδωλον κοίτης ᾤχετ' ἀποπτάμενον.
ἦ τάδε θρέπτρα τίνεις, ὅτι θῆκά σε, δύσμορε, πάσης
ὠοτόκου κραίνειν ἐν μεγάροις ἀγέλης;
νὴ βωμὸν καὶ σκῆπτρα Σαράπιδος, οὐκ ἔτι νυκτὸς p. 268.
φθέγξῃ, ἀλλ' ἕξεις βωμὸν ὃν ὠμοσάμην.

T. II. IX. Gr. L. Bluml. p. 19.

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων,
Πύῤῥην ἐξαπίνης εἶδον ἐπερχομένην·
βίβλον δὲ ῥίψας ἐπὶ γῆν χερὶ, τοῦτ' ἐβόησα·
Ἔργα τί μοι παρέχεις, ὦ γέρον Ἡσίοδε.

X. Scalig. P. p. 30.

Μήνη χρυσόκερως δέρκῃ τάδε, καὶ πυριλαμπεῖς
ἀστέρες, οὓς κόλποις Ὠκεανὸς δέχεται,
ὥς με μόνον προλιποῦσα μυρόπνοος ᾤχετ' Ἀρίστη·
ἑκταίην δ' εὑρεῖν τὴν μάγον οὐ δύναμαι.
ἀλλ' ἔμπης αὐτὴν ἀγρεύσομεν, ἢν ἐπιπέμψω
Κύπριδος ἰχνευτὰς ἀργυρέους σκύλακας.

XI.

Τὴν ἰσχνὴν Διόκλειαν, ἀσαρκοτέρην Ἀφροδίτην,
ὄψεαι, ἀλλὰ καλοῖς ἤθεσι τερπομένην.
οὐ πολύ μοι τὸ μεταξὺ γενήσεται· ἀλλ' ἐπὶ λεπτὰ
στέρνα πεσὼν, ψυχῆς κείσομαι ἐγγυτάτω.

XII.

Ἔγχει Λυσιδίκης κυάθους δέκα, τῆς δὲ ποθεινῆς
Εὐφράντης ἕνα μοι, λάτρι, δίδου κύαθον.
φήσεις Λυσιδίκην με φιλεῖν πλέον· οὐ μὰ τὸν ἡδὺν
Βάκχον, ὃν ἐν ταύτῃ λαβροποτῶ κύλικι.
ἀλλά μοι Εὐφράντη μία πρὸς δέκα. καὶ γὰρ ἀπείρους
ἀστέρας ἓν μήνης φέγγος ὑπερτίθεται.

p. 269. XIII.

Παρθένον Ἀλκίππην ἐφίλουν μέγα, καί ποτε πείσας
αὐτὴν λαθριδίως εἶχον ἐπὶ κλισίῃ.

ἀμφοτέρων δὲ τέρνον ἐπάλλετο, μή τις ἐπέλθῃ, T. II.

μή τις ἴδῃ τὰ πόθων κρυπτὰ περιεσσότερον.

μητέρα δ' οὐκ ἔλαθεν κείνης λάλον· ἀλλ' ἐσιδοῦσα

ἐξαπίνης, ΕΡΜΗΣ ΚΟΙΝΟΣ, ἔφη, θύγατερ.

XIV.

Ἰσιὰς ἡδύπνευστε, καὶ εἰ δεκάκις μύρον εὕδεις,

ἔγρεο, καὶ δέξαι χερσὶ φίλαις στέφανον,

ὃν νῦν μὲν θάλλοντα, μαραινόμενον δὲ πρὸς ἠῶ

ὄψεαι, ὑμετέρης σύμβολον ἡλικίης.

XV. Scalig. P. p. 29.

Ἠράσθης πλουτῶν Σωσίκρατες· ἀλλὰ πένης ὢν

οὐκέτ' ἐρᾷς· λιμὸς φάρμακον οἷον ἔχει.

ἡ δὲ πάρος σε καλεῦσα μύρον καὶ τερπνὸν Ἄδωνιν

Μηνοφίλα, νῦν σου τοὔνομα πυνθάνεται·

τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πτόλις; ἦ μόλις ἔγνως

τοῦτ' ἔπος, ὡς ΟΥΔΕΙΣ ΟΥΔΕΝ ΕΧΟΝΤΙ ΦΙΛΟΣ.

XVI.

Ἄλλος ὁ Μηνοφίλα λέγεται παρὰ μαχλάδι κόσμος,

ἄλλος, ἐπεὶ πάσης γεύεται ἀκρασίης.

ἀλλ' ἴτε Χαλδαῖοι κείνης πέλας· ἦ γὰρ ὁ ταύτης

οὐρανὸς ἐντὸς ἔχει καὶ κύνα καὶ διδύμους.

XVI.a T.II. p. 539.

Λάθριος Ἡράκλεια καλῶς ὑπὸ χείλεσιν ἕλκεις.

κεῖνο πάλαι κατὰ σοῦ τοῦτ' ἐβόησε πόλις.

πῶς ἔτλης αἶσχος ῥέξαι κακόν; ἤ σε βιαίως

εἵλκυσέ τις θαλερῶν δραξάμενος πλοκάμων;

ἤ σοι τοὔνομα τερπνὸν ἀφ' Ἡρακλῆος ἐχύση,
μάχλε, φιλεῖν ἥβην κέκριται ἠϊθέων;

T.II p.270.

XVII.

Σφάλλομαι ἀκρήτῳ μεμεθυσμένος· ἀλλὰ τίς ἄρα
σώσει μ' ἐκ Βρομίου γυῖα σαλευόμενον;
ὡς ἄδικον θεὸν εὗρον, ὅθ' οὕνεκεν αὐτὸς ἐγώ σε,
Βάκχε, φέρων ὑπὸ σοῦ τοὔμπαλι παρφέρομαι.

XVIII.

Ἀρχαίη σύνδειπνε, καπηλικὰ μέτρα φιλεῦσα,
εὔλαλε, πρηΰγελως, εὔστομε, μακροφάρυγξ,
αἰὲν ἐμῆς πενίης βραχυσύμβολε μύστι, λάγυνε,
ἦλθες ὅμως ὑπ' ἐμὴν χεῖρά ποτε χρόνιος.
αἴθ' ὄφελες καὶ ἄμικτος ἀνύμφευτός τε παρεῖναι,
ἄφθορος, ὡς κούρη πρὸς πόσιν ἐρχομένη.

XIX.

Πέντε θανὼν κείσῃ κατέχων πόδας· οὐδὲ τὰ τερπνὰ
ζωῆς, οὐδ' αὐγὰς ὄψεαι ἠελίου·
ὥστε λαβὼν Βάκχου ζωρὸν δέπας ἕλκε γεγηθώς,
Κίγκιε, καλλίστην ἀγκὰς ἔχων ἄλοχον.
εἰ δέ σοι ἀθάνατος σοφίης νόος, ἴσθι Κλεάνθης
καὶ Ζήνων Ἀΐδην τὸν βαθὺν ὡς ἔμολον.

XX.

Σάνδαλα καὶ μίτρην περιμαλλέα, τόν τε μυρόπνουν
βόστρυχον ὡραίων οὖλον ἀπὸ πλοκάμων,

XIX. 4. In tribus Plan. codd. ἀγκὰς ἔχων ἄκοιτιν. Scr. ἀγκὰς ἄκοιτιν ἔχων.

καὶ ζώνην, καὶ λεπτὸν ὑπένδυμα τοῦτο χιτῶνος, T. II.
καὶ τὰ περὶ στέρνοις ἀγλαὰ μαστόδετα,
ἄβροτον εὐωδῖνος ἐπεὶ φύγε νηδύος ὄγκον
Εὐφράντη νηῷ θῆκεν ὑπ' Ἀρτέμιδος.

XXI. p. 271.

Κύπριδι κεῖσο, λάγυνε μεθυσφαλὲς, αὐτίκα δῶρον
κεῖσο, κασιγνήτη νεκταρέης κύλικος,
βακχιὰς, ὑγρόφθογγε, συνέστιε δαιτὸς ἴσης,
τειναύχην, ψήφου συμβολικῆς θύγατερ,
θνητοῖς αὐτοδίδακτε διήκονε, μύστι φιλούντων
ἡδίστη, δείπνων ὅπλον ἑτοιμότατον·
εἴης ἐκ Μάρκου γέρας ἀγλαὸν, ὅς σε, φίλοινε,
ᾔνεσεν, ἀρχαίην σύμπλανον ἀνθέμενος.

XXII.

Ὥριμος· οἶδα καὶ αὐτὸς, ὁδοιπόρε. μηκέτ' ἐπαίνει
ἰσχάδα, μηδ' ἰσόρα τὸν πέλας ἀκρέμονα.
καὶ λίην ὁ Πρίηπος ἐφίσταμαι ὀξὺ δεδορκὼς,
καὶ φυλακὴν σύκων ἣν ἀπέοικεν ἔχων.
ἢν δὲ μόνον σὺ θίγῃς τῆς ἰσχάδος, ἰσχάδα δώσεις,
ὡς ἰσότης πάντων ἐστὶ δικαιοτάτη.

XXIII.

Κωμάζω, χρύσειον ἐς ἑσπερίων χορὸν ἄστρων
λεύσσων, οὐδ' ἄλλων λὰξ ἐβάρυνα χορούς·
τίψας δ' ἀνθόβολον κρατὸς τρίχα, τὴν κελαδεινὴν
πηκτίδα μυσοπόλοις χερσὶν ἐπηρέθισα.

XX. 5. Cod. Αμβροτον. Fort. Αμβροσὶς, εὐώδινος ἐπεὶ φύγε v. e. εὐφρανθεῖσα νεῷ θ. v. A.

T. II. καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον· οὐδὲ γὰρ αὐτὸς
κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνων.

XXIV.

Λῦσον ἀπ' εὐόρμων δολιχὰ πρυμνήσια νηῶν,
εὔτροχα δ' ἐκπετάσας λαίφεα ποντοπόρει,
p. 272. ἔμπορε. χειμῶνες γὰρ ἀπέδραμον, ἄρτι δὲ κῦμα
γλαυκὸν θηλύνει πρηΰγελως Ζέφυρος·
ἤδη καὶ φιλότεκνος ὑπὸ τραυλοῖσι χελιδὼν
χείλεσι καρφίτην πηλοδομεῖ θάλαμον·
ἄνθεα δ' ἀντέλλουσι κατὰ χθόνα· τῷ σὺ Πριήπῳ
πειθόμενος πάσης ἅπτεο ναυτιλίης.

XXV.

Εἰς τὴν Μύρωνος βοῦν.

Βουκόλον ἢν ἐσίδῃς τὸν ἐμὸν, ξένε, τοῦτ' ἔπος αὐτῷ
εἰπὸν, οὐδ' ὁ πλάστης ὧδέ μ' ἔδησε Μύρων.

Scalig. Dem. p. 4. XXVI.

Ἐθρηνήθης ἡδεῖα παρ' οἰνοπόταισι Λάγυνε
νηδύος ἐκ πάσης χευαμένη Βρόμιον.
τηλόθε γὰρ λίθος εἴς σε βαρύτονος, οἷα κεραυνὸς,
οὐ Διὸς ἐκ χειρῶν, ἀλλὰ Δίωνος ἔβη.
ἦν δὲ γέλως ἐπὶ σοὶ, καὶ σκώμματα πυκνὰ, τυπείσης,
καὶ πολὺς ἐξ ἑτάρων γινόμενος θόρυβος.
οὐ θρηνῶ σε, Λάγυνε, τὸν εὐαστῆρα τεκοῦσαν
Βάκχον, ἐπεὶ Σεμέλη καὶ σὺ πεπόνθατ' ἴσα.

XXVII.

Αὐγάζω τὸν ἄφυκτον ἐπὶ σφραγῖδος Ἔρωτα
χερσὶ λεοντείαν ἀνιοχεῦντα βίαν,

ὡς τῷ μὲν μάστιγα κατ' αὐχένος, ᾧ δὲ χαλινὸς T. II.
 εὐθύνει· πολλὴ δ' ἀμφιτέθηλε χάρις.
Φείσσω τὸν βροτολοιγόν· ὁ γὰρ καὶ θῆρα δαμάζων
 ἄγριον, οὐδ' ὀλίγων φείσεται ἀμερίων.

XXVIII.

p. 273.

Μηκέτι νῦν μινύριζε παρὰ δρυΐ, μηκέτι φώνει
 κλωνὸς ἐπ' ἀκροτάτου, κόσσυφε, κεκλιμένος.
ἐχθρόν σοι τόδε δένδρον· ἐπείγεο δ' ἄμπελος ἔνθα
 ἀντέλλει γλαυκῶν σύσκιος ἐκ πετάλων·
κείνης ταρσὸν ἔρεισον ἐπὶ κλάδον, ἀμφί τε κείνῃ
 μέλπε, λιγὺν προχέων ἐκ στομάτων κέλαδον.
δρῦς γὰρ ἐπ' ὀρνίθεσσι φέρει τὸν ἀνάρσιον ἰξόν·
 ἡ δὲ βότρυν· στέργει δ' ὑμνοπόλους Βρόμιος.

XXIX.

Ἀκρίδι καὶ τέττιγι Μυρὼ τόδε θήκατο σῆμα,
 λιτὴν ἀμφοτέροις ἀμφιβαλοῦσα κόνιν,
ἵμερα δακρύσασα πυρῆς ἔπι· τὸν γὰρ ἀοιδὸν
 Ἀΐδης, τὴν δ' ἑτέρην ἥρπασε Περσεφόνη.

XXX. Scalig. Poem. p.7.

Ἡ Βρόμιον στέρξασα πολὺ πλέον ἢ τροφὸς Ἰνώ,
 ἡ λάλος ἀμπελίνη γρηῦς Ἀριστομάχη,
ἡνίκα τὴν ἱερὴν ὑπέδυ χθόνα, πᾶν δ' ἐμαράνθη
 πνεῦμα πάρος κυλίκων πλεῖστον ἐπαυρόμενον,
εἶπε τάδε Μίνωϊ πάλαι· Φέρε κάλπιν ἐλαφρήν,
 οἴσω κυάνεον τοῦ Ἀχέροντος ὕδωρ·

XXX. 4. Scr. ἐπαυρομένης.

T. II. καὐτὴ παρθένιον γὰρ ἀπώλεσα. τοῦτο δ' ἔλεξε
ψευδὲς, ἵν' αὐγάζῃ κἠν φθιμένοισι πίθον.

XXXI.

Δύσμορος ἐκρύφθην πόντῳ νέκυς, ὃν παρὰ κῦμα
ἔκλαυσεν μήτηρ μυρία Λυσιδίκη,
p. 274. ψεύστην αὐγάζουσα κενὸν τάφον· ἀλλ' ἐμὲ δαίμων
ἄπνοον αἰθυίαις θῆκεν ὁμορρόθιον
Πνυταγόρην· ἔσχον δὲ κατ' Αἰγαίην ἅλα πότμον,
πρυμνούχους στέλλων ἐκ Βορέαο κάλους.
ἀλλ' οὐδ' ὣς ναύτην ἔλιπον δρόμον, ἀλλ' ἀπὸ νηὸς
ἄλλην πρὸς φθιμένοις εἰσανέβην ἄκατον.

XXXII.

Ψύλλος, ὁ τὰς ποθεινὰς ἐπιμισθίδας αἰὲν ἑταίρας
πέμπων ἐς τὰ νέων ἡδέα συμπόσια,
οὗτος ὁ θηρεύων ἁπαλόφρονας, ἐνθάδε κεῖται,
αἰσχρὸν ἀπ' ἀνθρώπων μισθὸν ἐνεγκάμενος.
ἀλλὰ λίθους ἐπὶ τύμβον, ὁδοιπόρε, μήτε σὺ βάλλε,
μήτ' ἄλλον πείσῃς· σῆμα λέλογχε νέκυς.
φείσαι δ' οὐχ ὅτι κέρδος ἐπῄνεσεν, ἀλλ' ὅτι κοινὰς
θρέψας, μοιχεύειν οὐκ ἐδίδαξε νέους.

XXXIII.

Οὗτος ὁ Καλλαίσχρου κενεὸς τάφος, ὃν βαθὺ κῦμα
ἔσφηλεν Λιβυκῶν ἐνδρομέοντα πόρων,
συρμὸς ὅτ' Ὠρίωνος ἀνεστρώφησε θαλάσσης
βένθος, ὑπὸ στυγερῆς οἴδματα πανδυσίης,
καὶ τὸν μὲν δαίσαντο κυκώμενον εἰν ἁλὶ θῆρες,
κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.

ΑΙΜΙΛΙΑΝΟΥ T.II. p.275.

ΝΙΚΑΕΩΣ.

φ

I.

Εἰς παῖδα τῆς μητρὸς τεθνηκυίας μαζὸν θηλάζοντα.

Ἕλκε τάλαν παρὰ μητρὸς ὃν οὐκέτι μαζὸν ἀμέλξεις,
ἕλκυσον ὑστάτιον νᾶμα καταφθιμένης·
ἤδη γὰρ ξιφέεσσι λιπόπνοος. ἀλλὰ τὰ μητρὸς
φίλτρα καὶ εἰν Ἀΐδῃ παιδοκομεῖν ἔμαθε.

II.

Τέχνας εἵνεκα σεῖο καὶ ἁ λίθος οἶδε βρυάζειν,
Πραξίτελες· λῦσον, καὶ πάλι κωμάσομαι.
νῦν δ᾽ ἡμῖν οὐ γῆρας ἔτ᾽ ἀδρανὲς, ἀλλ᾽ ὁ πεδήτας
Σιληνοῖς κώμων βάσκανός ἐστι λίθος.

III.

Ἄβαλε χειμερίου με κατέκλυσε κύματα πόντου
δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
αἰδέομαι σωθεῖσα. τί μοι πλέον ὅρμον ἱκέσθαι,
δευομένῃ φωτῶν πείσματα λυσομένων;
Κωκυτοῦ με λέγοιτε βαρὺ σκάφος, ὤλεσα φῶτας,
ὤλεσα· ναυηγοὶ δ᾽ εἰσὶν ἔσω λιμένος.

III. 4. Scr. π. δησομένων. vel λαίφεα λυσομένων.

T. II. p. 276.

ΣΑΤΥΡΙΟΥ ΘΥΙΛΛΟΥ.

I.

Θηρευτὴς δολιχὸν τόδε δίκτυον ἄνθετο Δᾶμις·
Πίγρης δ' ὀρνίθων λεπτόμιτον νεφέλην,
τριγλοφόρους δὲ χιτῶνας ὁ νυκτερέτης θέτο Κλείτωρ
τῷ Πανὶ, τρισσῶν ἐργασίην καμάτων.
ἵλαος εὐσεβέεσσιν ἀδελφειοῖς ἐπίνευσον
πτηνὰ, καὶ ἀγροτέρων κέρδεα, καὶ νεπόδων.

II.

Εἰς ἄγαλμα Ηχοῦς.

Ποιμενίαν ἄγλωσσος ἀν' ὀργάδα μέλπεται Αχὼ
ἀντίθρουν πτανοῖς ὑστερόφωνον ὄπα.

III.

Η καλὸν αἱ δάφναι, καλὸν δ' ὑπὸ πυθμέσιν ὕδωρ
πιδύει, πυκινὸν δ' ἄλσος ὑποσκιάει,
θηλεθάον, ζεφύροισιν ἐπίδρομον, ἄλκαρ ὁδίταις
δίψης, καὶ καμάτου, καὶ φλογὸς ἠελίου.

IV.

Εἰς Ἔρωτα δεδεμένον.

Τὸν πτερόεντα τίς ὧδε, τίς ἐν δεσμοῖσι θοὸν πῦρ
ὤχμασεν; αἰθομένης ἥψατο τίς φαρέτρης,
p. 277. καὶ τὰς ὠκυβόλους περιηγέας ἐσφήκωσε
χεῖρας, ὑπὸ στιβαρῷ κίονι δησάμενος;

ψυχρὰ τάδ' ἀνθρώποις παραμύθια. μή ποτ' ἐκείνου T. II.
οὗτος ὁ δεσμώτης αὐτὸς ἔδησε φρένα.

V.

Ἤδη πηλοδομεῦσι χελιδόνες, ἤδη ἀν' οἶδμα
κολποῦται μαλακὰς εἰς ὀθόνας Ζέφυρος.
ἤδη καὶ λειμῶνες ὑπὲρ πετάλων ἐχέαντο
ἄνθεα, καὶ τρηχὺς σῖγα μέμυκε πόρος.
σχοίνους μηρύεσθε, ἐφ' ὁλκάδα φορτίζεσθε
ἀγκύρας, καὶ πᾶν λαῖφος ὕφεσθε κάλοις.
ταῦθ' ὑμῖν πλώουσιν ἐπ' ἐμπορίην ὁ Πρίηπος
ὁ λιμενορμίτης ναυτιλίην γράφομαι.

VI.

Ἤδη μὲν Ζεφύροιο πλοητόκου ὑγρὸν ἄημα
ἠρέμα λειμῶνας πιτνεῖ ἐπ' ἀνθοκόμους·
Κεκροπίδες δ' ἠχεῦσι· γαληναίη δὲ θάλασσα
μειδιάει, κρυερῶν ἄτρομος ἐξ ἀνέμων.
ἀλλ' ἴτε θαρσαλέοι, πρυμνήσια λύετε, νηῶν
πίτνατε δ' εὐπτερύγων λεπταλέας στολίδας.
ὦ ἴτ' ἐπ' ἐμπορίην πίσυνοι χαρίεντι Πριήπῳ,
ὦ ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.

VII.

Ἡ κροτάλοις ὀρχηστρὶς Ἀρίστιον, ἡ περὶ πεύκαις
καὶ Κυβέλῃ πλοκάμους ῥῖψαι ἐπισταμένη,
ἡ λωτῷ κερόεντι φορευμένη, ἡ τρὶς ἐφεξῆς
εἰδυῖ' ἀκρήτου χειλοποτεῖν κύλικα,

V. 6. Cod. Vat. ὕφεσθε. Sed praestat vulg. ἴφεσθε.
VII. 1. Scr. πεύκαις καὶ καλύβην.

T.II.p.278. ἐνθάδ' ὑπὸ πτελέαις ἀναπαύεται, οὐκ ἔτ' ἔρωτι,
οὐκ ἔτι παννυχίδων τειρομένη καμάτοις.
κῶμοι καὶ μανίαι μέγα χαίρετε· κεύθεται Ἀΐδῃ
ἡ τοπρὶν στεφάνων ἄνθεσι κρυπτομένη.

ΓΛΥΚΩΝΟΣ.

Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν·
πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γινόμενα.
φροντίδες οἱ παῖδες· μέγα μὲν κακὸν εἴ τι πάθωσιν·
εἰσὶ δὲ καὶ ζῶντες φροντίδες οὐκ ὀλίγαι.
ἡ γαμετὴ, χρηστὴ μὲν ἔχει τινὰ τέρψιν ἐν αὐτῇ,
ἡ δὲ κακὴ πικρὸν τὸν βίον ἀνδρὶ φέρει.

---

p. 279.

ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ.

I.

Εἰς τὸν Πραξιτέλους Ἔρωτα.

Ἀντί μ' ἔρωτος Ἔρωτα, βροτῷ θεὸν ὤπασε Φρύνῃ
Πραξιτέλης, μισθὸν καὶ θεὸν εὑρόμενος.
ἡ δ' οὐκ ἠρνήθη τὸν τέκτονα· δεῖσε γὰρ οἱ φρὴν
μὴ θεὸς ἀντὶ τέχνης σύμμαχα τόξα λάβῃ.
ταρβεῖ δ' οὐκέτι πω τὸν Κύπριδος, ἀλλὰ τὸν ἐκ σοῦ,
Πραξίτελες, τέχνην μητέρ' ἐπισταμένη.

II.

Φρύνη τὸν πτερόεντα, τὸν εὐτέχνητον Ἔρωτα,
 μισθὸν ὑπὲρ τέχνης, ἄνθετο Θεσπιάσι.
Κύπριδος ἡ τέχνη· ζηλούμενον, οὐκ ἐπιμεμφὲς
 δῶρον· ἐς ἀμφοτέρους δ' ἔπρεπε μισθὸς Ἔρως.
δοιῆς ἐκ τέχνης αἰνέω βροτὸν, ὅς γε καὶ ἄλλοις
 δοὺς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.

III. Scalig. Poem. p. 9.

Εἰς εἰκόνα Σαλμωνέως.

Χείρ με Πολυγνώτου Θασίου κάμεν· εἰμὶ δ' ἐκεῖνος
 Σαλμωνεύς, βρονταῖς ὃς Διὸς ἀντεμάνην,
ὅς με καὶ εἰν Ἀΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
 βάλλει, μισῶν μου κοὐ λαλέοντα τύπον.
ἴσχε Ζεῦ πρηστῆρα, μέθες χόλον· εἰμὶ γὰρ ἄπνους p. 280.
 ὁ σκοπός· ἀψύχοις εἰκόσι μὴ πολέμει.

IV.

Εἰς ἄγαλμα Ἡρακλέους.

Ἡρακλες, ποῦ σοι πτόρθος μέγας, ἥ τε Νεμείης
 χλαῖνα, καὶ ἡ τόξων ἔμπλεος ἰοδόκη;
ποῦ σοβαρόν σοι λῆμα; τί σ' ἔπλασεν ὧδε κατηφῆ
 Λύσιππος, χαλκῷ τ' ἐγκατέμιξ' ὀδύνην;
ἄχθῃ γυμνωθεὶς ὅπλων σέο· τίς δέ σ' ἔπερσεν;
 ὁ πτερόεις, ὄντως εἷς βαρὺς ἆθλος, Ἔρως.

V.

Οὗτος ὁ Κεκροπίδαισι βαρὺς λίθος Ἀρεϊ κεῖμαι,
 ξεῖνε, Φιλιππείης σύμβολον ἠνορέης,

III. 1. Al. Πολυκλείτου.

T. II. ὑβρίζων Μαραθῶνα, καὶ ἀγχιάλου Σαλαμῖνος
ἔργα, Μακηδονίοις ἔγχεσι κεκλιμένα.
ὕμνει νῦν νέκυας, Δημόσθενες· αὐτὰρ ἔγωγε
καὶ ζωοῖς ἔσομαι καὶ φθιμένοισι βαρύς.

VI.

Εἰς τὴν Μύρωνος βοῦν.

Η βάσις, ἡ κατέχουσα τὸ βοίδιον; ἢ πεπέδηται·
ἢν δ' ἀφεθῇ ταύτης, φεύξεται εἰς ἀγέλην.
μυκᾶται γὰρ ὁ χαλκός· ἴδ' ὡς ἔμπνουν ὁ τεχνίτας
θήκατο· κἂν ζεύξῃς ἄλλον, ἴσως ἀρόσει.

VII.

Εἰς τὸν Στρυμόνα ποταμόν.

Εἰμὶ μὲν ἐν ποταμοῖς, πελάγει δ' ἴσα μέτρα διώκω,
Στρυμὼν, Ἠμαθίης τὸ γλυκερὸν πέλαγος·
p. 281. βένθος ὁμοῦ καὶ ἄργυρα δι' ὕδατος· ἢ γὰρ ἐγείρω
ὀμπνιακῶν χαρίτων ἡδύτερον τρίβολον.
ἔστι καὶ Ἠμαθίης γόνιμος βυθός· ἄμμι δὲ, Νεῖλε,
κρείσσων ἔσθ' ὁ φέρων τὸν στάχυν, οὐχ ὁ τρέφων.

VIII.

Η παλίουρος ἐγὼ, τρηχὺ ξύλον· ἀλλ' ἔμ' ἐν ἕρκει
τίς γ' ἄφορον λέξει, τὴν φορίμων φύλακα;

IX.

Σμίνθος, ὁ παντοίης δαιτὸς λίχνος, οὐδὲ μυάγρης
δειλὸς, ὁ κἀκ θανάτου κέρδεα ληιζόμενος,
νευρολάλον Φοίβου χορδὴν θρίσεν· ἡ δ' ἐπὶ πῆχυν
ἑλκομένη θηρὸς λαιμὸν ἀπεβρόχισε.

τόξων εὐστοχίην θαυμάζομεν· ὃς δὲ κατ' ἐχθρῶν T. II.
ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

X.

Εἰς Θεμιστοκλέα.

Ἀντὶ τάφου λιτοῖο θὲς Ἑλλάδα, θὲς δ' ἐπὶ ταύτῃ
δούρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας,
καὶ τύμβου κρηπῖδα περίγραφε Περσικὸν Ἄρη
καὶ Ξέρξην· τούτοις θάπτε Θεμιστοκλέα.
στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
τἀμά· τί με σμικροῖς τὸν μέγαν ἀντίθετε;

ΚΥΛΛΗΝΙΟΥ. p. 282.

I.

Ἡ πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
ἀχράς, θηροβότου πρέμνον ἐρημοσύνης,
ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω,
οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
πολλή σοι, φυτοεργέ, πόνου χάρις· εἵνεκα σεῖο
ἀχρὰς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.

II.

Οὔπω ναῦς, καὶ ὄλωλα· τί δ' ἂν πλέον, εἰ βυθὸν ἔγνων,
ἔτλην; φεῦ, πάσαις ὁλκάσι μοῖρα κλύδων.

T.II.p.283.

ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

I.

Γραμματικός ποτ' ὄνῳ ἐποχούμενος ἐξεκυλίσθη,
καὶ τῆς γραμματικῆς, ὡς λόγος, ἐξέπεσεν·
εἶθ' ἑξῆς ἐβίου κοινὸν βίον, ὡς ἰδιώτης,
ὧν ἐδίδασκεν ἀεὶ μηδὲν ἐπιστάμενος.
ἀλλὰ Γλύκων ἔπαθε τὐναντίον· ὢν γὰρ ἄπειρος
καὶ κοινῆς γλώττης, οὐχ ὅτι γραμματικῆς,
νῦν Λιβυκοὺς κάνθωνας ὀχούμενος, εἶτ' ἀποπίπτων
πολλάκις, ἐξαίφνης γραμματικὸς γέγονε.

II.

Ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδέν ἀδικεῖς με·
ἂν δὲ παρόντα, καλῶς, ἴσθι κακῶς με λέγων.

ΝΙΚΟΜΑΧΟΥ.

Εἰς Πλάταιαν ὑπὸ σεισμοῦ καταπεσοῦσαν.

Ἅδ' ἔσθ' ἅδε Πλάταια· τί τοι λέγω; ἅν ποτε σεισμὸς
ἐλθὼν ἐξαπίνας κάββαλε πανσυδίῃ·
λείφθη δ' αὖ μοῦνον τυτθὸν γένος. οἱ δὲ θανόντες
σᾶμ' ἐρατὰν πάτραν κείμεθ' ἐφεσσάμενοι.

Α Ν Τ Ι Σ Τ Ι Ο Υ. T.II. p.284.

I.

Ἐνδυτὰ καὶ πλοκάμους τούτους θέτο Γάλλος ὀρείῃ
μητρὶ θεῶν, τοίης εἵνεκα συντυχίης.
μούνῳ οἱ στείχοντι λέων ἄντασε καθ' ὕλαν
ἀργαλέος, ζωᾶς δ' ἆθλος ὑπεκρέματο.
ἀλλὰ θεὴ Γάλλῳ μὲν ἐπὶ φρένας ἧκεν ἀράξαι
τύμπανον· ὠμηστὰν δ' ἔτραπε φύζα λέων,
φθόγγον ὑποδδείσαντα πελώριον. - εἵνεκα τοῦδε
πλοχμοὶ συρικτᾶν κεῖνται ἐπ' ἀκρεμόνων.

I. a Lect. p.195.

Εὐμένεος Κλεόδημος ἔτι βραχύς· ἀλλὰ χορεύει
σὺν παισὶν βαιῷ μικρὸς ἔτ' ἐν θιάσῳ.
ἥνιδε καὶ στικτοῖο δορὴν ἐζώσατο νεβροῦ,
καὶ σείει ξανθῆς κισσὸν ὑπὲρ κεφαλῆς.
ὦνα σύ μιν Καδμεῖε τίθει μέγαν, ὡς ἂν ὁ μύστης
ὁ βραχὺς ἡβήτας αὖθις ἄγει θιάσους.

II. T.II. p.284.

Εἰς ἄγαλμα Πριάπου.

Ἀγροφύλαξ ἕστηκα πολυκτεάνοις ἐν ἀρούραις,
Φρίκωνος καλύβην καὶ φυτὰ ῥυόμενος,
τοῦτο λέγων πρὸς ἕκαστον· Ἐπὴν γελάσῃς, ἐσιδών με,
τοῦ σκεύους, χώρει τὴν κατὰ σαυτὸν ὁδόν.

T. II. ἣν δὲ παρεκβαίνῃς ἐς ἃ μὴ θέμις, ὅ τι σ' ὀνήσει
ἡ λέσχη· τρυπᾶν πάντας ἐπιστάμεθα.

III.

Αἰαῖ προχοαί σε, Μενέστρατε, καὶ σέ, Μένανδρε,
λαίλαψ Καρπαθίη, καὶ σὲ πόρος Σικελὸς
ὤλεσεν ἐν πόντῳ, Διονύσιε· φεῦ πόσον ἄλγος
Ἑλλάδι· τοὺς πάντων κρέσσονας ἀθλοφόρων.

---

p. 285.

ΑΔΡΙΑΝΟΥ
ΚΑΙΣΑΡΟΣ.

I.

Ἐν τοῖς ἀναθήμασι Τραϊανοῦ Καίσαρος.

Ζηνὶ τόδ' Αἰνεάδης Κασίῳ Τραϊανὸς ἄγαλμα,
κοίρανος ἀνθρώπων κοιράνῳ ἀθανάτων,
ἄνθετ' ἄλεισα δύω πολυδαίδαλα, καὶ βοὸς οὔρου
ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας,
ἔξαιτα προτέρης ἀπὸ ληΐδος, ἦμος ἀτειρὴς
πέρσεν ὑπερθύμους ᾧ ὑπὸ δουρὶ Γέτας.
ἀλλὰ σύ οἱ καὶ τήνδε, Κελαινεφὲς, ἐγγυάλιξον
κρῆναι ἐϋκλειῶς δῆριν Ἀχαιμενίην,
ὄφρα τοι εἰσορόωντι διάνδιχα θυμὸν ἰαίνῃ
δοιὰ, τὰ μὲν Γετέων σκῦλα, τὰ δ' Ἀρσακιδέων.

II.

T. II.

Ἕκτορ, Ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴ που ἀκούεις,
 χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται κλεινὴ πόλις, ἄνδρας ἔχουσα
 σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους·
Μυρμιδόνες δ' ἀπόλοντο. παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ
 Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

III.

p. 286.

Οὔρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἔς ποτε βένθος,
 ἐκπροφυγεῖν μεμαὼς τρηχὺν ὀδόντα κυνός.
ἀλλ' οὐδ' ὣς ἤλυξε κακὸν μόρον· αὐτίκα γάρ μιν
 εἰνάλιος μάρψας πνεύματος ὠρφάνισεν.
ἐκ πυρὸς, ὡς αἶνος, πέσες εἰς φλόγα· ἦ ῥά σε δαίμων
 κὴν ἁλὶ, κὴν χέρσῳ θρέψε κύνεσσι βοράν.

IV.

Γραμματικοῦ τινὸς ἡμιξήρου πρὸς Ἀδριανόν.

Ἡμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ λιμὸς ἐλέγχει·
 σῶσόν μου, βασιλεῦ, μουσικὸν ἡμίτονον.

Ἀπόκρισις Ἀδριανοῦ.

Ἀμφοτέρους ἀδικεῖς, καὶ Πλουτέα, καὶ Φαέθοντα·
 τὸν μὲν, ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

V.

Ἀρχιλόχου τόδε σῆμα, τὸν ἐς λυσσῶντας ἰάμβους
 ἤγαγε Μαιονίδῃ Μοῦσα χαριζομένη.

VI.

Εἰς τάφον Πομπηΐου ἐν Αἰγύπτῳ.

Τῷ ναοῖς βρίθοντι πόσῃ σπάνις ἔπλετο τύμβου.

ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

I.

Εἰ καί σευ πολύφωνος ἀεὶ πίμπλησιν ἀκουάς
ἢ φόβος εὐχομένων, ἢ χάρις εὐξαμένων,
Ζεῦ Σχερίης ἐφέπων ἱερὸν πέδον, ἀλλὰ καὶ ἡμέων
κλῦθι, καὶ ἀψευδεῖ νεῦσον ὑποσχεσίῃ,
ἤδη μοι ξενίης εἶναι πέρας, ἐν δ' ἐμῇ πάτρῃ
ζώειν, τῶν δολιχῶν παυσάμενον καμάτων.

II.

Πολλάκις εὐξαμένῳ μοι καὶ θυμήρεας ἔδωκας
τέκμαρ ἀκυμάντου, Ζεῦ πάτερ, εὐπλοΐης·
δοίης μοι καὶ τοῦτον ἔτι πλέον, ἠδὲ σαώσεις
ἤδη, καὶ καμάτων ὅρμισον εἰς λιμένα.

III.

Ἐλπὶς ἀεὶ βιότου κλέπτει νόον· ἡ πυμάτη δὲ
ἠὼς τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

III. 1. Plures Plan. codd. κλ. χρόνου.